Asc.
3432 f
Niedermühlbicher

OTHONI I.,

Graeciae

Regi

piissimo

ac

benevolentissimo

in

maximae venerationis

indicium ac documentum

offert

auctor

P. Bernardus

Niedermühlbichler mp.

Ord. S. Franc. Reform.

Provinc. Tyrolensis

divi Leopoldi

ex Conventu Halae

ad Oenum.

Halae

die 7mo m. Febr.

1847.

ΕΥ̓ΧΟΛΌΓΙΟΝ,

ἘΜΜΈΤΡΩΣ ΞΥΓΓΕΓΡΑΜΜΈΝΟΝ

καὶ

ὝΜΝΟΥΣ ΤῸ ΠΟΛῪ ΠΕΡΙΈΧΟΝ,

παρὰ

τȣ̃ ξυγγράψαντος

ΒΕΡΝΆΡΔΟΥ τȣ̃ **ΝΙΔΕΡΜΥΛΒΊΧΛΕΡ**,

ΕΥ̓ΔΟΚΟΥΜΈΝΩΣ

τοῖς νομίμοις ἐκκλησιαστικοῖς κριταῖς,

ἐκδοθὲν

πρὸς χάριν

τῶν καθολικῶν Φιλελλήνων

τῶν ἅμα καὶ φιλοθέων,

ἐν

ΟἸΝΟΠΌΝΤΩι

1847,

ἐκτυπωσάντων τῶν τȣ̃ Οὐάγνερ.

BIBLIOTHECA
REGIA
MONACENSIS

A.

Τῷ
ἁγιωτάτῳ
καὶ σεβασμιωτάτῳ
Πατρὶ καὶ Κυρίῳ,

ΓΡΗΓΟΡΙΩι,

τῶν ὗτωσὶ προσαγορευθέντων Ῥωμαίων
Ἀρχιερέων ἑκκαιδεκάτῳ, τῦ μακαρίυ
Ἀρχιαποστόλυ Πέτρυ γνησίῳ διαδόχῳ, τῆς
Ἐκείνυ ἐξυσίας ὀλβίῳ κληρονόμῳ, τῦ Χριστῦ
ἐπὶ τῆς γῆς κρατῦντι ἀνθυπάτῳ, καὶ τῆς κατὰ
τὴν οἰκυμένην ἁγίας Ἐκκλησίας ὁρατῇ Κεφαλῇ.

Τῶν ὀρθῶς πιστῶν πάτερ ἠδὲ διδάσκαλε πάντων,
Ἄμφω ὔνομά τε πρᾶγμά τε Γρηγόριε!
Ποιμᾶνορ παγκόσμι', ἐπίσκοπ' ἐπισκοπεόντων,
Ἀρχιερεῦ, ἱερῶν ἀρχιδικαστὰ δικῶν!
Σοί νυ μάλιστα φέρω τάδε δῶρα χαριζόμενος, Σοὶ
Ταῦτ' ἀναδείκνυμι κἀνατίθημι ἔπη·
Σοὶ, τῦ ἡ πίστις πισύνοισι κανὼν, παρ' ἐμεῖο
Ἡ σελὶς ἦδε γέρας ἔρχεται ἠδὲ σέβας,
Ὄφρα μιν ἢ δέξῃ, τῇ Σῇ γ' ὁμογνώμονα δόξῃ,
Ἠὲ διορθώσῃς, εἴ τι ἄδεκτον ἔχει.

Ἡ γὰρ ἐπισφαλὲς ἔργον ἐὸν, καὶ πυλὺν, ὑπέστην,
Τὸν κίνδυνον ἔχον, τοῖα πονησάμενος,
Ξείνῃ ἐν γλώσσῃ ἐπιχειρήσας δόμεν εὐχάς,
Πειραθεὶς γράψαι πράγματα θεῖα λίαν!
Οὔ τινι ῥηΐδιον, μυστήρια τόσσα νοῆσαι
Ὀρθῶς· πῶς δ', ἱκανῶς ἐκφράσαι, ὐ χαλεπόν;
Ἐλπίζω μὲν ὅμως, τῶν γέγραφα, μή τι μάχεσθαι
Τῇ ὑγιαινύσῃ, ὐχ ὑγιὲς, διδαχῇ·
Εἰ δέ τι ἔσφαλμαι κὴν εὐλαβίῃ, πατρικῆς Σὺ
Ἡγῦ συγγνώμης ἄξιον, ἱρὲ Πάτερ!
Οὐ γὰρ ἄπειστος ἐγὼ κὐ δυςτράπελός τις· ὅθεν καὶ
Τῇ παρὰ Σεῖο ὅλως ταῦτ' ἐπέτρεψα κρίσει·
Ἡ δ' ἐκ Σῦ ψῆφος, κέρδος φιλαληθέϊ ἀνδρὶ,
Εἴτ' ἄρ' ἐπαινέσεως, εἴτε κατακρίσεως.
Τῇ ἀπὸ τῆς Ῥώμης γνώμῃ μάλ' ὑπεικέμεν, ὐδέ
Πη φιλονεικῦντας χρὴ ἴμεν ἀντίβιον. —

Ῥώμη τῶν πόλεων ἡ προφερεστάτη,
Αὐτῷ δῆλα Θεῷ δὶς πεφιλημένη,
Διττοῖς εἰνὶ χρόνοις ἡγέτις ἀστέων,
Καὶ δοιοῖς γεγονυῖ' εὐδύνατος τρόποις.

Ῥώμη ἦρχε πάλαι· ἡ δὲ κρέυσ' ἔτι
Καὶ νῦν, τὴν φυσικὴν καὶ πολεμήϊον
Πρὶν ἰσχὺν μεταθεῖσ' ἐς γεραρώτερον
Κάρτος, πνευματικόν γ' ὂν χ' ἱεραρχικόν.

Ῥώμη τοῖν ἁγίοιν Ἀρχιαποστόλοιν,
Τώ οἱ κὴνέταφέν γ', ὗσα μαθήτρια,
Πᾶσάν τ' ἀτρεκίην ἐκδεδιδαγμένη,
Τῶν ἄλλων πόλεων γέντο διδακτική.

Ῥώμη ἄνδρε δύω δέξατ' ἀπ' ἀντολῆς,
Φωστῆρας νοεροὺς τῶν δυτικῶν τόπων·
Φωτισθεῖσα δὲ, καὐτὴ πάλι φώτισεν
Γαίης τετράκλιμον πλῆθος ἐνοικετῶν.

Ῥώμη Πέτρον ἔχει, ὗτινος ὔποτε
Ἐκλείπει θεϊκῇ πίστις ὑποσχέσει·
Ἡ δ' αὖ Παῦλον ἔχει, κύδιμον ἐκλογῆς
Σκεῦος, τῶν ἐθνέων κλειτὸν ἐπιστάτην.

Ῥώμη ὀρθοδαής· αὐτὰ τὰ ὀστέα
Τοῖν ἐντεθναότοιν τῇγε Ἀποστόλοιν
Οὐ δώσυσι βρύειν τὴν ἱερὴν χθόνα
Ταύτην τῇ ὑγιεῖ ἀντία πίστεϊ.

Ῥώμη πνευματικὸν κτίσμα Ἀποστόλων
Ἠδ' ἵδρυμα μόνη εὔχεται ὗσά τε
Καὶ μείνασα τόσοις ἄφθορον ἐν χρόνοις,
Νικήσασ' ὀλοὰς ἀντιπάλων τέχνας.

Ῥώμη κῦδος ἔχει οἷον ἀπ' ἀλλέων·
Τίς δ' ἐκκλησία, ὧν κτίσσαν Ἀπόστολοι,
Τοίη; αἵ γ' ἕτεραι σχίσματι, αἱρέσει
Πᾶσαι, καὶ στυγερῇ εἶξαν ἀπιστίῃ!

Ῥωμαίων ὅτι ϰδ' εἷς τις Ἐπισκόπων
Ὀκτωκαιδέκ' ἐτῶν εἰν ἑκατοντάσιν
Οὔτ' αὐτὸς πλάνος ἦν ϰτε πλανώμενος,
Ἡ ἄψευστος ἔδειξ' ἱστορίη σαφῶς.

Ῥώμη φανὸς ἔφυ καὶ φάρος ἀνδράσι
Τοῖς εἰν ἀμφιβόλῳ τϰ̃ βιότϰ πλόῳ·
Ὅρμϰ δευομένοις, πλαζομένοις κακῶς,
Σημαίνει λιμένα πιστὸν ἰδ' ἀσφαλῆ. —

Τϰ̃ γνῶναι ὁ λόγος ψυχικὸν ὄργανον,
Κϰ̓ πηγή· ἐτύμων τῶν κατὰ τὸν Θεὸν
Καὶ καλῶν πόρος ἔστ' ἠδὲ κριτήριον
Φωνὴ 'ποστολικὴ, εἰσέτ' ἐπήκοος.

Γνῶναι βϰλομένϰς, εἴ τι ἀληθινόν,
Πέμψαν τοὶ Πατέρες πευσομένϰς παρὰ
Κτισθεισῶν ἱερῶς τοῖσιν Ἀποστόλοις
Ἐξ ἀρχῆς πόλεων ἠδὲ ἑταιριῶν.

Τίς δ' ἄλλη πόλεων τῶν μεμυημένων
Τοῖς Χριστοῖο σοφοῖς πρέσβεσι νῦν ἔτι
'Ασκηθὴς περίεστ' ὃδὲ ἀπώλετο,
Πλὴν 'Ρώμης γε μόνης, τὴν ἀγαπᾷ Θεός;

Κόσμȣ Χριστὸς 'Εὺς δῶκεν 'Αποστόλȣς
Εὐθυντῆρας ἔμεν, τὸν δὲ κατ' ἐξοχὴν
Πέτρον, κλεῖδας ἐπεί μιν ἐνεχείρισε,
Θεὶς ἄρχονθ' ἱερȣ̃ καὶ ταμίην δόμȣ.

Αἰτηθεὶς παρ' ἑȣ̃ Πέτρος ἐπιστάτȣ
Πλείω τὴν ἀγάπην ἢ κατ' ὁμήλυδας,
Πλεῦν' αὖ καὶ ἔλαχεν, τἀρνία βοσκέμεν
Ποιμαίνειν τ' ἀγαθῇ τὰ πρόβατ' ἐν νομῇ.

Τȣ̃ Πέτροιο μάλιστ' ἔστιν, ἁμαρτίας
'Ενταῦθ' ἠὲ κρατεῖν ἢ καὶ ἀφιέναι,
Ἦ δεῖν ἠὲ λύειν· πᾶν τὸ ἐπὶ χθονὶ
Αὐτῷ, κῦρος ἔχει κἠνὶ πόλῳ, κριθέν.

Τὸν Πέτρον σταθερὴν θῆκε πέτρην Θεὸς,
Καἰθρῆσσαν κορυφὴν, ὑψιτέρην νεφῶν
Τῶν ἐξ αἱρετικῆς ὀρνυμένων πλάνης,
Τῇ τῶν Καθολικῶν πύργον ὁμηγύρι. —

Ῥώμη πλεῖστα μάκαρ· τȣ̃ ἁγίȣ Πέτρȣ
Εἰληχυῖα μόνη τὸν διαδέκτορα,
Κἀυτή ἐστι πέτρη, τῆς στερεὴν φύσιν
Οὐ χειμών τις ἔχει ῥηγνύναι, ȣ̓ κλύδων.

Ῥώμην τῶν ἀΐδȣ κρείττονα μηχανῶν
Θεῦς δῶκ' ἠδὲ μαχῶν, δῶκε τρικυμιῶν
Τῶν κόσμȣ ἐπάνω, κȣ̓δενὸς ἥττονα
Τῶν οἱ ἀντιβατῶν, καίπερ ἀπειρίτων.

Ῥώμη μᾶλλον ἑαυτῇ, πλέον, ἔξοχον
Χριστὸν καὶ ἅγιον Πνεῦμα παραστάτην
Κέκτηται· μετὰ τῆςγ' ἔσται ὁ Κύριος
Τȣ̃δ' αἰῶνος ἕως συντετελεσμένȣ.

Ῥώμην, ἆ, ποσάκις φάντο γ' ἐναντίοι
Οἴχεσθαι, ὅτε νιν θλιβομένην ἴδον!
Ἀλλ' ὡραιοτέρη κἠπικλεεστέρη
Οὖσ' ἐκ τῶν καμάτων αὖθις ἐφαίνετο.

Ῥώμη τοι Σόλυμα καὶ ἁγίη πόλις
Τȣ̃ καινοῖο Νόμȣ, στεργομένη Θεῷ,
Ἢ καὶ τὸν θεϊκὸν τοσσάκι δάκτυλον
Ἀμφ' αὐτὴν φανερῶς εἶδε καὶ εἴσεται. —

Ῥώμη πρεσβυτάτη ἐστὶ δικασπόλος
Ἐν τοῖς δογματικοῖς ἶσα καὶ ἠθικοῖς·
Αὐτὴ δ' ἡ ὑπάτη τῆς διδαχῆς ἕδρη,
Ἧς τὸ γνῶναι ἔχει τὴν πυμάτην ῥοπήν.

Ῥώμη τῶν ἱερῶν ἔνδοθι τειχέων
Πλείστους ἄνδρας ἔχει, πάντα τὰ θήϊα
Ὄντας δεινοτάτους ἵστορας, οἵτινες
Ἰσοῦνται Συνόδῳ πλήρει, ἀνεκλιπεῖ.

Ἡ Ῥώμης ἑτέρῳ κρίνεται οὐδενὶ
Πίστις καὶ διδαχή· τὴν δ' ἑτέρων γε δεῖ
Πάντων ἐξετάσαι ἠδὲ μετρῆσαι ἐκ
Τῶν κείνη δοκίμων καὶ νομίμων ἕδρῃ.

Ἐκ Ῥώμης ἔλαβεν πᾶς ὁ σοφὴν ἔτι
Τὴν αὐτοῦ κατέχων πίστιν ἅμ' ἐλπίδι·
Ἐς Ῥώμην δ' ἔσεται πᾶς τις, ὁ χ' ὕστερον
Πιστεύσων ὑγιῆ δόγματ', ὀφειλέτης.

Ἐκ Ῥώμης δέδοται ἡνίκ' ἀπόκρισις,
Πεῖρας τηνίκ' ἔχει πᾶσα μάλ' αἰτίη,
Ἰρὴ πᾶσα δίκη, καὶ τετελεσμένον
Πᾶν ζήτημ'· ἐπὶ γῆς τίς γὰρ ὕπερ κρίτης;

Τῇ Ῥώμης κρίσεϊ ἠδ' ἀποφάνσεϊ
Μὴ εἴκων τις ἄνυς, ἀλλὰ παλινδικῶν,
Κινεῖσθαι ἐθέλει γῆν τε καὶ ὐρανὸν
Αὐθάδυς ἕνεκεν καὶ ἀπιθῦς ἑνός! —

Ῥώμη ὦ ὁσίη ἠδὲ γεράσμιε,
Τοῖς Χριστῷ πισύνοις μῆτερ ἰδὲ τροφέ!
Εἴ μευ τῦργμα τοδὶ ὐ κατὰ σὸν νόον,
Οὐδεὶς ὄκνος ἐμὶν, αὐτὸ νέμειν πυρί. —

NB.

Editionem Euchologii hujus, variorum casibus fatorum plusquam trienniô retardatam, mors Sanctissimi Patris Gregorii, cui ejusdem dedicatio parabatur, praevenit. Placuit tamen in tanti universoque Orbi Catholico tam amabilis quam venerabilis viri memoriam nuncupationis ac devotionis carmen operi huic tanquam initium ac veluti frontem praefigere.

B.

ΛΟΔΟΒΙΚΩι,

τῷ τῆς Βοϊαρίας βασιλεῖ,

ἐπιφανεστάτῳ καὶ εὐσεβεστάτῳ.

Καλλίστας νικῶν τὰς ἐλπίδας, ὦ Λοδοβῖκε,
Τῆς τῶν Σῶν προγόνων κληρονόμ' εὐσεβίης!
Σοὶ τόδε προςφωνῶ ἰδίως· ὡς δ' ἄξιον ἔργον
Ὄψιος ἠδὲ Τεῆς χρήσιος ὤφελ' ἔμεν!
Ἀλλὰ Σὺ τὴν τόλμην τῦ Σοὶ ἀναθέντος ἔνεγκε,
Εἰ τόλμη τὸ πορεῖν εὔσεβὲς εὐσεβέϊ·
Οὐ γὰρ ἂν εὐλαβίῃ, οἵῳ Σοὶ ἀνδρὶ, τρέσασα,
Λιτή περ, βίβλος πλησιάσειεν ἐμή·
Θρῆσκός γ' ὢν Σὺ φιλόχριστός τε θεόστοργός τε,
Οὔ κε τὸ τοιῦτον γράμμα λάβοις χαλεπῶς·
Τύνη γὰρ, τὸ προςεύχεσθαι καὶ κοιράνυ ἀνδρὸς
Ἄξιον οἰκεῖόν τ' ἔμμεναι, οἶσθα μάλα.

Πῶς δέ κεν ἀλλότριον τὸ θεοςκυνέειν τινὸς εἴη,
Πᾶσί γ' ἀναγκαῖον, πᾶσιν ἐὸν φυσικόν;
Κοινὸν γοῦν τὸ φάος, κοινὸς τοῖς πᾶσιν ὁ ἀήρ·
Κοινὸς καὶ λαῷ καὶ βασιλεῖ ὁ Θεός.
Μνησιθέους ἄρα τιμοθέους τε, δίκαιον, ἅπαντας
Θνητοὺς, καὶ μεγάλους περ δυνατούς τ', ἔμεναι.
Κοίρανος ὢν ὁ Θεὸς κἀυτῶν τῶν κοιρανεόντων,
Σεπτὸς, ναὶ, σεπτὸς καὶ βασιλεῦσι πέλει.
Τοὺς γε μὲν ἀρχομένους δεῖ ἀρχόντεσσιν ὑπείκειν,
Αὐτοὺς δ' ἄρχοντας παντοκρατῆρι Θεῷ·
Ὡς δὲ βροτοῖς ἀρχῶν, οὕτω χρεία πάλιν ἀρχοῖς
Τοῦ ὑπὲρ οὐδαίην πᾶσαν ἀνακτορίην.
Τοὺς δ' ὑπόχους εὖ δρῶν πρῶτον Θεὸς, εἶτα μόναρχος·
Τὸν δὲ μόναρχον ἕεις εὖ ποιέων, ὁ Θεός.
Τῷ ἑνὶ οὖν, ἄλλους ὡς τοῖς δυσὶ, πάντα μονάρχην
Ἐσθλοδότῃ χάριτας χρὴ ἀποφαινέμεναι.
Ὡιτινι πλεῦνα βροτῷ δέδοται ἀγαθ', ἔστιν ἐκείνου,
Καὶ πλεόνως τίειν τὸν καθύπερθε δότην.
Εἴ ῥ' ἀρχὴ ἀγαθὸν, τῷ δόντι Θεῷ χάρις ἔστω·
Εἰ δὲ κακὸν, ῥᾷον σύν γε Θεῷ τὸ φέρειν.
Ὡς χαλεπὸν δ', ἐπικίνδυνον, δεινόν τε τὸ ἄρχειν,
Μὴ μετ' ἀμυντῆρος πανδυνάμοιο Θεοῦ!
Ἢν δὲ συναίρηται ὁ Θεὸς, τότε δύςπορον οὐδέν,
Οὐδὲν δύςπρακτον, δύςσοον οὐδὲν ὅλως.
Θαῤῥεῖ κἂν κακοῖσιν ὁ σὺν Θεῷ ἡγεμονῶν φώς,
Καὶ τὸ ἐπ' εὐτυχίαις χάρμα πλέον, καθαρόν.

Ὡς ἄρ' ὀνήμενος εἶ, Γεραρώτατε! ὢν θεοσέπτωρ,
Καὶ γνοὺς, λωΐστον σύμμαχον ὄντα Θεόν.
Οὐδείς γ' ἐξ αὐτοῦ δυνατὸς γέγον', οὐδ' αὐτάρκης·
Πᾶς δὲ ὁ ἰσχύσας ἰσχὺν ἔχεν Θεόθεν.
Ὑψῶσαι φιλέει Θεῦς τοὺς θαῤῥοῦντας ἐπ' Αὐτῷ,
Τοὺς δ' ἐφ' ἑαυτοῖσιν, ὑψιπετεῖς θέμεναι.
Ὄργανα γὰρ σκεύη θ' ὑπάτου ἐν χερσὶ Θεοῖο
Ἦσαν καὶ αὐτοὶ οἱ ἐπὶ γῆς δυνατοί.
Οὐδὲ δι' αὐτὸν ἔφυ ὁ ὑπ' οὐρανὸν ἡγεμονεύων,
Ἀλλὰ Θεοῦ ἕκενεν καὐτὸς ὁ ἡγεμονεύς.
Ἐν πάντεσσι Θεὸς πρῶτος, μέσος, ὕστατος, οἷος
Δεσπόζων πάντων, κύριος ὢν συνόλων.
Οὐ δήμου τις ἀγός, καὶ οὔτις δῆμος ἀγοῖο,
Οὐδέτεροί θ' αὐτῶν, ἀμφότεροι δὲ Θεοῦ.
Ἓν γὰρ ὅλοισι τέλος, σκοπὸς εἷς σύμπασι πρόκειται
Ἀνδράσι κἄρχουσιν κἀρχομένοις, ὁ Θεός.
Χριστὸς ὁ παμβασιλεὺς, ᾧ πᾶν ἐδόθη κράτος οἴῳ
Κἀν γῇ κἀνὶ πόλῳ, αἵματι τῷ ἰδίῳ
Κέκτηται καὶ τοὺς ἐπὶ γαῖαν κοιρανέοντας,
Οὐδέ τις αὐτοκράτωρ, πᾶς δ' ὑπὸ Θευκρατίᾳ.
Πᾶς τοι ἄναξ ὁ ἑοῖς θεραπευόμενος πολιήταις,
Καὶ αὐτὸς θεράπων τοῖο Θεοῖο πέλει.
Πᾶν δοῦλον τὸ γένος τὸ βρότειον, πᾶν ὑποταχθὲν,
Οἱ μὲν ἐλάσσους τοῖς μείζοσιν, οἱ δὲ Θεῷ.
Τῷ νυ Θεῷ ὕποχοι καὶ οἱ πάνυ ὧδε δυνάσται
Εἰσὶ, καὶ ὀφληταὶ Παμμεδέοντι γέρως.

Οἶσθα τόδ', ὦ βασιλεῦ φίλε! καὶ ῥέζεις, καθ' ὃ οἶσθα,
Οὐδὲ Σύ πη μιμῇ θευμάχον ὄντα τρόπον,
Μισῶν τὺς τὰ Θεοῖο Θεῷ ἀποδῦναι ἀπάρνυς,
Εἶναι ὑπευθύνυς ὐδὲ Θεῷ φαμένυς,
Ἠδ' ἀνεπιστρεφέας τῦ ὐρανίωνος Ἄνακτος,
Οὐδαμὸν, οἰομένυς, σφᾶς ὑπὸ θεσμὸν ἔμεν,
Αὐτὺς τὸν λαὸν παρέχοντας ἀνέντροπον αὐτῶν
Σφῇσιν ὑπερβασίαις τῶν Θεόθεν νομίμων,
Οὐ καλῶς τιμὴν παρὰ χειροτέρων ποθέοντας,
Αὐτὺς Ὑψίστῳ δόξαν ἀναινομένυς,
Ὀκνῦντας τιμᾶν τὸν ἑαυτῶν Κρείττον', ἀναιδῶς
Ἐλπομένυς αἰδῶ ἐξ ἐλαχιστοτέρων.
Πρῶτον ἐπυρανίην βασιλείαν δεῖν, Σὺ πέπεισαι,
Καὶ τοῖς κοιρανίδαις, κᾆτα τὰ λοιπὰ, μέλειν.
Οὐδεὶς γῦν ὕτως ἑτέρων κήδεσθαι ὀφείλει,
Ὥστ' ἀμελεῖν αὐτῦ τῦ τ' ἰδίοιο καλῦ.
Οἶσθ' ὁ μαθὼν Χριστὸν βασιλεὺς κεὶς τῦτο καταστὰς,
Τὸ προάγειν αὐτόν τ' ὐρανόσ' ἔθνεά τε.
Οὐ γὰρ τοιῦτος Σύγε, οἷος ἀνάξιον αὐτὸν
Ὅν τε λεὼν κρίνειν τῶν ἐπέκεινα καλῶν.
Ζηλωτὸν δ' ἡγῇ βίοτον Σὺ τὸν εὐσεβεόντων,
Ὧν αὐτὸς θεόφρων πάγχυ καὶ ὐρανόφρων.
Μῦνα τὰ ὧδε φρονεῖν, μετάνοιαν τῦτό ποθ' ἕξει·
Ὁ φρόνιμος ζητεῖς καὶ τὰ ἐκεῖ ἀγαθά·
Τῆς γὰρ ὑπεργείυ ποτὲ τὴν ἐπὶ γῆς διαμεῖψαι
Ἀρχὴν πᾶς ὁ σοφὸς κοίρανος εὔχετ' ἐών.

Τῶν δὲ ὑπερχθονίων κἀφθάρτων ἀντιάας Σὺ
Τῷ νῦν μιμεῖσθαι ἐς τὰ μάλιστα Θεόν,
Τῷ τ' ἐπεγνωκέναι, αἰσθέσθαι θ' ἅμα καὶ ἐπιδεῖξαι
Ἔργοις ἠδὲ λόγοις, ὡς Θεὸς οἷος ἄναξ.
Τοῖο Θεοῖο τόπῳ ὁ ἐπὔδειος πέλει ἀρχός,
Καὶ ὑπένερθ' εἶδος τοῦ ἐφύπερθε Θεοῦ.
Τοῦ δὲ Θεοῦ μίμημ' ἔμψυχον ἐὼν ἐπὶ γαῖαν,
Εἰκὼν μειοτέρη τοῦ μεγάλοιο Θεοῦ,
Οὐκ ἐθέλεις Τοῦτο Σὺ τύπος μερόπεσσιν ὁρᾶσθαι
Μόνῃ τῇ δυνάμει καὶ φυσικῇ ἀρετῇ.
Εἶδος ἔμεν θεϊκὸν καλλίοσι ταῖς ἀρετῇσι
Τῇ τε κατὰ Χριστὸν λῇς Σὺ δικαιοσύνῃ.
Πᾶσαν τὴν μορφὴν Σὺ φιλεῖς τοῦ πρωτοτύποιο,
Λάμπεσθαι τὰ Θεοῦ πάντ' ἐν Ἑοῖσι τύποις·
Ζηλοῖς ἐκμορφοῖς τε Θεοῦ τὰ ἐφικτ' ἐνὶ Σαυτῷ,
Ὡς μίμημ' Αὐτοῦ μᾶλλον ἀεὶ τελέθῃς. —
Κἀπείκασμα δ' ἐὼν γεραρὸν τοῦ Ὑψιμέδοντος,
Εὔχῃ τοῦ Αὐτοῦ καὶ πάλι λάτρις ἔμεν,
Τοῦ τ' ἐν ἐπουρανίοις ὁ ὑπουράνιος βασιλεύτωρ
Φαίνεαι ὢν εἰκών, φαίνεαι ὢν θεράπων·
Ἀρχός τ' ἀντὶ Θεοῖο τεταγμένος ἔνθ' ἐπὶ πολλοῖς,
Μέμνησαι αὐτὸς τὸν Θεὸν ἀρχὸν ἔχων·
Οὐδέ Σε παμπήδην κρατὺν αὐτεξούσιον ἡγῇ,
Αὐτὰρ ἔπαρχον ἐόντ' οἰκονόμον τε Θεοῦ,
Τὸν τάξαντά Σε αἰδεῖσθαι καὶ δειδέμεν εἰδώς,
Καὶ τηρεῖν τὰ δίκαι' οὖλα τὰ Δεσπόσυνα.

Γινώσκεις γεγονὼς Σὺ Θεῦ ὑπὸ χειρὶ, τόσος περ,
Κὐ λήθη θνητὸς πάγχυ, μέγας περ, ἐων·
Οὐδ' ἀγνοεῖς, καὶ σκηπτροφορῶν, κατέναντι Θεοῖο
Μηδὲν τῶν πολλῶν ἧττον ὕπαρχος ἐών.
Ἐξείη δ' ἂν καὶ πρὸς ἀγὸν παῤῥησιάσασθαι,
Κῆς κῦδος τὸ Θεῦ εἰπέμεναι τὸ ἐόν·
Οὐ πᾶς πτωχὸς ἐν ἀνθρώποις, πλϑτῦσι δὲ πολλοί,
Ἀλλὰ Θεῷ πτωχοὶ πάντες ἐπιχθόνιοι.
Τὸν Θεὸν ἅζεσθαι, τιμάζειν ἠδὲ προςαιτεῖν
Δεῖ τὺς τ' ἀφνειὺς τὺς τε πένητας ὁμῶς. —
Ζῶντα νόμον καλέϋσιν, ὅταν παραδείγματ' ἀνάκτωρ
Τῇ πληθυῖ καλῶν καὶ ἀγαθῶν παρέχῃ.
Ὡς καλὸν εἰςοράαν τὸ καὶ ἀρχὸν γὺνατα θέντα
Τῷ κοινῷ πάντων προςκυνέειν Πατέρι!
Τὸν Θεὸν οἱ πολλοὶ τότε λεύσσομεν ὄντα μέγιστον,
Γϋνάζωνται ὅταν Τόνγε καὶ οἱ δυνατοί.
Τίς δ' ἀνέχοιτ' ἂν ὁρῶν λιτὸν αὐτὸν ποιμένα λαῦ,
Μὴ καὐτὸς πάσχων κῆρί τι εὐσεβέως;
Οὐ δύναταί τις, ἄνακτα βλέπων λίτανον λιτανείαις,
Μὴ βελτιῦσθαι τῷ νοῒ τῷ ἰδίῳ.
Κάλλιον ὗ τι ἔδειξεν ἄνακτος θευσεβέοντος
Γαῖα βροτοῖς, κὐδὲν κρήγυον ἄλλο πλέον!
Θρησκίη ἡ κατὰ Χριστὸν ἀνάκτορι κόσμος ἄριστος,
Καρπὸς ὁ εὐσεβίης λῷστον ἀγῷ ἄφενος. —
Οὐχ ὡς νυθετέων Σὲ, ἐγὼ ταῦτ', ὐδὲ διδάσκων,
Ἀλλ' ὑπομιμνήσκων, οἴκοθεν ὧν δέδαας.

Σοὶ δὲ ἀληθείη τε φίλη ἀρετή τε, Σὺ δ', οἷος
Μὴ αἰσχύνεσθαι ἔργα τὰ εὐσέβεα,
Μηδ' ἀρνεῖσθαι ἐν ἀνθρώποις τὸν Χριστὸν Ἰησȣν,
Ἄρνησιν δεδιὼς τὴν παρὰ Τȣ͂γε πάλιν,
Τῇ δὲ διδασκȣ́σῃ εἴκειν Ἐκκλησίᾳ, ȣ̓́σῃ
Ἐν Χριστȣ͂ χώρῃ, χ' ἡμετέρῃ κριτίδι.
Ἡ δὲ Σὲ οἶδεν ἑοῖ πιστόν τε καὶ ἔξοχον υἱόν,
Εὐφραίνοντά ἑ Σῆς ἔργμασιν ὀρθοσύνης,
Βȣλόμενόν τε σοφῇ βȣλῇ θεμιταῖς τε ὁδοῖσι
Καθολικοῖς νίκην πράγμασι καὶ προκοπήν. —

Ταῦτα Σὺ καὶ φρονέων καὶ ἔρδων δῆλος ἔησθα
Ἤδη καὶ πρότερον, νῦν δ' ἔτι μᾶλλον· ὅθεν.
Τῶν ἀνθρωπείων ȣ̔́τως ἅπτῃ τε μέδῃ τε,
Ὡς καὶ τῶν θείων μηδαμόθεν ἀμελεῖν·
Εὐθηνῶν τ' ὄντων διὰ Σȣ͂ τῶν Σῶν πολιτῶν,
Καὶ τά γε ἱρὰ Τεῇ φροντίδι εὖ μάλ' ἔχει.
Εἰς τέλος ἔρδ' ȣ̔́τως! Μισθὸς Θεὸς ἔσσεται αὐτὸς,
Ὧν τ' εὖ δημοσίᾳ ἐργάσῃ ὧν τ' ἰδίᾳ.
Γηθήσεις ποτ' ἐὼν ἐπὶ τέρματι τȣ͂δε βίοιο,
Πόλλ' ἄλλων προέχων ταῖς ἰδίαις ἀρεταῖς
Τοῖς τ' ἐκ τȣ͂ καλȣ͂ ὑποδείγματος ἠδὲ τρόποιο
Τȣ͂ κοινωφελίμȣ κέρδεσιν ἀμβροσίοις,
Ἐντεῦθέν τε μάλισθ', ὅτι Σοι Ἐκκλησία, Υἱȣ͂
Σεμνὸν κτίσμα Θεȣ͂, τίετο κῆρι ὅλῳ. —

Ἀλλὰ πολὺς γέγονα (ξύγγνωθ', Ἄνα! μηδέ τι μέμψῃ)
Ἐν τῷ προσφωνεῖν Σοὶ τὰ παρόντα ἔπη.
Καὶ ὕτως δ' εὔφρων δέξαι τάδε, μικρὸν ἐς ἄνδρα
Ὄρχαμον, ὐ μέντοι δῶρον ἄτιμον ὅλως.
Ἑλληνιστὶ δὲ χ' ἥδιόν κε λάβοις ὁ φιλέλλην
Ἑλλήνων τε ἄναχθ' υἱέα γεινάμενος.
Οὖλε, φίλη κεφαλή! κὴς πλείστυς ζῆθ' ἐνιαυτὺς
Τοῖος ἐὼν, οἷον Πετρόπολις φιλέει. —

Πρόλογος ἀπολογητικός.

Ξένον τοῖς πλείστοις τῶν ἐντυγχανόντων καὶ ἀλλόκοτον εἰκότως ἂν δόξειεν, ὅτι ἄνθρωπος, τό τε γένος καὶ τὴν φωνὴν Γερμανὸς, βιβλίον ἐτόλμησεν ἐκδῦναι προσευκτικὸν, τῇ ἑλληνικῇ συγγεγραμμένον διαλέκτῳ· ὀλίγοι μὲν γὰρ ἂν εἶεν οἱ μὴ ἄλογον ἡγησόμενοι εἶναι καὶ ἄτοπον, εἴ τις, Γερμανός γε καὶ αὐτὸς ὑπάρχων, Γερμανοὺς γεννηθέντας καὶ τῇ γερμανικῇ ἐντραφέντας γλώσσῃ, ἑλληνίζειν ἐθέλει προσευχομένους. Πρὸς δὲ τούτοις τοσοῦτόν ἐστι τὸ πλῆθος τῶν ἐν τῇ Γερμανίᾳ γερμανιστὶ ἐκδοθεισῶν λιτανευτικῶν βίβλων, ὥστ', εἰ μὴ μαινόμενον, ἀλλὰ περιεργαζόμενον γοῦν πάνυ φαίνεσθαι τὸν καὶ ἑλληνιστί τι ξυγγραφὲν, εἰς χρῆσιν τοῖς δεησομένοις, προσεπιδοῦναι βουλόμενον τοῦ Τεύτονος τοῖς παισίν. Φήσειε δὲ καί τις ἂν, ἐκείνην εἶναι ἐς τὸ προσεύχεσθαι ἀρίστην φωνὴν, τὴν ἑκάστῳ τῶν προσευχομένων σαφεστάτην τ' οὖσαν καὶ ῥᾴστην· μηδεμίαν δὲ τῶν ξένων γλωσσῶν ἢ γνῶναι βέλτιον ἢ ῥᾷον λαλῆσαι τὸν Γερμανὸν τῆς ἑαυτοῦ. Οὕτω πάνυ μέν τις φαίη ἄν.

᾿Αλλ᾿ ἔμοιγε, καίπερ ὁμολογοῦντι, μὴ εἶναι κενὰ τὰ τοῖς ἀντιλέγουσι δοκοῦντα, ὅμως οὔτ᾿ εὔηθες οὔτ᾿ ἀνωφελὲς δοκεῖ, τὸ καὶ ξένῃ γλώσσῃ χρήσασθαι προσευχομένους· μεταβολὴ γὰρ πάντων γλυκύ· φίλα δὲ τὰ ποικίλα, καὶ ψυχαγωγὰ τὰ νέα, καὶ τὰ ξένα προσδεκτά· πολλοὶ δὲ, οἷστισι τὰ καθημερινὰ, τὰ μὴ ἀμοιβαῖα, τά τε αὐτὰ καὶ τὸν αὐτὸν ἀεὶ τρόπον γιγνόμενα ἐφαυλίσθη, τὰ καινὰ γοῦν ταῦτα, καὶ τῶν τυχόντων τῶν τ᾿ ἐν χερσὶ κοινῶν ἐξηλλαγμένα, τῆς ἑαυτῶν ἀξιώσειαν ἂν προσοχῆς καὶ ἐπιστροφῆς. Τίς δ᾿ ἂν νεμεσήσειέ μοι, καὶ τῶν τοιούτων ποιησαμένῳ λόγον τινά; Καὶ γὰρ αὐτοὶ ἡμεῖς τῆς οἰκείας καὶ ἰδίας γλώσσης τοῖς ῥήμασι, διὰ τὸ καθ᾿ ἡμέραν ἀκούεσθαι αὐτὰ καὶ λέγεσθαι ἠδὲ καὶ ἀναγιγνώσκεσθαι, πολλῷ ἧττον τὴν διάνοιαν προσέχομεν πολλάκις· καὶ διὰ τοῦτο, ἅπερ τῇ ἡμετέρᾳ διαλέκτῳ συγγραφέντα ἀναλεγόμεθα, ἀσθενεστέραν ἔχει τὴν εἰς τὰς ψυχὰς ἡμῶν δύναμιν καὶ ἐνέργειαν. ᾿Ωφέλιμον οὖν ἂν εἴη καὶ ἡδύ, εἰ ἐνίοτε μὴ τῇ πατρῴᾳ καὶ μητρῴᾳ, ἄλλῃ δέ τινι φωνῇ χρήσαιο.

Καί τοι τί ταῦτα λέγω, ἐπεὶ ἐν ταῖς λιταῖς, καὶ ὅλως δὲ ἐν ταῖς ἱεραῖς χρείαις καὶ ὁσίαις πραγματείαις οὐ τὰ γλυκέα καὶ τερψίνοα, ἀλλὰ τὰ θεάρεστα καὶ ψυχωφελῆ δεῖ ζητῆσαι; ῾Ο γὰρ κἀν αὐταῖς ταῖς προσευχαῖς θηρεύων ἡδονὰς καὶ διώκων, φίλαυτος οὗτος, οὐχὶ φιλόθεος. Προσευκτέον ἐπ᾿ ὠφε-

λείᾳ ἡμῶν, ἀλλ' ὐκ ἐφ' ἡδυπαθείᾳ τινὶ ψυχικῇ, ὐδ' ἐπὶ τῷ αὐταρέσκυς εἶναι καὶ αὐταγήτυς, ἀλλ' ἐπὶ τῷ θεαρέστυς γενέσθαι καὶ θεοφίλυς. Οὗτος γὰρ τοῖς θεοσεβῦσι καὶ σκοπὸς ἅμα καὶ καρπός.

„'Αλλ' εἰ ὕτως ἔστι, κατὰ τί ποτε λέγεις, τοῖς προςευξομένοις αἱρετωτέραν τῆς γερμανικῆς τὴν ἑλληνικὴν εἶναι φωνήν; Θαυμαστὸν τῦτό γε καὶ δαιμόνιον, εἴ τις, ἀλλοδαπῇ ἀντὶ τῆς ἐγχωρίας γλώσσῃ χρησάμενος, κάλλιον εὐχοποιήσεται! Τί τὸ περισσὸν τῷ Γερμανῷ, ἑλληνιστὶ λιτανεύοντι; Εἰ κρεῖσσον ἅπαξ τὸ ἑλληνίζειν καὶ ὅλως τὸ ἑτερογλωσσεῖν ἐπὶ ταῖς λιτανείαις, τότε κακοδαίμων καὶ δυςτυχὴς ὁ ἀγρότης καὶ ἰδιώτης, τῆς οἰκείας μόνον φωνῆς ἐμπείρως ἔχων, μηδ' ἐπιστάμενος ἀλλόγλωσσον! 'Αλλὰ μὴ γένοιτο, ὑστερίζειν τὺς πολλὺς τὰ ἐκ τῆς προςευχῆς ἀγαθά! Τὸ γὰρ τῆς προςευχῆς καλὸν, ἥ τε ἀρετὴ αὐτῆς καὶ τιμὴ ὐδαμῶς ἐκ τῆς φωνῆς κρίνεται, ἀλλ' ἐκ τῆς διανοίας καὶ καρδίας μετρεῖται, κἀκείνη ἐστὶ καλλίστη καὶ βελτίστη φωνὴ, ἡ ἐκ βελτίστης καὶ καλλίστης ἱεμένη καρδίας, εἴτ' ὗν ἑλληνικὴ, εἴτε γερμανικὴ, εἴτε λατινίς. Ἁπλῆν καὶ ἄκακον γνώμην φυλαξάτω ὁ Γερμανός, καλοῖς καὶ ἀγαθοῖς χρησάσθω τρόποις, μηδὲ τοῖν δείνοιν ἔθνοῖν τὴν κακοπιστίαν μιμησάσθω· ὐδεμίαν τότε χρείαν ἕξει τῦ ἑλληνίζειν προςευχόμενος, ὐδ' ἀποτεύξεταί ποτε, ὧν δεήσεται.“

Ταῦτα μὲν κἀμοὶ συνδοκεῖ, καὶ ὁμογνώμων τὸ πολύ εἰμι τοῖς τὰ προειρημένα ὑποβάλλȣσιν. Πολλῶν μέντοι ἔγωγ' ἤκȣσα φασκόντων, εὐτυχέστερον, τȣ̃τ' ἔστι, προσεχέστερόν τε καὶ εὐσεβέστερον προσεύξασθαι, χρησαμένων ῥωμαϊστὶ γραφείσαις βίβλοις ἐς τὴν προσευχήν. Διὸ ȣ̓κ ἂν ἀτόπως ποιήσειεν ȣ̓δ' ἀλυσιτελῶς ὁ καὶ ἑλληνιστὶ λιτανεῦσαι ἢ παραινέσας ἢ παραινεθεὶς θελήσας. Εἰ μὲν γὰρ πολλοί, Τεύτονες μὲν γεννηθέντες καὶ τῇ τευτονικῇ παιδευθέντες φωνῇ, μεμαθηκότες δὲ καὶ τὴν ῥωμαϊκὴν γλῶσσαν, λατινιστὶ, ȣ̓ κατ' ἐπιταγὴν, ȣ̓χ' ὑπ' ἀνάγκης, ἀλλ' ἐθελονταὶ, ἀλλ' αὐτοκέλευστοι προσεύχονται, τί ἂν κωλύοι, τὰς αὐτȣ̃ λιτανείας ἀποτελέσαι καὶ ἑλληνιστί; Καὶ γὰρ ȣ̓ τι κακίων ἡ τῶν Ἑλλήνων φωνὴ τῆς τῶν Ῥωμαίων· σεμνὴ δὲ καὶ ἀφιερωμένη, διότι τὰ μὲν τῆς παλαιᾶς Διαθήκης δι' αὐτῆς μεθηρμηνεύθη, τὰ δὲ τῆς Καινῆς ἐν αὐτῇ κατ' ἀρχὰς συνεγράφη. Ἐγκωμιάζοι δέ τις καὶ ἄλλως ἂν τὴν ἑλλάδα φωνήν· πολλαὶ γὰρ αὐτῆς αἱ ἀρεταί. Ἀλλ' ἀρκεῖ ἐς ἐγκώμιον τὸ ἐκείνης τὰ εἰρημένα, ἐπεί γ', ȣ̓χ ὁποίᾳ τῇ γλώσσῃ, ἀλλ' ὁποίᾳ τῇ καρδίᾳ τις λιτανεύει, διαφέρει· ȣ̓ γὰρ τȣ̀ς λόγȣς ὁ Θεὸς τῶν δεομένων, εἰ καλοί, ȣ̓δὲ τὰς διαλέκτȣς, εἰ κομψαὶ, ἐρευνᾷ, ἀλλὰ τὴν ἑκάστȣ ἐν ταῖς δεήσεσι καὶ ἀξιώσεσι γνώμην σκοπεῖ, ἀκȣστὴς μὲν ὢν καὶ γνώστης πάντων τῶν

φθόγγων καὶ πασῶν τῶν γλωσσῶν, εἰσακέων δὲ καὶ ἐπιστρεφόμενος μόνων τῶν τῆς καρδίας ἡμῶν παρὰ τὴν προσευχὴν στεναγμῶν τε καὶ καλῶν αἰσθημάτων.

Πρὸς δὲ ταῦτα λέγοι τις ἄν· „Εἰ ἐς μόνην ὁ Θεὸς τὴν ἔνδοθι γνώμην κἀς μόνας τὰς τῆς καρδίας ἡμῶν αἰσθήσεις βλέπει, πρὸς τί ποτε τὸ σὸν ἡμῖν ἐπιφέρεις εὐχολόγιον, καὶ ταῦτα ἑλληνικόν; τί τῶν σῶν ὄφελος ῥημάτων, τȣ̃ τῶν αἰσθημάτων μόνων φροντίζοντα καὶ ἐντρεπόμενον ἀποφαίνοντος Θεόν; Ἀληθὲς μὲν λέλεκταί σοι τὸ, μὴ ἄγειν ἐν μηδεμιᾷ μοίρᾳ τὸν Θεὸν τὰ τȣ̃ στόματος, ἐὰν μὴ καλῶς ᾖ διατεθειμένα καὶ τὰ τȣ̃ φρονήματος. Ἀλλ' ȣ̓́τε μόνος σὺ τȣ̃τό γ' ȣ̓́τε πρῶτος ἀπέφθεγξαι· ᾔσμεν γάρ πȣ καὶ αὐτοὶ, τὰ ἐνδότερα μάλιστα τȣ̃ ἀνθρώπȣ, ὅπως διάκειται, σκέπτεσθαι τὸν Θεόν· καὶ ἀπαιτεῖν μὲν Αὐτῷ τὸν πάντων Κύριον καὶ ψυχῆς καὶ σώματος παρ' ἀνθρώπων λατρείαν, ὡς ἀπαρχήν γέ τινα καὶ τόκον καὶ ἐπικαρπίαν τῆς διττῆς φύσεως τῆς ἀπ' Αὐτȣ̃· μὴ ἥδεσθαι δὲ μηδ' ἐξιλεȣ̃σθαι μόνοις τοῖς τȣ̃ ἔξω ἀνθρώπȣ, ἀλλ' ὁρᾶν καὶ ἐν λόγῳ τιθέναι μάλιστα τὰ τȣ̃ ἔσωθεν ἀνθρώπȣ. Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τȣ̀ς προσκυνȣ̃ντας Αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· ἐξερευνητὴς τῶν νεφρῶν ὁ Κύριος, καὶ ἐξεταστὴς τῶν καρδιῶν· καλαῖς διανοίαις χρῆσθαι ἡμᾶς καὶ

σπȣδαίοις ἤθεσι βȣ́λεται μᾶλλον, ἢ καλοῖς λόγοις. Σφάλοιτο δ' ἂν πάμπανυ ὁ τέχνην τινὰ λεκτικὴν καὶ ἐπιστήμην ῥηματικὴν εἶναι νομίσας τὴν προσευχήν. Πατὴρ γὰρ τοῖς ἀνθρώποις ὁ Θεός· πρὸς δὲ πατέρα ἀφελὴς, ἀπερίεργος καὶ εὐμαρὴς ἡ ὁμιλία· λαλήσω πρὸς αὐτὸν, ἅπερ ἂν ὁ ἐν τῷ στήθει θυμὸς κελεύσῃ με. Οὐ δέομαι υἱὸς τȣ̃ διδάξοντος τὸ, πῶς τε καὶ ποῖα χρὴ λέγειν πρός μȣ τὸν γονέα. Σοὶ ȣ̃ν ἔστω αὐτῷ, ὃ ἡμῖν μόνον ȣ̓ βίᾳ προσάγεις βιβλαρίδιον· σὺ τȣ́τῳ χρήσαιο ἄν, ἐπεί γε νομίζειν ἔοικας, μὴ δύνασθαι προσηκόντως καὶ συμφερόντως προσομιλεῖν τῷ Θεῷ τȣ̀ς εὐχολογίȣ ἐρήμȣς τυγχάνοντας." Ταῦτα μὲν λέξειέ τις ἄν.

'Αλλ' ἐγὼ ἀναγκαῖον μὲν τὸ εὐχολογίῳ χρῆσθαι ȣ̓ φημί· ὀνήσιμον δὲ πολλοῖς φημί, διὰ τὸ ἀσθενὲς πολλάκις τῆς ἀνθρωπείας ψυχῆς· τὰ γὰρ καλὰ καὶ χρηστὰ τῶν δεητικῶν βιβλίων — εἴθε δὴ τȣ̓μὸν τȣτὶ εἴη τοιȣ̃τον! — τῆς εἰς τὸν Θεὸν ἀναγωγῆς προαγωγά ἐστιν, ὕλην καὶ ὑπόστασιν τοῖς περὶ τὴν εὐσέβειαν ἀσχολȣμένοις πορίζοντα, καὶ ἀφορμὰς παρέχοντα τοῖς ἀγυμνάστοις καὶ ἀνασκήτοις τῶν ἐς Θεὸν ἀναβάσεων. 'Εστὶ δὲ τὰ εὔχρηστα καὶ μὴ καταδεᾶ τῶν εὐχολογίων, ὥς γ' ἐμὲ ἐγνωκέναι, τȣ̃ Θεȣ̃ ȣ̓ μόνον ὡς ἀρχηγȣ̃ τῆς φύσεως καὶ διοικητȣ̃, ἀλλὰ καὶ ὡς κατὰ χάριν ὑπερφυῶς πατέρος θεωρητικὰ, θαυμαστικὰ, προσκυνητικὰ καὶ

φιλητικά, — ὐδὲ μὴν ψιλῶς ἠθικὰ καὶ τῶν ἑκάστῳ ἔς τε τὸν Θεὸν ἔς τε τὺς πλησίον καθηκόντων ἀπομνημόνευσιν καὶ διήγησιν ἔχοντα, ἀλλ' ἅμα καὶ δογματικὰ καὶ τῆς τε πίστεως τῆς τ' ἐλπίδος τῆς τ' ἀγάπης ἐγερτικὰ, θρεπτικὰ καὶ ἀσκητικά. Τὰ ὖν τῦ καλῦ εὐχολογίυ πρῶτον μὲν διδακτικά ἐστι καὶ φωτιστικά πως τῦ νῦ, εἶτα δ', ὅσον γε δύναται ἐξ ἑυτῶν, πειστικὰ καὶ προτρεπτικὰ τῆς βυλητικῆς τῶν εὐχοποιυμένων δυνάμεως, ἐπὶ δὲ τύτοις καὶ τῷ ὄντι προσευκτικὰ, ἤτοι ὀρθῶς ὁρμητικὰ πρὸς τὸν Θεὸν καὶ τῆς ψυχῆς ἐς Αὐτὸν ἀληθῶς ἐκχυτικά. Εἰ δὲ αἱ ἐμαὶ αἵδε σελίδες τὰς τοιαύτας ἔχυσιν ἀρετὰς, ὁ χρώμενος ταύταις αὐτὸς ὄψεται καὶ σταθμήσεται· καὶ μὴ εὑρὼν τοιαύτας, συγγνώσεται, εἰδὼς, μηδένα ἂν, μόνον ὄντα, κατὰ πάντα ἀρκέσαι πρὸς τὴν τῦ τοιῦδε πράγματος χαλεπότητα· τὸ μὲν γαρ ἐνθύμημα ῥᾴδιον, τὸ δὲ ἔργον πολὺ καὶ μέγα καὶ ἑνί γε ὄντι ἀνήνυστον· μόλις δ' ἂν καὶ πολλοὶ ὄντες ἐξανύσειαν, ἐμῦ δεινότεροι, τῦ ἀνικάνυ πρὸς τὰ τοσαῦτα. Οὐκ εὔκοπον, καὶ εὐχοποιήσασθαι καθ' αὑτὸν νομίμως ἱκανῶς τε· πῶς ὐ χαλεπώτερον, ἄλλοις εὐχὰς ποιῆσαι, καὶ ταῦτα ξένῃ γλώσσῃ, πᾶσιν ἐπιτηδείας, πᾶσι προσδεκτὰς ὁμῦ; Ἐκεῖνο δὲ, τὸ τέκνα ἡμᾶς χρηματίζειν τῦ Θεῦ, ὐ ποιεῖ περιττὰ τὰ εὐχολόγια ὐδ' ἄχρηστα· ἔστι γαρ, ὅτε, καὶ παῖδας, ἀγαθὸν, διδαχθῆναι,

τί τε καὶ πῶς δεῖ τῷ ἰδίῳ πατέρι διαλέγεσθαι, καὶ ποῖα χρὴ αἰτεῖσθαι παρ' αὐτȣ̃· καὶ πᾶσι γὰρ ἡμῖν πατρὸς ὑπάρχοντος τȣ̃ Θεȣ̃, καὶ πάντων ἡμῶν τῷ Θεῷ παίδων ὄντων, ȣ̉ μὴν πάντες γ' ἴσμεν, τὰ ἄξια τȣ̃ ἡμῶν πατρὸς Θεȣ̃, τὰ δέοντα, τὰ αὐτοῖς ἡμῖν συμφέροντα αἰτῆσαι.

Μηδεὶς δ' ἐγκαλείτω μοι λέγων· „Διὰ τί ἐπὶ τοιῶνδε ἀφορμῶν εὐχὰς κἀπὶ τοιȣ́των ἔγραψας καιρῶν, ἐν οἷς ἀνεγχώρητος ἡ τῆς βίβλȣ χρῆσις πολλάκις, ἤγȣν χαλεπή, εἰ μή τις ἐκμαθὼν ἀπὸ μνήμης εὔχεσθαι θέλοι; Πῶς μὲν γὰρ ἂν ὁ τȣ̃ κώδωνος ἢ τȣ̃ ὡρολογίȣ ἀκȣ́σας φθογγαζομένȣ, πῶς δ' ὁ δειπνήσων ἢ δειπνήσας ἐκ βιβλίȣ εὐχοποιοῖτο; Πῶς δὲ καὶ τῇ πρωΐᾳ τις, τῇ ἑσπέρᾳ, τῇ μέσῃ νυκτὶ εὐχολογίῳ χρήσαιτ' ἄν, λύχνȣ τοσάκις ἀπορῶν; Τοιαύτας τοι ἔδει συντάξαι εὐχὰς, οἵας, μηδέποτε ἀνένδεκτον εἴη, εὔξασθαι."

'Αλλ' ἐγὼ, τοιάσδε προσευχὰς ἐπὶ τοιῶνδε συγγράψας καιρῶν τε καὶ χρειῶν, ȣ̉κ ἠθέλησα ἄλλο ȣ̉δὲν, εἰ μὴ διδάξαι, ὁποῖα δεῖ φρονεῖν τε καὶ λέγειν τὸν χριστιανὸν ἐν παντὶ μὲν καιρῷ, ἐν πάσαις δὲ περιστάσεσιν, ἐν πᾶσι δὲ πράγμασιν. Οὐ περίεργον δ' ȣ̉δὲ πάρεργον τὸ δεῖξαι, τί προσεύχεσθαι ἢ δύναται ὁ θεοσεβὴς ἢ ὀφείλει· τȣ̃το δὲ καὶ μόνον ἠβȣλόμην. 'Απὸ στόματος ȣ̉̃ν, μᾶλλον δ' ἀπὸ ψυχῆς, παραπλήσιόν τι, οἷς ἀνέγνωκας, προσεύξαιο

ἄν, ὅταν ἀπὸ βιβλίȣ μὴ ἐνδέξηται. Οὐκȣ̃ν ὠφέλειάν τινα, καὶ τοιȣ̃τον ὄν, παράσχοι ἂν τȣ̉μὸν σύνταγμα, ὅταν μὲν ἀναγνῶναι ἐξῇ, αὐτῇ τῇ ἀναγνώσει, ὅταν δὲ μὴ, τῇ τῶν ἀνεγνωσμένων ἀναμνήσει.

Δίκαιον δ', ἢ εὔλογον γȣ̃ν, τȣ̉μὸν ἐπιχείρημα γένοιτ' ἂν καὶ ἐντεῦθεν, ὅτι ἐν τῷ νῦν χρόνῳ πολλοὶ τυγχάνȣσι κατὰ τὴν Γερμανίαν τῆς ἑλληνίδος φωνῆς ἐρασταί τ' ὄντες καὶ γνῶσται· ποθήσειαν μὲν γὰρ ἂν ȣ̃τοι καὶ ἡδέως ἂν δέξαιντο παρὰ τὰς ἄλλας, ἅσπερ κέκτηνται, ἑλλαδικὰς βίβλȣς καὶ προσευκτικὸν ἐγχειρίδιον ἑλληνίζον· ἔνιοι δὲ, φιλέλληνες μόνον ὄντες, γένοιντ' ἂν φιλητικοὶ καὶ τȣ̃ προσεύξασθαι, προσεπικτησάμενοί γε τοῖς λοιποῖς αὐτῶν ἑλληνικοῖς γράμμασιν ἑλληνίδι γλώσσῃ φράζȣσαν καὶ δεήσεων ἤτοι προσεύξεων βίβλον. Πολλοῖς γὰρ διὰ τὸ ῥῆμά τε καὶ σχῆμα ἁνδάνει καὶ τὸ πρᾶγμα· πολλοῖς φίλα τἀγαθὰ ȣ̉ δι' αὐτὰ, ἀλλὰ διὰ τὰ αὐτοῖς ἀκολȣθȣ̃ντα καὶ ἔξωθεν προσγενόμενα· καὶ γὰρ τὰ αὐτὰ βρώματα καὶ τὸν αὐτὸν πότον προθυμότερον πολλοὶ καὶ ἥδιον προσδέχονται, ἐὰν μὴ ἐν τῇ αὐτῇ ἀεὶ παροψίδι κἂν τῷ αὐτῷ ἐκπώματι παραθῇς, ἢ καινῷ χρώματι ἢ καλῷ μορφώματι χαριέστερον τοῖς ὀφθαλμοῖς τὸ γεῦμα παρασκευάσῃς, ἢ καὶ ἀρτύμασί τισι καὶ γλυκύσμασιν ἢ ὁποιοισδήποτε μίγμασι καὶ ἐρεθίσμα-

σιν εὐωδέστερον τῷ τε στόματι προσφιλέστερον τὸ παρατιθέμενον ἀπεργάσῃ χυμίσας, εἰ καὶ μηδὲν ἐκ τȣ́τȣ ὑγιηρότερον ἔσται. Εὑρίσκονταί γ' ȣ̉κ ὀλίγοι τȣ͂ δοκȣ͂ντος πλείω τὸν λόγον ἔχειν ἤπερ τȣ͂ ὄντος, φιλεῖν τε ȣ̉ τὸ ὑπ' ἐσθῆτι καλὸν καλυπτόμενον, ἀλλ' αὐτὴν τὴν ἐσθῆτα διὰ τὸ ποικίλον αὐτῆς καὶ δαίδαλον καὶ εὔσχημον. Ὅσοις μὲν ȣ̃ν πεφίληται τὸ πολύσχημον καὶ ποικιλόμορφον καινότερόν τε τῶν ἐν ἀνθρώποις φαινομένων, ȣ̃τοί γ' ȣ̉κ ἂν ἀπαρεσθεῖεν τῷ τοιȣ́τῳ πονήματι, ἀλλ' ἄσμενοι ἂν αὐτῷ χρήσαιντο. Ἐγὼ δὲ χαρείην ἄν, εἴ τις, φιλέλλην ὢν μόνον, καὶ φιλοπρόσευχος φιλόχριστός τε γένοιτο· ἄμεινον γὰρ, κἂν ἐν παρέργῳ κȣ́φως τε κἀσπȣδεὶ, τῷ Θεῷ εὔχεσθαι, ἢ παντελῶς ἄνευκτον ὄντα διατελεῖν. Ὅ,τι δ' ἂν ἀντιλέξῃ τις, αὐτός γ' ἐμαυτῷ σύνοιδα, μηδὲν ἄλλο θελήσαντι, εἰ μὴ ἐπ' αὐξήσει τῆς Θείας δόξης τȣ̀ς πλησίον ὠφελῆσαι τȣ̀ς ἐντυγχάνοντας.

Ἐνταῦθα δ' εἴποι τις ἄν· „Σὺ δ', ἆρ' ȣ̃ν ȣ̃τως εἶ δεινὸς τὰ περὶ τὴν φωνὴν τὴν ἑλληνικὴν, ὥστε, συγγράψας τι ἑλληνιστὶ, εὐδοκιμήσειν;" Πρὸς τȣτὶ τὸ ἐρώτημα ȣ̉κ ἔχω καταφατικῶς ἀποκρίνασθαι· συμφάναι γὰρ ἀνάγκη τοῖς εὑρίσκȣσι τȣ̉ναντίον, καὶ τἀληθὲς ὁμολογεῖν, ἐπιστάμενον τῆς ἐμῆς παιδείας τῆς κατὰ τὴν τῶν Ἑλλήνων φωνὴν τὸ ἐλλιπὲς καὶ ἐπιδεές, ὡς καὶ πᾶς ὁ ἐπιπλέον αὐτὴν καὶ ἀκρι-

βέστερον δεδαημένος εἴσεται· ὐδὲ γὰρ αὐτὸς ἐμαυτὸν λανθάνω ἧττον ἱκανὸς ὢν πρὸς τὸν ἑλληνισμόν. Ἀλλ' ὐ ψευσαίμην ὐδ' ἀναισχύντως ἂν ἀπολογησαίμην ὑπὲρ ἐμαυτῦ, φήσας, ὅτι καὶ τῶν λατινιστὶ ἐκδοθέντων εὐκτηρίων βιβλίων τὰ πολλὰ ὐκ ἔχει τὸ ἀκριβὲς καὶ τὸ γνήσιόν τε καὶ καλὸν τῆς φωνῆς τῆς τῶν Ῥωμαίων· ὐ μέντοι τῦτυ γ' ἕνεκεν ἀχρηστεῖ ἐκεῖνα, ὐδ' ἀποδοκιμάζεται. Συγγνωστὸν δ', εἴ τινες τῶν λατινίδι γλώσσῃ γραψάντων λιτανευτικὰς βίβλυς Γερμανῶν τε καὶ ἀλλοεθνῶν ἀνδρῶν ἀμελέστερον ἔσχον τῆς λέξεως· ὐ γὰρ, ὥσπερ τῶν ἀνθρώπων οἱ πολλοὶ, τῆς γραμματικῆς καὶ καλλιῤῥημοσύνης λόγον ἔχει καὶ ὁ Θεὸς, ὁ ὐ τὰς ῥήσεις, ἀλλὰ τὰς πράξεις ἀνακρίνων, ὐδ' εὐέπειαν, ἀλλ' εὐήθειαν ἀπαιτῶν καὶ καλοκἀγαθίαν, — καίπερ ἄλλως ἐπαινετῆς ὔσης τῆς ὀρθῆς φράσεως κἀν ταῖς προσευχαῖς. Ἐγὼ δέ, πρῶτος, ὅσον γ' ἐμὲ εἰδέναι, τῶν τῦ Τεύτονος παίδων τά γε τοιαῦτα ἑλληνίσας, καὶ προσέτι τά γε πλεῖστα καὶ μόνος, τῦτ' ἔστιν, ἔρημος μὲν ὢν τὸ πολὺ τῶν ἐπιτηδείων ἐς τῦτο βίβλων, ἔρημος δὲ καὶ ἀνδρῶν συνεργῶν, δικαίως ἂν συγγνώμης τύχοιμι παρὰ τῶν ἐντυγχανόντων. Μεμψάσθωσαν, οἵτινες ἂν θέλωσι, τὴν τόλμαν· ἀλλὰ τὸν ἅπαξ τολμήσαντα πρᾴως φερέτωσαν.

Ὅστις δὲ ὕτω τὴν αὐτῦ γνώμην διάκειται, ὥστε νομίζειν, μηδὲν ἐξοιστέον ἐς τὸ φῶς, εἰ μὴ τὰ

παντελῶς καλὰ καὶ ἀπηρτισμένα, ἐκεῖνος γ' ἄδικος ȣ̓κ ἐς ἐμὲ μόνον, ἀλλὰ καὶ ἐς πάντας τȣ̀ς τε πρὸ ἐμȣ͂ γράψαντας καὶ τȣ̀ς μετ' ἐμὲ γράψαι μέλλοντας τοιȣ͂τόν τι ἢ ὁποιονδήποτε· ȣ̓́τε γὰρ οἱ προϋπάρξαντες τῶν συγγραφέων κατὰ πάντα γ' ηὐδοκίμησαν, ȣ̓́θ' οἱ μέλλοντες ἔσεσθαι τοιαῦτ' ἂν ἐκδοῖεν, οἷα ἐπὶ πᾶσι κρότȣ τεύξεσθαι. Οὐ καταφρονητέον δὲ τῶν πρότερον, κἂν μὴ πάντα γε καλῶς γραψάντων, ȣ̓δὲ φόβος ἐμβλητέος τοῖς μέλλȣσί τι καὶ ὕστερον συγγράφειν· ὑπερβολὴ δὲ πάντων δεινόν, ȣ̓δ' ἀνεμέσητον ἡ λίαν καὶ ὑπὲρ τὴν τῶν πέλας δύναμιν ἀξίωσις. Πῶς γὰρ ἂν ἐπὶ τὸ συγγράφειν τι προτραπείη τις, ἔξοχα μόνον καὶ παντάπασι διαπρεπῆ ἀξιȣ͂ντός τȣ; Τίς ποτε θαρσήσειεν ἂν τȣ͂ λοιπȣ͂ συντάξαι τι, ἀπαιτȣ͂ντός σȣ παντέλεια καὶ πάγκαλα; Ὁ τὰ ὑπὲρ τὴν ἰσχὺν θέλων, ȣ̓δὲν θέλει, ȣ̓δὲ μέμνηται ἄνθρωπος ὤν, ἀξιῶν γε πρὸς ἄλλων γενέσθαι, ὃ ȣ̓δαμῶς ἂν καὶ αὐτὸς ἀνύσειεν.

Ἐπαίνȣ τοι μᾶλλον ἢ ψόγȣ ἄξιος ὁ καλόν τι καὶ σπȣδαῖον τολμήσας, ὁ χρηστῷ καὶ ὀνησίμῳ ἐπιχειρήσας πράγματι, καὶ πολλῷ περ ἀπολειφθεὶς τῶν προῃρημένων καλῶν. Κἀγὼ ȣ̓͂ν, ἅτ' ȣ̓ μεῖζόν τι ἢ κατ' ἄνθρωπον ὑπάρχων, ὢν δὲ καὶ μάλα μέτριός τις ἄνθρωπος, ȣ̓́τ' ἠβȣλόμην ȣ̓́τ' ἐπηγγειλάμην δȣ͂ναι πανάγαθα καὶ πάγχρηστα· τὰ γὰρ τοιαῦτα ȣ̓κ ἂν δοίη τις θνητὸς ὤν. Ἀδικήσεις ἄρ'

ἐπιτιμήσας μὴ δόντι μοι, ἅ γε καὶ μὴ ὑπεσχόμην, μηδ' ἠδυνάμην ὑποσχέσθαι. Ἀγαπᾶν τοιγαροῦν, ἀνάγκη, σε τοῖς μετρίοις τούτοις, εἰ δὴ καὶ μέτριά γ' ἔστιν· ἅτινα, ὡς καὶ φθόνου οὐκ ἄξια φαίνεται, οὕτως οὐδὲ σκυβαλισμὸν ὀφλισκάνει. Συγχωρητέον γὰρ κἀμοὶ τὰ τοῖς πρότερον συγγραφεῦσι δίκαια δεδομένα· οὐδεὶς δ' αὐτῶν πάντα μάλ' ὀρθῶς, πάντ' ἔγραψε καλῶς, μάλιστα δ' οἱ ἐξάρξαντές τινος πράγματος καὶ πρῶτοι πειραθέντες· οὐ γὰρ πώποτέ τις, πρῶτος ἐπιχειρήσας τινὶ, παραχρῆμα καὶ αὐτίκα παντελὲς τὸ αὐτοῦ ἀπέδειξεν ἔργον, ἀλλὰ τῷ ὕστερον χρόνῳ καὶ τῇ βάδην τῶν μὲν βελτιόνων προσθέσει, τῶν δὲ χειρόνων ὑπεξαιρέσει καὶ ἐπανορθώσει τὰ ἀνθρώπινα ἐτελειώθη. Καὶ τοῦτο μάλ' εἰκότως, ἐπεὶ εἷς γέ τις ὢν οὐκ ἂν δύναιτο τὰ πάντα· ἀπεοικὸς δ' εὑρίσκεται οὐδὲ δίκαιον, εἴ τις ἕνα γε ἄνδρα πανέξοχα δοῦναι ἀξιοῖ καὶ πάγχρυσα· εἰ γὰρ ἤδη καὶ οἱ πρὸ ἡμῶν διαφερόντως κἀξαιρέτως ἀγαθὰ, παντάπασί τε καλὰ καὶ ὁλοκλήρως χρηστὰ ἐξήτησαν παρὰ τῶν συγγραφέων, νῦν οὐδὲ καὶ μέτριά γ' εἴχομεν ἄν· τίς γὰρ ἂν ἐτόλμησεν ὑποστὰς συγγράψαι τι, οὕτως ἐκπρεπῆ καὶ τέλεια δέον ἐξενέγκαι; — Ὅθεν φέροις ἄν με ὁ ἀναγιγνώσκων· ἢν δὲ μήγε, ἐγώ σε οἴσω· οὐδὲν ἀδικήσει ὁ μῶμος τὸν μηδ' αὐτὸν μέγα ἐπὶ τοῖς αὐτοῦ φρονοῦντα γράμμασι, σύμψηφον δὲ καὶ συγγνώμονα

ὄντα τοῖς μετρίως γ' αὐτὰ ψέγουσι· συγγνώμης γὰρ κατὰ πολλὰ δέομαι.

Συγγνοῖεν οὖν μοι οἱ ἀναγιγνώσκοντες τοῦτο πρῶτον, εἴ που τῶν προσῳδικῶν σημείων ἐπελαθόμην ἢ ἀστόχως δι' ἀγνωσίαν τὴν ἐπίθεσιν ἐποιησάμην· — τὰ γὰρ καὶ τοῖς τοὺς τύπους θεῖσι τάχα που ἡμαρτημένα, οὐκ ἐμοὶ προσήκει. — Εἰ μὲν γὰρ ἄλλοις τισὶ πάντα παραιτήσασθαι ἐξῆν τὰ προσῳδιακὰ ὡς μὴ ἀναγκαῖα, πλὴν τοῦ δασέος πνεύματος καὶ τῆς περισπωμένης καὶ τῆς ἀποστρόφου, κἀμοὶ ἂν τὸ μὴ ἕκαστά γε ἀκριβῶσαι σύγγνωμον εἴη. Ἐξείη δ' ἂν καὶ μᾶλλον ἢ ἀμαθέστερον ἢ ἀμελέστερον τῶν τοιούτων ἔχειν ἐνταῦθά γ', ὡς ἐν εὐχολογίῳ, ᾧ τὸν καλῶς χρήσασθαι ἤτοι ἀληθῶς εὐχοποιήσασθαι βουλόμενον οὐ τῶν κεραιῶν, ἀλλὰ τῶν εἰς Θεὸν ἀναβάσεων δεῖ φροντίσαι. Ἐπειρώμην μέντοι πάντα, καθ' ὃν χρὴ νόμον, τονῶσαι τὰ ῥήματα καὶ ὀνόματα, ὅσων ὁ τόνος, ὁμωνύμων ὄντων ἑτεροσημάντων, τὴν δύναμιν διακρίνει καὶ ὁρίζει τὸν νοῦν· οὐδ' οἶμαι τῶν τοιούτων τινὸς ἀστοχῆσαι. Τῶν δ' ἐλάσσονος ἀξίων, εἴ τι ἢ ἀγνοήσας ἔθηκα πλημμελῶς, ἢ παριδὼν ἔτυχον καὶ παραλιπὼν, ἐλπίζω ἐγὼ, μὴ ἔσεσθαι μηδένα οὕτως ἢ ἄδικον ἢ μικρολόγον, ὥστ' ἢ λίαν ἐπιτιμῆσαι τοῖς ἀστοχήμασί μου τούτοις καὶ παροράμασιν, ἢ διὰ τὰ ἀγνοηθέντα μοι καὶ παραλειφθέντα ἀποπτύσαι, καὶ

τῶν λοιπῶν εἴ τι ὀρθῶς καὶ καλῶς ἔχοι· εἰ γὰρ καὶ χαλεπὸν πολλῆς τε δεόμενον ἀκριβείας ἡ νομίμη ἑκάστοτε καὶ πανταχῇ τῆς προσῳδίας θέσις, ἀλλ' ὅμως ῥᾷον τά γε πολλὰ τὸ μαθεῖν, τὰ τονίζοντα τοῖς γράμμασιν ἐπιθεῖναι σημεῖα, ἤπερ αὐτὰ συνθεῖναι τὰ γράμματα.

Δέομαι δὲ συγγνώμης, καὶ εἴ τινας κακομετρήσας ἢ παραμετρήσας ἐλέγχομαι στίχους· πλέον γάρ τι αὐτόνομον τὴν μετρικὴν ἐξουσίαν εἶναι ἐνόμισα τῷ εὐχὰς ἐμμέτρως πειρωμένῳ γράψαι· ἔνια δὲ παρὰ τὸν ποιητικὸν τρόπον κατά τε τοῦ μετρικοῦ νόμου μετρῆσαι ἐν τοσούτοις τε καὶ τοιούτοις ἔπεσί τις καὶ ἀναγκασθείη ἄν. Οὐ μέντοι εὑρήσεις τοιοῦτόν τι ἔν γε τοῖς στιχουργήμασιν, οὗ μὴ ἢ παρ' Ὁμήρῳ ἢ παρ' ἄλλῳ γοῦν τινὶ τῶν ποιητῶν, μάλιστα δὲ τῶν τὰ χριστιανικὰ στιχισάντων, παραδείγματ' ἀπαντᾷ. Μόνῃ δὲ τῇ οὐ θλίψει τῶν βραχέων φωνηέντων, δέον διὰ τὰ ἑπόμενα καὶ ἑξῆς παρακείμενα ἀποστρέψαι, με πλέον ἢ κατὰ τὴν μετρικὴν ἐξουσίαν τολμῆσαι, δικαίως ἂν εἴποι τις. Ἀλλ' ἔχω ἐγὼ κἂν τούτῳ προκαταγέτας καὶ ὡσεὶ πρότυπα τοὺς ποιητὰς, οἵτινες, ἀναγκασθέντες τοῖς τοῦ μέτρου νόμοις, εἰ μὴ τὰ αὐτὰ καὶ τοσαῦτα, ἀλλ' οὖν ὅμοιά γε καὶ παραπλήσια οὐκ ἐξέθλιψαν. Ἀπολογοῖτο δ' ἂν ὑπὲρ ἐμοῦ περί γε τούτου καὶ τὸ ποικίλον τῶν μέτρων καὶ τὸ συχνὸν τῶν στίχων καὶ αὐτὸ τῶν ὑποθέσεων

τὸ ποιὸν, ἅ γε καὶ ἐβίασεν ἑτωσὶ χρῆσθαί τισι ῥήμασιν. Ἰστέον δὲ καὶ, ὡς τῷ στόματι μόνον καὶ τῇ προφορᾷ τε καὶ βραχυλογίᾳ ἡ ἔκθλιψις εὑρεθεῖσα εὐχρηστεῖ, ἐκ ἀναγκαῖον δ' ἐστί, τῇ φύσει μὲν ἀνάλογος ἔσα, ἔθει δ' εἰσαχθεῖσα, ἔθει καὶ μέτρε ἀνάγκῃ νῦν μὲν πλέον, νῦν δὲ ἧσσον φυλαττομένη· ἔνθα μὲν γὰρ χρησαμένες αὐτῇ καὶ τὲς πεζογράφες καὶ τὲς στιχοποιὲς εὑρίσκομεν, ἔνθα δ' αὖτ' ἐχί. Ἀμελήσας ἔν πολλαχῇ τε τὰ βραχέα τελευταῖα φωνήεντα τῇ ἀποστρόφῳ ἀποκόψαι, τῆς ἐχομένως λέξεως τὸ πρῶτον γράμμα φωνῆεν ἐχέσης, ἐποίησα μὲν παρὰ τὰ νενομισμένα τῆς γλώσσης, ἀλλ' ἐ παρὰ τὴν φύσιν αὐτῆς.

Πολλοὶ δὲ, τοῖς ἐγκρίτοις μάλιστα τῶν ξυγγραφέων προσειθισμένοι, δυσχερεῖς γένοιντ' ἂν καὶ ἐπὶ τῷ χρήσασθαί με ἐκ ὀλίγαις λέξεσί τε καὶ φράσεσιν, ἅστινας παρὰ τοῖς Ἑβδομήκοντα μόνον κἀν τῇ καινῇ Διαθήκῃ καὶ παρὰ τοῖς ἁγίοις Πατράσι καὶ ὅλως παρὰ τοῖς νεωτέροις τε καὶ φαυλοτέροις λεγομένοις συγγραφεῦσιν ἰδεῖν ἔστι, τοῖς πλείστοις τῶν λεξικῶν ἐκ ἐγγεγραμμένας. Χρῆσιν δὲ ποιησάμενος τῶν ἐν τοῖς Ἑβδομήκοντα κἀν τοῖς Εὐαγγελίοις καὶ ἀποστολικοῖς γράμμασιν ἀπαντώντων ὀνομάτων τε καὶ φράσεων, ἔσθ' ὅπε καὶ ἑβραΐζειν ἐποίησα τὴν βίβλον· πολλοὶ γὰρ ἐν ἀμφοτέρᾳ τῇ Διαθήκῃ καὶ ἑλληνιστὶ φραζέσῃ ἑβραϊσμοί. Τέτοις

δὴ ἐνίοτε κἀυτὸν χρήσασθαι ἢ θελήσαντα ἢ ἐπαναγκασθέντα ὐδεὶς αἰτιάσεται ὁ μεμνημένος, ὡς κἀν ταῖς ῥωμαϊστὶ καὶ τευτονιστὶ ἐξενεχθείσαις προσευκτικαῖς βίβλοις ἑβραϊκαὶ εὑρίσκονται φράσεις, ὐδ' ὅμως ἐπιμωμᾶται ὐδείς, διὰ τὸ ἑκάστῳ ἤδη τῶν χριστιανῶν ἑβραΐζοντάς τινας τῆς λέξεως τρόπυς μήτ' ἀήθεις εἶναι μήτ' ἀσαφεῖς. Τῦτο μέν μυ τὸ ἀπολόγημα πρὸς τὺς ἐφ' ἑβραισμοῖς τισὶν ἀγανακτῦντας.

Τὸ δὲ πρὸς τὴν χρῆσιν λέξεών τε καὶ φράσεων τῶν τοῖς νεωτέροις ὖσι καὶ φαυλοτέροις δοκῦσι συγγραφεῦσιν εἰωθυιῶν, ὕτω γιγνώσκω· ἐγὼ γὰρ πᾶσαν μὲν λέξιν χρηστήν τε κεὐδόκιμον ἡγῦμαι τὴν ὀρθῶς σημαίνυσαν καὶ εὖ τιθεμένην τε καὶ συζευγνυμένην, πᾶσαν δὲ φράσιν καλήν τε κἀγαθὴν εὑρίσκω τὴν τὰ ἐννοήματα καὶ αἰσθήματα σαφῶς δηλῦσαν καὶ ἱκανῶς ἐκλαλῦσαν. Οὐδεμία τοι καθ' ἑαυτὴν χρηστὴ λέξις, ὐδεμία δὲ καθ' ἑαυτὴν κακή· ὐδὲ καλὸν κἀγαθὸν καὶ δόκιμον ῥῆμα τῷ παρὰ χρηστοῖς κεὐδοκίμοις εὑρίσκεσθαι συγγραφεῦσιν, ἀλλ' ἐπιτήδειον, εὔχρηστον, δεινὸν γνήσιόν τε καὶ καλὸν πᾶν ῥῆμα καὶ ὄνομα τῷ καταλλήλῳ νῷ, τῇ κατὰ τὰ ὅλα σημάνσει, τῇ θέσει, τῇ συζεύξει καὶ συντάξει, καὶ ὅλως τῇ εὐφυεῖ τε καὶ ἀγαθῇ γίγνεται χρήσει. Καὶ τὰ τῶν ὑστέρων ὖν καὶ ἀφανεστέρων συγγραφέων ῥήματα ὐ φαῦλα ὐδ' ἀδό-

κιμα, ἐὰν μὴ φαύλως, μὴ ἀστόχως, μὴ ἀκαίρως, εὐφυῶς δὲ καὶ δεξιῶς καὶ ἐμμελῶς τις χρήσηται. Πᾶσα τοιγαρῦν λέξις καλὴ, πᾶσα φράσις ὀρθὴ, ἐὰν ἡ μὲν καλῶς, ἐν ᾧ κειμένη τυγχάνει τόπῳ, σημαίνῃ, ἡ δ' ὀρθῶς κατὰ τὸν πάντα λόγον τὰ νοῦμενα καὶ αἰσθήσει λαμβανόμενα ἐκφαίνῃ· ὐδ' οἱ ἔγκριτοι τῶν συγγραφέων καλὰς καὶ χρηστὰς λέξεις ἔτεκον, ἀλλ' ἡ λογικῶς καἰσθητικῶς ὀρθὴ, καὶ διὰ τῦτο καλή τε καὶ χρηστὴ τῶν λέξεων χρῆσις καὶ θέσις καὶ συναρμογὴ τὺς ἐν τιμήματι γενομένυς ἀπέδειξε τῶν συγγραφέων.

Ἐγὼ τοίνυν ὐδενὸς ἀμελῶς ἢ καταφρονητικῶς εἶχον συγγραφέως, τῦ χρήσιμόν τι ἐς τὴν τῦδε τῦ εὐχολογίυ συγκομιδὴν καὶ σύνταξιν καὶ διάνυσιν ὁπωστιῦν παρασχόντος. Τί δὲ καὶ πράττοι ἂν ὁ εὐχολόγιον μέλλων συνθεῖναι, χριστιανοῖς ὠφέλιμον ἐς τὸ κατεργάζεσθαι τὸν ἴδιον ἁγιασμόν, ἐὰν μὴ θέμις καρπώσασθαι τά τε τῶν ἁγιογράφων καὶ τὰ τῶν χριστιανικὰ συγγραψάντων; Καινὸν ὁ χριστιανισμὸς ἐξεφάνη ὁ τὴν οἰκυμένην ἀνακαινίσας· καινὸν δ' ὢν, καὶ ὀνομάτων ἐδεῖτο καινῶν· πᾶν γὰρ τὸ νεοσύστατον, πᾶν τὸ κεκαινοποιημένον, καὶ καινοφωνεῖται ἰδίως, νέων τε λαγχάνει προσηγοριῶν τὰ ἀρτιφανῆ καὶ μέχρι τῦδε ἄγνωστα. Οὐδὲν ὖν θαυμαστὸν ὐδ' ἐπίμεμπτον, εἴ τις, χριστιανοῖς ὖσι λαλῶν ἢ γράφων, χριστιανικαῖς καὶ

λέξεσι χρῆται καὶ φράσεσιν. Πῶς δὲ καὶ λάβοις ἂν πάντα γε παρὰ τῶν ἐθνικῶν τὰ ἐς χριστιανικὸν ἀγαθὰ κἀπιτήδεια εὐχολόγιον; Οὐκ ἂν δοίη τις, ὅ γε μηδ᾽ αὐτὸς ἔχει. Ἐκεῖνοι γȣ̃ν — τȣ̃ς τῶν ἐθνικῶν συγγραφεῖς λέγω — τά τε περὶ τὸν Θεὸν τά τε πρὸς τὴν μὴ ψευδώνυμον ἀρετὴν καὶ εὐσέβειαν ἅμα μὲν ἠγνόησαν, ἅμα δ᾽ ȣ̓κ ὀρθῶς ἔγνωσαν. Ὅθεν καὶ τῶν τὰ τοιαῦτα ἱκανῶς γε σημαινόντων ἠπόρησαν ὀνομάτων· ἃ γαρ ἀνεννόητα αὐτοῖς ἦν, ταῦτα καὶ ἀνώνυμα. Ἀνάγκη ȣ̃ν, ταῖς ἡμῖν τοῖς χριστιανοῖς ἐγγενομέναις καιναῖς ἰδίαις τε περὶ τῶν θείων καὶ ὑπερκοσμίων ἰδέαις καινὰ ἴδιά τε καὶ ὀνόματα θέσθαι· μόγις γὰρ ἂν καὶ ȣ̔́τως ἐκφράσειέ τις πλήρως καὶ σαφῶς καὶ ἀκριβῶς τὰς χριστιανικὰς ἐννοίας τε καἰσθήσεις· μόναις δὲ ταῖς τῶν παρ᾽ Ἕλλησιν ἐν τιμήματι ὄντων συγγραφέων λέξεσι καὶ φράσεσιν ȣ̓δ᾽ ἂν ὁ πάνυ δεινὸς τὸ ἑλληνιστὶ φράζειν ἐξονομάσειε καὶ ἐξηγήσαιτο τὰ τȣ̃ χριστιανισμȣ̃. Καὶ τὸ χριστιανίζειν ȣ̃ν, κȣ̓ μόνον τὸ ἑλληνίζειν, μοι ἔμελεν. Ὅσον μέντοι ἠδυνάμην, τὴν τῶν τοῖς δοκίμοις ἐγκεκριμένων λέξιν, καὶ τοιαῦτά περ γράφων, μιμήσασθαι ἐσπȣ́δασα, πλὴν ὅπȣ ὁ ἑβραϊκὸς καὶ χριστιανικὸς τȣ̃ ἐκφράζειν τρόπος αἱρετώτερος εἶναι δόξειέ μοι. Διὸ καὶ ἐκφύγοιμι ἂν τὸ ἐντεῦθεν ἔγκλημα.

Αὐτὸς δ᾽ ὀνοματȣργεῖν, αὐτὸς καινολογεῖν,

αὐτὸς νεαροηχεῖς λέξεις ποιεῖν ὐκ ἐτόλμησα, εἰ μὴ σπανιάκις, καὶ ταῦτ᾽ ἐν τῷδε μάλιστα τῷ προλόγῳ· ἀναλόγως δὲ τοῖς τῆς φωνῆς θεσμοῖς καὶ τῦτο πεποίηταί μοι. Ἀνεμέσητον ὖν τόδε τὸ τόλμημα, καὶ συγγνωστὸν, εἴ γ᾽ ἁμάρτημα. Ἐξῆν δὲ καὶ μᾶλλον δικαιότερόν τε, τὰ τῦ προοιμίυ τῦδε, ἅθ᾽ ἅπαξ μόνον, εἰ τύχοι, ἀναγιγνώσκεσθαι μέλλοντα, πλεῖόν τι ἀνελλήνιστα καταγράψαι, ἐλευθέρως καὶ ἐπισεσυρμένως ἐργάσασθαι, χύδην τε καὶ ἧττον ἐσπυδασμένως κατασκευάσαι, ὡς ἀναξιολογώτερα ὄντα καὶ ἄλλως. Αὐτὰς δὲ τὰς στιχηρὰς προσευχάς, ἅτε πολλάκις ἐπαναλαμβανομένας, σὺν πλείονι τῇ ἐπιμελείᾳ καὶ ἀκριβείᾳ, εἴ γε μὴ, αὐτὸς ἐμαυτῦ κριτὴς γενόμενος, τῆς γνώμης ἁμαρτάνω, διαπεπονῆσθαι φήσεις καὶ κατακεκοσμῆσθαι.

Νῦν ὀλίγα καὶ περὶ τῦ, πῶς τῷ ἄρθρῳ ἐχρησάμην. Παρέλιπον μὲν τῦτο, ὅπυ καὶ παραλειπτέον ἦν· ἀλλ᾽ ὐκ ἔθηκα πανταχῦ, ὅπυ καὶ θετέον ἦν. Τόδε τοι ἀνώμαλον, ἀλλὰ τῦ μέτρυ ἕνεκεν ἀναγκαῖον καὶ ἀπαραίτητον. Ὅμηρος μὲν τῦ ἄρθρυ σχεδὸν ἀπέχεται, καὶ ὡς δεικτικῷ αὐτῷ τὰ πλεῖστα ἠδὲ καὶ ὡς ἀναφορικῷ χρῆται. Οἷς μὲν ὖν τὸ ἄρθρον ὐ πρῦθηκα, δέον ἤγυν ἐξὸν προθεῖναι, ἐν τύτοις Ὁμηρικόν τι ἐποίησα· θεὶς δ᾽ αὖθις, τῦ μέτρυ τὴν θέσιν συγχωρῦντος καὶ τῆς χρείας ἀπαιτύσης, ἀνώμαλόν τι ἐποίησα· ἔχρη γὰρ ἢ ἀποσχέσθαι

ὅλως, ἢ ὁμαλῶς χρήσασθαι. Ἀλλὰ καὶ τȣ̃το, ὡς ἔφην, τῇ βίᾳ ἀναθετέον τȣ̃ μὴ δεξαμένȣ μέτρȣ. Οὐ σπάνιοι δὲ οἱ ποιηταὶ οἱ τῷ ἄρθρῳ ἔνθα μὲν χρησάμενοι, διότι καὶ τὸ μέτρον ȣ̓κ ἐκώλυε καὶ ἡ τȣ̃ λόγȣ φύσις ἀπήτει, ἔνθα δὲ, καίπερ τῆς αὐτῆς χρείας ȣ̓́σης τȣ̃ θεῖναι, μέτρȣ χάριν ἀποσχόμενοι. —

Διαλέκτῳ μὲν καθόλȣ τῇ κοινῇ κέχρημαι, ἅμα δὲ καὶ ταῖς ἄλλαις· καὶ ταῖς μὲν δωρίδι αἰολίδι τε καὶ ἀτθίδι ἧττον καὶ σποράδην μόνον, τῇ δ' ἰάδι πολὺ ἐκείνων πλέον καὶ σχεδὸν διαμπερές, ὡς τὰ μάλιστα κρατȣ́σῃ ἐν τοῖς τῶν ποιητῶν ἔργοις, καὶ τῇ ὑγρότητι αὐτῆς καὶ δεινότητι ποιητικῇ εὐτραπελωτάτῃ ȣ̓́σῃ καὶ ὑποκλινεστάτῃ ἐς τὰ μέτρα, ἔτι δὲ καὶ, ἵνα τὰ ἱερὰ ταδὶ ἔπη χαρακτῆρά τινα εὐσταθῆ καὶ ὁμοίαν πρὸς ἄλληλα μορφὴν σχῶσιν ἐκ τῆς αὐτῆς διαλέκτȣ, ὡς ἔνι, διηνεκῶς καὶ συνεχῶς φυλαχθείσης. Ἴαζον μὲν ȣ̓̃ν, τȣ̃τ' ἔστι, τῇ ἰωνίδι ἔγραφον φωνῇ τὰ πλεῖστα, ἃ μὴ τῇ κοινῇ· ȣ̓ μέντοι διαπαντὸς ἐνέμενον τῇ τῶν Ἰώνων, ἀλλ' ἀνωμάλως παρὰ ταύτην πλεοναχοῖς καὶ τῶν ἄλλων ἐχρώμην σχήμασι διαλέκτων· ἀμήχανον γὰρ, Γερμανῷ γ' ὄντι τῷ συγγραφεῖ καὶ μὴ Ἕλληνι γεγεννημένῳ τε καὶ πεπαιδευμένῳ, πάντας στίχȣς, τοσȣ́τȣς καὶ ȣ̓́τω ποικίλȣς ὄντας, μιᾷ παντάπασι καὶ τῇ αὐτῇ γράψαι διαλέκτῳ· καὶ γὰρ τῶν πρὶν

ποιητῶν τῶν ἐν Ἕλλησι γεγονότων ȣ̓δὲ εἰς καθαρὰν παντελῶς καὶ ἄκρατον διεφύλαξε τὴν ἑαυτȣ̃ διάλεκτον, ἀλλὰ καὶ τῶν ἄλλων ἐκ μιᾶς γȣ̃ν μετήνεγκέ τι εἰς τὰ ἴδια ἔπη. Ὁμοίαν δ' ἐξȣσίαν κἀμοὶ ἂν συγχωρήσειέ τις. Διὸ, κἂν μὴ τῷ αὐτῷ τοῖς ἄλλοις στιχῳδοῖς, παραπλησίῳ γȣ̃ν τρόπῳ, ταῖς διαλέκτοις ἐχρησάμην ἐπιμὶξ κἀδιαφόρως, ὅτε ἢ τὸ μέτρον ἐπαναγκάσειεν, ἢ ἡ εὐχέρεια ἀναπείσειε καὶ εὐχρηστία. Ὅστις τοι τὸ ποικίλον τȣ̃το καὶ ἀνωμαλὲς τῆς ἐμῆς φράσεως ἀποστρέφεται, λογισάσθω ὁ τοιȣ̃τος, εὐκοπώτερον εἶναι τὸ μωμήσασθαι αὐτὸ ἀναλεγόμενον, ἢ συγγράψαι πειρώμενον φυλάττεσθαι· μωμήσεται δέ τις μᾶλλον ἢ μιμήσεται καὶ ȣ̓τωσί.

Μέτρῳ, ἔδοξέ μοι, πολυσχήμονι χρήσασθαι καὶ πολυτρόπῳ· εἰ δὲ καὶ μὴ ἐθέλησα πολυμετρίᾳ χρῆσθαι, ἀλλ' ἠναγκάσθην ἄν, ȣ̓́τω διαφόρων τȣ̀ς τε χρόνȣς τάς τε συλλαβὰς ὄντων καὶ τῶν ἑλληνικῶν ῥημάτων καὶ ὀνομάτων, ὥστε μηδαμῶς ἂν δύνασθαι ὑφ' ἕν τι μέτρον πεσεῖν. Τὸ διάφορον ȣ̓̃ν καὶ ποικίλον τȣ̃το τῶν λέξεων ἀπήτησε τοιȣ̃τον καὶ τὸ μέτρον. Ἐπιχειρήσας ἅπαξ, ἐμμέτρως ταῦτα γράψαι, ȣ̓κέτ' εἶχον αἵρεσιν, ȣ̓δ' ἐπὶ δυοῖν ὁρμεῖν εἰώμην ἀγκύραιν. Πολλὴ καὶ ποικίλη ȣ̓̃σα ἡ τῆς βίβλȣ ὑπόθεσις, πολλῶν ἐδεῖτο ποικίλων τε καὶ ῥημάτων εἰς τὴν ἑκάστων τε καὶ πάντων νομίμην

ἔκφρασιν σύνθεσίν τε. Τοσαῦτ' ὖν ἔπη, ὕτως ἀνόμοια τὰς συλλαβάς, τοσαῦτ' ὀνόματα, τὴν ποσότητα τοσῦτον διαφέροντα, ἑνί γε ῥυθμῷ ἐναρμόσαι πάντα καὶ τῷ αὐτῷ τρόπῳ μετρῆσαι, ἀμήχανον τῦτο πάμπανυ καὶ ἀδύνατον. Ἴδε δὲ καὶ ἐκεῖνο, ὅτι αἱ πλεῖσται τῶν λέξεων, τῶν πρὸς τὸ ἐκφῆναι καὶ ἐκλαλῆσαι τὰ τῆς ψυχῆς φρονήματα καὶ ἐνθυμήματα εὐχρηστυσῶν μάλιστα, τὰ κατὰ τὴν ἐμὴν προαίρεσιν ἠχρήστησαν ἄν, μὴ δεδομένης μοι ἐξυσίας τῦ χρήσασθαι παντοδαπῷ μέτρῳ. Εἴη δὲ καὶ ἐπαινετὸν μᾶλλον ἂν ἢ ἐπίψογον τὸ κατὰ ταῦτα παντοῖον· πολυσχηματίστυς γῦν καὶ ποικιλομόρφυς τὺς στίχυς ἥδιον ἂν δέξαιτό τις, ὅπυ γε φιλῦσιν ἐπιπλέον οἱ ἄνθρωποι τὸ αἰολόμορφον καὶ τὸ ἐπὶ μεταβολῇ γιγνόμενον καὶ ποικιλίᾳ. Ὅθεν καὶ, εἰ μὴ ἠλίθιον, ἀλλὰ περιττὸν πᾶσά μυ ἡ ἐν τοῖς ἐπάνω ἄρτι περὶ τῦ πολυμέτρυ ἀπολογία.

Εἴ πυ ἧττον κυρίως, ἧττον ἀκριβῶς, καὶ ἐκ τῶν εἰκότων ἧττον συμφώνως τοῖς τῆς ὑγιαινύσης διδαχῆς εἴρηκά τι δόγμασι, ποιητικῶς τῦτο καὶ καταχρηστικῶς πεποίηκα, ἀλλ' ὐχὶ δογματικῶς. Πᾶν δὲ τὸ ἧττον ὀρθῶς λεχθέν πυ καὶ καταδεέστερον ἢ κατὰ τὴν ἀκριβῶς ἀλήθειαν, ἐν ἄλλοις τῆς βίβλυ τόποις ἐπανωρθωμένον τό γε πολὺ εὑρήσεις· λελέξεται γὰρ τἀληθὲς καὶ τἀκριβὲς ἄλλοθι σαφῶς τε καὶ ἱκανῶς. Καὶ αὐτὰ δὲ τὰ μεῖον ὀρθῶς κἀπι-

δεέστερον ἢ κατὰ τὴν τῆς ὀρθοδοξίας ἀκρίβειαν ῥηθῆναι δοκȣ̃ντα, καθ' ἓν μὲν ἕκαστον θεωρȣ́μενα, τῆς ἀκριβολογίας ἀμελέστερον ἐλέγξει με, κατὰ δὲ τὰ ὅλα, τȣ̃τ' ἔστι, κατὰ τὴν πᾶσαν τȣ̃ παντὸς λόγȣ ἀκολȣθίαν καὶ συνέπειαν ἐκλαμβανόμενα, ȣ̓δὲν ἀμφίβολον, ȣ̓δὲν ἕξει ὕποπτον· ȣ̓δενὸς γὰρ τοσαύτην ἐποιησάμην ἄλλȣ πρόνοιαν πράγματος, ὅσην τȣ̃ μὴ ἑτεροδοξεῖν τι ἤγȣν ἑτεροδιδασκαλεῖν — παρὰ τὰ τῇ καθολικῇ ὁμολογȣ́μενα πίστει.

Κατηγορήσας ȣ̃ν πȣ ἐπὶ τȣ̃ Θεȣ̃ τὸ αὐτόφυτον καὶ αὐτογένητον, ȣ̓χ ȣ̃τως ἔλεξα τόδε, ȣ̓δ' ȣ̃τω τὸ λεχθὲν διανοηθῆναι ἠβȣλόμην, ὡς ἠργμένȣ ποτὲ τȣ̃ εἶναι καὶ ὕστερον γεγενημένȣ τȣ̃ Θεȣ̃, καίτοι ἐξ Ἑαυτȣ̃ τὴν φύσιν ἐσχηκότος καὶ ὕπαρξιν· δείκνυσι γὰρ ἡ ἐκεῖ σύμφρασις, ὡς τȣ̃το τὸ κατηγόρημα ȣ̓δὲν ἄλλο κηρύττει, εἰ μὴ, τῶν ἄλλων μὲν, περατοειδῶν γ' ὄντων, πάντων ἀπὸ τȣ̃ Θεȣ̃ τὴν αἰτίαν καὶ ὑπόστασιν εἶναι, τῆς τε τῶν ὅλων γενέσεως ἤτοι φύσεως τὸν Θεὸν ἀρχηγὸν καταστῆναι· αὐτὸν δὲ τὸν Θεὸν μὴ αἰτιατὸν ὑποστῆναι, μηδ' ἔκ τινος τῶν ἔξω Αὐτȣ̃ τὸ εἶναι κεκτῆσθαι, τῆς τε θείας φύσεως μηδεμίαν αἰτίαν γενέσθαι, μηδεμίαν ἀρχὴν, ἀλλ' ἐξ ἀϊδίȣ τὸ Θεῖον ὑπάρχειν ἐξ Αὐτȣ̃ κἀν Αὐτῷ ἄναρχον, ἄχρονον, αὔταρκες τὰ πάντα, αὐτοτέλειον, παντέλειον. Ἄλλοθι δ' αὖ τὸ ἄποσον καὶ ἄποιον ἐπιθεὶς τῇ θείᾳ φύσει, ȣ̓́τε τὸ μέγεθος

Αὐτῆς τὸ νοερὸν ὔτε τὰς ἀρετὰς ἀρνήσασθαι ἠβυλόμην· μέγας γὰρ ὁ Θεὸς καὶ ὑπέρμεγας, καὶ τῆς μεγαλωσύνης Αὐτῦ ἀρετῆς τε καὶ τελειότητος ὔτ' ἀριθμὸς ὔτε μέτρον ὔτε πεῖρας ἢ τέρμα νοεῖται ὐδέν. Ἀλλ' ὐ τῷ κατ' ἀνθρώπυς ὅρῳ ἤτοι σωματικῷ τρόπῳ τέλειος καὶ ἔξοχος, ὐδ' ὑλικῷ μήκει καὶ πλάτει καὶ ὕψει καὶ βάθει ἤγυν τοπικῇ ἐκτάσει μέγας ὁ Θεός. Ἄποσον ὖν φήσας ὄντα καὶ ἄποιον, ὑπὲρ πᾶν τὸ ἀνθρώπινον μέγεθος ἀπέφηνα ὄντα, καὶ ἕν τι ὑπάρχοντα, πάσης τῆς καθ' ἡμᾶς τῦς περατοειδεῖς ποσότητός τε καὶ ποιότητος ἄπειρον ὅσον μεῖζόν τε καὶ κρεῖττον. Πάλιν πῦρ λέξας πυ τὸ ἅγιον Πνεῦμα, δῆλον, ὅτι ὐχ ὑληγενές τι πῦρ καὶ σωματικὸν Αὐτὸ ἐποίησα, τῷ καθ' ἡμᾶς ὅμοιον καὶ αἰσθητόν, ἀλλὰ θεῖον ἄμέλει καὶ νοητόν, μᾶλλον δ' αὐτὸ Θεὸν ὑποστὰν, ἤτοι τῆς ἐν τῇ ἁγίᾳ Τριάδι ἀλλήλως ἀγάπης ἄνυλον καὶ ἐνυπόστατον φλόγα, οἷον μεταφορικῶς καὶ συμβολικῶς εἴποι τις ἄν· ἔξεστι γὰρ καὶ τροπικῶς ἀλληγορικῶς τε σημᾶναι καὶ ἐκφράσαι τὰ τῦ Θεῦ, ἐπεί γ' ἄλλως ὐκ ἂν εἴη, ὅπως καὶ βαιόν τι ἐξηγησόμεθα ἢ αἰνιξόμεθα γῦν περὶ τῶν θείων. Εἰ δὲ μὴ θεμιτὸν, τροπικοῖς τε καὶ τυπικοῖς ἐπὶ τῦ Θείυ χρήσασθαι λόγοις, πῶς τις διασαφήσει τοῖς πολλοῖς τι τῶν κατὰ τὴν θείαν φύσιν, ἀόρατον ὖσαν κἀκατάληπτον κἀνεκδιήγητον; Οὕτω δὴ ἐκληπτέον

τὰ ἀκυρολογȣ́μενά μοι ἐνιαχῇ καὶ ἧττον ἀκριβολογȣ́μενα.

Ὡς δ' αὔτως, εἴ πȣ ἀνθρωπομόρφως τι ἐπὶ τȣ̃ Θείȣ καὶ ἀνθρωποπαθῶς εἴρηκα, σύγγνωμον ȣ̓δ' ἀναπολόγητον εὑρήσȣσιν οἱ τὴν τῶν θείων λόγων εἰδότες συνήθειαν καὶ συγκατάβασιν· καὶ αὐτοὶ γὰρ οἱ τὰ ἁγιόγραφα ἡμῖν καταλιπόντες ȣ̓κ ἀπηξίωσαν τὴν κατ' ἀνθρώπȣς λέξιν, καὶ ταῦτα μάλ' εἰκότως· ȣ̓ γὰρ ψιλὸς νȣ̃ς ὁ ἄνθρωπος, ȣ̓ γυμνὴ ψυχή, ȣ̓ πνεῦμ' ἀγγελικόν, ἀλλὰ καὶ ἐκ σώματος σύγκειται, διὰ τȣ̃ σώματος αἰσθάνεται, καὶ, ἐξ ὧν αἴσθησιν σωματικῶς λαμβάνει, φαντασιȣ̃ται. Αἰσθητικῶς τοίνυν καὶ φανταστικῶς τὴν ψυχὴν διακείμενος ὁ ἄνθρωπος, τὰ μὲν νοητὰ ὡς αἰσθητά, τὰ δ' ἀόρατα ὡς φανταστὰ ἐννοεῖ τε καὶ ἐκλαλεῖ· καὶ ὡς ἐν βραχυτάτῳ δηλῶσαι καὶ ἑνί γε εἰπεῖν τῷ λόγῳ, ὁ ἄνθρωπος ἀνθρωπικῶς ἐνθυμεῖταί τε τὰ πλεῖστα καὶ μυθεῖται. Ταῦτα νοήσας ὁ τῷδε τῷ εὐχολογίῳ χρώμενος, ȣ̓κ ἂν θαυμάσειεν, ȣ̓δὲ βαρέως ἂν ἐνέγκοι, εἴ τι ἀνθρωποειδῶς, ἀνθρωποφυῶς, ἀνθρωποφανῶς ἤτοι κατ' ἀνθρωπομορφίαν καὶ ἀνθρωποπάθειαν λέλεκταί μοι ἀμφὶ τȣ̃ Θείȣ· οἱ γὰρ ἄνθρωποι τὰ καθ' ἡμᾶς κατηγορȣ̃ντες περὶ τȣ̃ ἀθεάτȣ καὶ ὑπερȣσίȣ τῶν συμπάντων Ποιητȣ̃ τε καὶ Κυρίȣ, ȣ̓ μὴν ὡς ἄνθρωπον Αὐτὸν λογιζόμεθα, ἀλλὰ καὶ πάνυ πνευματικὴν τὴν Ἐκείνȣ ἐξεπιστά-

μεθα φύσιν, εἰ καὶ τοιȣτοτρόπως καὶ τοιȣτώδη, τȣ̃τ' ἔστιν, ἀνθρωποπρεπῶς καὶ ἀνθρωπικὰ ἐπ' Αὐτȣ̃ ἀναγκαζόμεθα λέγειν διὰ τὴν ἔνδειαν καὶ τȣ̓λλιπὲς τῶν ἀνθρωπείων φωνῶν, μὴ δυναμένων τὰ πνευματικὰ πνευματικῶς καὶ ἐκφράσαι, τύποις δέ τισι καὶ συμβόλοις καὶ πολὺ τῆς ἀληθείας δεύσαις εἰκόσι χρωμένων εἰς τὴν τῶν ὑπὲρ ἡμᾶς σημείωσιν καὶ δήλωσιν. Τὰ γȣ̃ν πολλὰ ȣ̓κ ὀρθῶς ἐκφράζομεν· ȣ̓ παρανοȣ̃μεθα δ' ὅμως, ȣ̓δ' ἀφανῶς καὶ ȣ̈τως αἰνιττόμεθα τὸ, τί θέλομεν λέγειν, εἰδότων πάντων τήν τε τῶν νοȣμένων καὶ τὴν τῶν λεγομένων διαφοράν· ἄλλο μὲν γὰρ ἡ κατάληψις καὶ ἰδέα, ἄλλο δ' αὖ, δι' ȣ̂ ταύτης ἔκφανσις γίγνεται κἀξήγησις· ἄλλο ἡ φράσις ἀμέλει, κἄλλο ἡ τῆς φράσεως ὑπόνοια καὶ δύναμις· πολὺ κεχώρισται τό τε νοεῖν καὶ τὸ φράζειν, ἕτερόν τε ὁ λόγος κȣ̓ ταὐτὸν τῷ νῷ ἤτοι τῷ διὰ τȣ̃ λόγȣ δηλȣμένῳ κἀκτιθεμένῳ. Ἐνδέχεται ȣ̂ν, καὶ τȣ́τοις χρωμένȣς τοῖς τρόποις, τὰ θεῖα καὶ ὑπέργεια αἰνίττεσθαι. Πάμπαν δ' ἀκριβής τε καὶ ἀξία τῆς ἀθανάτȣ καὶ ἀπεράντȣ φύσεως θνητῷ γ' ὄντι καὶ περιγράπτῳ ȣ̓δὲ γνῶσις ἐφικτή, μή τί γε δὴ καὶ ἔκθεσις διὰ λόγων. —

Πολλοὶ δὲ τῶν ἐντυγχανόντων ἴσως καὶ τȣ́τῳ δυσαρεστήσονται, τῷ καθ' ὑπερβολὴν με χρῆσασθαι τοῖς ἐπιθέτοις, μάλιστα τὰ ἀμφὶ τὸν Θεὸν καὶ τὰς ἐν Αὐτῷ τρισαγίας διεξελθόντα Ὑποστάσεις. Ἀλλ'

ἀνάγκη ἐπέκειτό μοι τȣ̃ πλεονάζειν ταῦτα, ȣ̓κ ἂν δυνηθέντι ἄλλως ἐξηγήσασθαι καὶ ἀμυδρῶς γȣ̃ν ὑποτυπῶσαι τὰ τȣ̃ ἐν Τριάδι καὶ Μονάδι ὑφισταμένȣ Θεȣ̃ ἰδιώματα καὶ προτερήματα. Μήπω ἀξιȣ́μενοι — εἴ γε καὶ μέλλομεν, ἐξ ὧν σπȣδάζομεν, ἀξιȣ̃σθαι — τȣ̃ ὄψασθαι τὸν Θεὸν, καθὼς καὶ ἔστι, τὴν Αὐτȣ̃ ȣ̓σίαν, ὁποία καθ' ἑαυτήν ἐστιν, ȣ̓ σαφῶς γινώσκομεν· ἐκεῖνα γὰρ μόνα πεφανέρωται ἡμῖν καὶ ἀποκεκάλυπται, ἅτινα χρὴ εἰδέναι τȣ̀ς πεπιστευκότας, ἕως ἂν ἡ μὲν πίστις ἐς αὐτοψίαν, ἡ δ' ἐλπὶς ἐς κτῆσιν, ἡ δ' ἀγάπη ἐς αἰώνιον μεταβάλῃ ἀπόλαυσιν. Καὶ ἡμεῖς ȣ̓̃ν, κατὰ τὴν τȣ̃ Σωκράτȣς μετριοφροσύνην, τί μὲν ȣ̓κ ἔστι τὸ Θεῖον, ἴσμεν, τί δ' ἔστιν, ȣ̓κ ἴσμεν, ἐν ἀμυησίᾳ ἔτι τῆς ἐντελεστέρας, τῆς μετὰ τȣτονὶ τὸν βίον τοῖς εὐσεβέσι φυλαττομένης, θεογνωσίας καὶ θεοπτίας ὑπάρχοντες. Ἵνα μέντοι τύπον γέ τινα καὶ οἱονεὶ ὅρον τῆς θείας σχῶμεν φύσεως ἤδη καὶ ἐνταῦθα, καὶ τελειότεραι μὲν αἱ ἔννοιαι, ἐπιφανέστεραι δὲ καὶ ἐναργέστεραι αἱ ἡμῶν περὶ τȣ̃ Θείȣ γένωνται ἰδέαι, Αὐτȣ̃ διδάξαντος, τὰ μὲν καθ' ἡμᾶς ἀπόφαμεν, τὰ δ' ὑπὲρ ἡμᾶς κατάφαμεν ἐν τοῖς περὶ τὸ Θεῖον, ὁρισάμενοι Αὐτὸ τὰ πολλὰ, ἐξ ὧν ȣ̓κ ἐστι, τὸ δὲ, τί ἔστιν ἐν Αὐτῷ τῇ ἰδίᾳ καὶ αὐθυποστάτῳ φύσει, ἀπορȣ́μενοι, ἅτ' ἀθεάμονές πω καὶ ἄγευστοι Ἐκείνȣ, πλὴν ὅσα ἐκ τῆς πίστεως κρατȣ̃μεν κατηχηθέντες

πληροφορηθέντες τε καὶ βεβαιωθέντες, ἢ καὶ φυσικῶς τῷ τῆς ψυχῆς ὄμματι, καὶ ἀμαυρȣμένῳ περ πολλάκις καταφεγγομένῳ τε, θεωρȣ̃ντες μανθάνομεν. Κατὰ ταῦτ' ȣ̃ν ἡμεῖς, ἠργμένοι ποτὲ τȣ̃ εἶναι καὶ ἐν χρόνῳ γεγενημένοι, ἄναρχον, ἄχρονον, ἀγένητον τὸν Θεὸν κηρύττομεν· πάλιν περατοειδεῖς ἡμεῖς ὑπάρχοντες, ἐκ τȣ̃ ἐναντίȣ ἀπεράτωτον ἀποκαλȣ̃μεν τὸν Θεόν. Εἰς δὴ τὸ διασαφηνίσαι καὶ ἐκδηλῶσαι τὰ ἀπεράντως ὑπὲρ ἡμᾶς ὄντα τȣ̃ Θεȣ̃, χρείαν εἶχον τȣ̃ πλεοναζόντως χρήσασθαι τοῖς ἐπιθετικοῖς ὡς ἐκφαντικοῖς ȣ̃σι τῶν πραγμάτων καὶ ὁριστικοῖς· καίτοι ἀμέσως αὐτὸς δι' Αὐτȣ̃ ὁ Θεὸς ὑγιαινȣ́σῃ τῇ νοερᾷ φύσει ἐπίγνωστος, μᾶλλον δ' αἰσθητός ἐστι, κρείττων τε καὶ μείζων πάσης τῆς διὰ λόγων ἐμποιȣμένης γνωριστικῆς Αὐτȣ̃ ἰδέας. —

Τοῖς δὲ πλείστοις τῶν τȣ̃δε τȣ̃ εὐχολογίȣ πεῖραν καὶ χρῆσιν ποιησομένων πολλὰ μὲν λίαν μακρὰ καὶ ἄγαν διεξοδικά, ὀγκηρά τε καὶ ἔκτυφα εὑρεθήσεται, πολλὰ δ' εἰκαῖα καὶ ψυχρὰ καὶ ȣ̓δὲν πρȣ̓̈ργȣ τοῖς εὐχοποιησομένοις γενησόμενα. Ἤσθημαι μὲν κἀγὼ, ἀμφοτέροις τοῖς ἐγκλήμασι τȣ́τοις ἐνεχόμενος, ȣ̓δ' αὐτὸς ἀγνοῶ ὀφειλήσας, ȣ̓ διὰ πολλῶν ἀχρεῖα βαττολογῆσαι, ἀλλὰ δι' ὀλίγων πολλὰ εἰπεῖν χρηστὰ καὶ δυνάμενα ὠφελῆσαι τὰς τῶν ἐντευξομένων ψυχὰς θερμότητί τινι πνευματικῇ καὶ ἰσχυροτέρᾳ τινὶ προτροπῇ καὶ παρακινήσει

ἐπὶ τὸ Θεῖον. Ἀλλ' ἐμοὶ περὶ τῶν διττῶν κατηγορημάτων ἀπολόγημα γένοιτ' ἂν τȣ̃το· μηδένα γὰρ ἀντερεῖν νομίζω τὸ, παγχάλεπον καὶ μηδαμῶς τȣ̃ τυχόντος ἔργον εἶναι, λιτανευτικὴν ἀποδεῖξαι βίβλον, ἐς πάντας ὁμοίως καὶ παράπαν εὔχρηστον, ἐπεί γ' ἄλλοις ἄλλο ἀρέσκει καὶ συμφέρει, καὶ ὃ ἔνιοι ὡς καλὸν δέχονται κἀγαθὸν, ἑτέροις πάλιν ὡς φαῦλον ἀποδοκιμάζεται καὶ ἄχρηστον. Τὸ δὲ προσευχὰς συγγράφειν, δυσχερέστατον καὶ ἐργωδέστατον πρᾶγμα κἀντεῦθεν· δεῖ γὰρ τὸν τȣ̃το πειρώμενον κἀυτὸν προσευκτικῶς διακεῖσθαι μεταξὺ γράφοντα· χρὴ τὸν πονȣ́μενον τȣ̃το πάντως τὴν προσευκτικὴν αἴσθησίν τε καὶ ὁρμὴν, ἣν τοῖς ἄλλοις ἐμβαλεῖν βȣ́λεται καὶ ἐμπνεῦσαι, αὐτὸν ἔνδοθι ἔχειν ζωπυρȣμένην. Ταύτην δὴ τῆς ψυχῆς κατάστασιν μεταξὺ κάμνοντα συντηρεῖν καὶ διαφυλάττειν, ȣ̓ ῥᾴδιον ȣ̓δὲ ἑκάστῳ, ἥκιστα δ' ἐμοὶ ἀνυστόν· ἐκρεῖ γὰρ συχνὰ καὶ φεύγει ἡ αἴσθησις ἐκείνη καὶ ὁρμὴ, ἐμποδίσματος τοσάκις ἐπελθόντος, ἐνοχλȣμένȣ ἢ κωλυομένȣ τȣ̃ συγγραφέως. Ὅθεν καὶ ψυχρὰ πολλάκις καὶ ἄτονα, καὶ ὅμως ἐς τὸ περιττὸν μακρολόγα, ἀνάγκη, γενέσθαι τὰ τοιαῦτα συγγράμματα· ὅπȣ γὰρ ὀλίγον τὸ αἴσθημα καὶ ἀσθενὲς τὸ τῆς ψυχῆς κίνημα καὶ πάθος, ἐκεῖ πολὺ μὲν τὸ ῥῆμα, μικρὸν δὲ καὶ βαιὸν τὸ χρῆμα· θερμὸς δ' ἀεὶ καὶ ζέων τῷ πνεύματι πῶς ἂν διαμένοις, ψυχρῶν το-

σαυτάκις παρεμπιπτόντων πραγμάτων, συστελλόντων τȣ̃ θυμȣ̃ τὸ θάλπος; Κἀκεῖνο δὲ, τὸ ἐμμέτρως γράψαι με, κατὰ πόλλ' αἴτιον ἦν ἢ μακρῶν περιττῶς ἢ ψυχρῶν προσευχῶν· τὸ γὰρ μέτρον τῶν ἐπιτηδείων ἐς ἔκφρασιν τῆς ὑποθέσεως λέξεων πολλὰς ȣ̓ δέχεται· κἀντεῦθεν ἀνάγκη, ἢ ἀτελέστερον καὶ ἀσθενέστερον, ἢ γȣ̃ν διὰ πλειόνων καὶ μακροτέρων ἐκφαίνειν πολλὰ τῶν ἐννοημάτων τε καὶ αἰσθημάτων. Ταῦτα δὴ νοήσαντας, εὐγνωμονεστέρȣς καὶ ἐπιεικεστέρȣς τῶν κατὰ τȣ̃το τὸ μέρος μοὶ ἡμαρτημένων κριτὰς ἔσεσθαι, δικαίως ἂν ἐλπίζοιμι, τȣ̀ς τῷ ἐμῷ τῷδε ἐπιτυχόντας βιβλίῳ· ἐν ᾧ εἴ τινες ἀνθ' ἑλληνισμῶν καὶ γερμανισμοὶ, ἢ λατινισμοὶ, ἢ σολοικισμοὶ καὶ βαρβαρισμοὶ τοῖς ἀναλεγομένοις, εἴτε δοκȣ̃ντες εἶναι εἴτε καὶ ὄντες, ἀπαντῶσιν, ȣ̓δὲν θαυμαστὸν, Γερμανȣ̃ γ' ὄντος τȣ̃ ξυγγεγραφότος. —

Κἂν δ' ȣ̈τως ἔχῃ τινὰ τῶν περὶ τὴν λέξιν, ȣ̓ μὴν διὰ τȣ̃το χρὴ ὕποπτα καὶ τἆλλα γενέσθαι· ἄλλο μὲν γὰρ τὸ περὶ τὴν λέξιν τυχὸν ἁμάρτημα, ἄλλο δὲ τὸ περὶ τὸν κατὰ πίστιν νȣ̃ν τῶν λεχθέντων. Ὅτι δ' ὁ συγγράψας αὐτός τε ὑγιαίνω τὴν πίστιν, ὑγιὲς δὲ καὶ ἄλλοις τὸ βρῶμα παρέχω, ὑγιὲς τὸ πόμα προπίνω, πᾶς ὁ ὁμόπιστος ὢν καὶ ὁμόθρησκος, εἴ γ' εὖ μὲν τῶν φρενῶν, εὖ δὲ τῆς ὀρθῆς διδαχῆς ἥκοι, μαθήσεται, ἐξ ὧν ἀναγνώσε-

ται προςευχῶν τε καὶ ὕμνων· ὐ γάρ τι οἶμαι τῆς κατὰ Χριστὸν ἐκτραπῆναι ὁδῦ. Ἃ μέντοι γέγραφα, ἐπὶ τῇ Ἐκκλησίᾳ γεγράφθω κριτίδι καὶ δικαστρίᾳ, ὥστε τῇ ἀπὸ τῆς Ῥώμης πάντα ὑπείκειν γνώμῃ, ἅτε κανόνι ὔσῃ ὁριστικῷ τῶν κατὰ Χριστὸν ἐπ᾽ ὠφελείᾳ ψυχικῇ πιστευτέων τε καὶ πρακτέων, ἢ ἀποδοκιμαστέων. —

Ταῦτα μὲν δεῖν προοιμιάσασθαι ἡγησάμην ὁ συντάξας τὴν βίβλον. Ἀλλ᾽ ἴσως ἄμεινον ἂν ἔπραξα μὴ ποιήσας, ποιησάμενος δὲ προςευχὰς, τῦτ᾽ ἔστιν, αὐτὸς προςευξάμενος μᾶλλον, ἢ προςευχὰς ἄλλοις συγγράψας. Ἰδὲ γὰρ, τηλικῦτος χρόνος τε καὶ πόνος ἐς τὴν ἰδίαν ἐπὶ τὸ καλὸν προκοπὴν δαπανηθεὶς, τάχ᾽ ἂν πλεῖον ἐλυσιτέλησεν, ἢ τὸ σύγγραμμα τόδ᾽ ὠφελήσει. Νῦν δὲ τὴν τῶν πλησίον σωτηρίαν ἐπιτηδεύσας, καὶ διατρίψας περὶ εὐσέβειαν τὴν τῶν ἄλλων, ἀσοφώτερον δοκῶ καὶ ἀλυσιτελέστερον πεποιηκέναι, ἀκόνῃ γεγονὼς παρόμοιος, τῇ ὀξὺν τομόν τε ἀπεργαζομένῃ τὸν σίδηρον, αὐτῇ τῦ ὀξέος καὶ ἀκωκῆς ἀμοίρῳ διαμενύσῃ. Εἰ τοίνυν ὁ ἄλλοις καθηγύμενος εἰςαγωγὴν τε ποιύμενος ἐπὶ τὰ καλὰ καὶ θεάρεστα, ἐμαυτῦ ἔλαθον ἀμελήσας, — εἰ σπυδάσας καὶ ἀγρυπνήσας τῶν μὲν τοῖς πέλας ἀγαθῶν ἐπεμελήθην, τῶν δ᾽ ἐμαυτῷ συμφερόντων ὠλιγώρησα, καὶ ψόγυ ἅμα κἀπαίνυ, καὶ ἐλέγχυ καὶ οἴκτυ ἄξιος εἶναι δόξαιμ᾽

ἄν, ἅτε τῦτο μὲν εὖ, τῦτο δὲ κακῶς ποιήσας, καὶ τοῖς μὲν ἄλλοις σοφός, μωρὸς δ' ἐμαυτῷ γενόμενος. Καὶ τὸ προσεύξασθαι δὲ ὑπὲρ τῶν πλησίον τοσαύτῃ τῇ σπυδῇ, ὅσῃ δὴ τὸ εὐχολόγιον ἐπονησάμην τῦτο, πλείω ἂν, ἢ τὸ συγγράψαι αὐτοῖς προσευχὰς, τὸν πνευματικὸν καρπὸν ἐνέγκαι, νομίσειέ τις ἄν. 'Αλλ' ὅμως ὐδ' ὕτως ἀναπολόγητόν με φαίης· καὶ γὰρ εἰ ἐλλιπὴς φαίνεται ὢν, ἀλλ' ἀνεκτὸς, ὅστις αὐτὸς μὲν ὑστερεύει τῦ εὐσεβεῖν, ἐπ' ἄλλοις δὲ χαίρει τοῖς εὐσεβῦσιν. Λογιστέον δὲ κἀκεῖνο, ὅτι τῷ τὺς πέλας ὠφελῆσαι πειρᾶσθαι ἁπλῇ τῇ καρδίᾳ, καὶ τῆς ἑαυτῦ ψυχῆς ἐπιμέλειάν τινα ποιεῖταί τις. Τῦτό μοι τὸ παραμύθιον, εἴ μυ τῷ ὑπὲρ ἄλλων ἐπιτηδεύματι αὐτὸς τὴν ψυχὴν ἐζημιώθην τι· ἀλλὰ καὶ πέπεισμαι, εἰ μὴ ἦσαν οἱ καὶ γράψαντες εὐχὰς, πολλῷ ἂν ἀριθμῷ μειωθῆναι καὶ τὺς προσευξαμένυς. ('Εγὼ δὲ, ὅτε ταῦτα ξυνέγραφον, μάλιστα τὸ τῆς ἡμετέρας νεολαίας ἐσκόπυν κέρδος, ὐ τὸ ἐκ τῆς προσευχῆς μόνον, ἀλλὰ καὶ τὸ ἐκ τῆς γλώττης· καὶ τῦτο μὲν ἐπὶ καλῷ τῷ τέλει, καλῷ τῷ βυλεύματι δοκῶ ποιῆσαι· ἐγὼ γὰρ, συχνὸν χρόνον, τὸν μὲν διδάσκαλος, τὸν δὲ προστάτης, ἐν τῇ ἐνταῦθα γενόμενος Σχολῇ, εἰς ἣν οἱ φοιτῶντες μαθηταὶ, μάλιστα δ' οἱ ἐν ταῖς ἄνω τάξεσι, πρὸς ἄλλοις μαθήμασι καὶ τὰ ῥωμαϊκά τε καὶ ἑλληνικὰ γράμ-

ματα διδάσκονται, πολλάκις ἤχθόμην ὁρῶν, ὅτι καὶ οἱ εὐφυέστεροι καὶ γενναῖοι τῶν φοιτητῶν ἀμφοτέρας τῆς γλώττης σπάνιοί εἰσι καὶ μέρος τι ἐς τὸν λοιπὸν βίον διασώζοντες, ἀλλὰ σχεδὸν ἐπὶ τῷ ὕστερον αὖθις ἐκλαθέσθαι ῥωμαϊστί τε καὶ ἑλληνιστὶ μανθάνουσιν, ὥστ' ἐν τῷ ἔπειτα χρόνῳ μήτε καρπὸν ἔτι αὐτοὺς ἔχειν μηδένα ἐκ τῶν ῥωμαϊκῶν καὶ ἑλληνικῶν γραμμάτων, μήθ' ἡδονὴν καλὴν ἐξ αὐτῶν καὶ πεπαιδευμένου ἀνδρὸς ἀξίαν τερπνότητα. Τὸ δ' αἴτιον τῆς λυγρᾶς ταύτης ἐπιλήσεως ὡς ἐπὶ τὸ πολὺ ἐκεῖνό ἐστι, τὸ τῶν περὶ τὰ μαθήματα σπουδαζόντων παίδων τε καὶ νεανιῶν τοὺς πλείστους, προβάσης αὐτῶν τῆς ἡλικίας, ἐν τοιαύταις τοῦ βίου πραγματείαις τε καὶ ὑπηρεσίαις γίγνεσθαι καὶ περιστάσεσιν, ἐν αἷς τῆς πρότερον μεμαθημένης γλώττης ἢ χρῆσις ἔτι οὐδεμία ἢ χαλεπὴ ἡ ἄσκησις καὶ ξυντήρησις. Οὕτως οὐκ ὀλίγων τῶν πρὶν μαθητῶν, συγγενομένων μοι ὕστερον, ὁμολογησάντων θ' ἅμα ἤκουσα καὶ μεμψαμένων, ὡς τὸ λοιπὸν ἀνωφελὲς αὐτοῖς μάθημα, ἢ μηκέτι γοῦν ἑνὸν σπούδασμα καὶ μελέτημα εἴη γενομένη ἡ ῥωμαϊκὴ, μάλιστα δ' ἡ ἑλληνικὴ φωνὴ, διὰ τὰ νῦν αὐτοῖς προςκείμενα πράγματα. Ἀλλ' εἰ οἱ τοιοῦτοι, ὅσον χρόνον ἔτ' εἰς τὰ καθ' ἡμᾶς γυμνάσια ἤτοι σχολεῖα φοιτῶσιν, ἑλληνιστὶ γεγραμμένον εὐχολόγιον κτησάμενοι ἀγαπῷεν, καὶ τοῦτο εὖ τε καὶ

ὀρθῶς πειρῷντο ξυνιέναι, κᾆτα, ἀπὸ τῶν δημοσίων διατριβῶν ἐς πρακτικήν τινα τȣ̃ βίȣ τάξιν μεταβάντες, τȣ́τῳ διατελοῖεν χρώμενοι, ἐπὶ τῷ τῆς προσευκτικῆς εὐσεβείας κέρδει σώζοιτ' ἂν συζῴη τε αὐτοῖς καὶ συγγηράσκοι ὁμȣ̃ καὶ ἐπιστήμη ἡ τῆς γλώττης, καὶ ταῦτα πολὺ τῶν ἄλλων περιȣ́σης, τῶν ἐν τῇ Εὐρώπῃ πρεσβυτάτης, τῆς τῶν Ῥωμαίων ἐξ ἡμισείας γȣ̃ν μητρός, αὐτῆς δὲ μάλιστα πασῶν ἐκμεμȣσωμένης, λογικωτάτης τε καὶ σημαντικωτάτης ὑπαρχȣ́σης, βραχείαις ταῖς συλλαβαῖς ὀλίγοις τε τοῖς ἔπεσι πολλὰ φραζȣ́σης, καὶ ὅλως καλλίστης εἶναι ὡμολογημένης, ᾗτινι ȣ̓́τις ἂν τῶν νῦν ἐν ζῶσι γλωσσῶν κρατȣ́σων περὶ τῆς ἀρετῆς καὶ πρωτείας ἐρίζοι, εἰ μὴ ἴσως ἡ τῶν Γερμανῶν διά τε ἰδίαν τινὰ δεινότητα ταύτης καὶ πολλὴν τὴν ὁμοιότητα πρὸς ἐκείνην καὶ ξυγγένειαν δέ τινα ἀναμφήριστον, ᾗ τὰ μὲν θυγάτηρ, τὰ δὲ καὶ ἀδελφὴ τῆς τῶν Ἑλλήνων γεγονυῖα γνωρίζεται. Ἅμα δὲ τῷ σωθῆναι καὶ ξυντηρηθῆναι τὴν τῆς γλώττης ἐπιστήμην πολλῶν ἂν καὶ ἄλλων ῥημάτων τε καὶ πραγμάτων τῶν ἑλληνιστὶ ἅπαξ ἠκȣσμένων, ἀνεγνωσμένων καὶ μεμαθημένων ποτὲ μνήμη διαμένοι· ὥσπερ ἐν τῷ Τȣ̀ξ καλȣμένῳ τόπῳ ὀρεινῷ τῆς πατρίδος ἡμῶν ἄνθρωπος γεωργὸς εὑρίσκεται ἔτι καὶ νῦν λατινιστὶ ἐπιστάμενος, λατινιστὶ τοῖς εἰδόσι διαλεγόμενος, τὸ θαυμαστὸν τȣτὶ ἐν ανδρὶ ἰδιώτῃ καὶ

ἀγρότη κτησάμενος, ἐκείνῳ καὶ μόνῳ, τῷ τὴν λιτανευτικὴν βίβλον, ἣ λατινιστὶ γεγραμμένη τῆς Συντάξεως ὧν μαθητὴς ἐχρῆτο, εἶτα συμπαραλαβεῖν οἴκαδε μετακληθέντα καὶ χρώμενον ταύτῃ διαγίγνεσθαι. Ταῦτα δὴ διανοȣ́μενος, ταῦτα βȣλόμενος καὶ μάλιστα ἐπὶ τὸ ξυγγράφειν ἐκινήθην τὸ εὐχολόγιον τόδε.) Καὶ εἰ μετεμελήθην δὲ ὕστερον, τῷ ἐμῷ πνευματικῷ ἐλασσώματι περὶ τὴν τῶν πλησίον προκοπὴν ἐσπȣδακὼς καὶ ἠσχολημένος, ἀλλ᾿ ἀποτετελεσμένȣ ἅπαξ, ȣ̔̂ προῃρήμην ἔργȣ, τί ἄλλο ἂν, ἢ κοινὸν αὐτὸ ποιῆσαι ἔδει, ὅπως ἂν ἐξ ἄλλων γȣ̃ν τιμηθῇ καὶ δοξασθῇ ὁ Θεὸς, ὃν ἐγὼ μεταξὺ πονȣ́μενος ἧττον ἢ κατὰ τὸ πρέπον δοκῶ θεραπεῦσαι; Λογισαμένῳ δὲ καὶ τὸ, ὡς πενητεύω τὴν ἰδίαν ἀρετὴν, ὡς ἐλλιπῶς ἔχω τὴν οἰκείαν καλοκἀγαθίαν, καὶ ὡς ἀναξίως ἂν ὁ Θεὸς δι᾿ ἐμȣ̃ αὐτȣ̃, καὶ πολύ περ σπȣδάσαντος, προςκυνηθείη, κρεῖσσον ἔδοξέ μοι τὸ δι᾿ ἄλλων Αὐτὸν, ὅσον γ᾿ ἐκ τῶν τοιȣ́των γραμμάτων δυνατὸν, ποιῆσαι προςκυνηθῆναι, ἢ ὁρμητήριον γȣ̃ν τι ἐς τȣ̃το καὶ οἷα μηχανήν τινα παρασχεῖν, ᾗ τις χρώμενος ὠφελοῖτ᾿ ἂν καὶ εὐτυχέστερον ἂν ἅπτοιτο τȣ̃ τῆς προςκυνήσεως ἔργȣ. Ὀναίμην δ᾿ ἐγὼ καὶ τȣ́τȣ ἂν, τȣ̃ ὁπωςδήποτε προτρέψασθαί με τȣ̀ς πέλας ἐπὶ πρόςευξιν. Ἀρκέσει δ᾿ ἐμοὶ τȣ̃ πόνȣ μισθὸς τȣ̃το καὶ μόνον, ἣν ἐκ τῆς τȣ̃ εὐχολογίȣ τȣ̃δε χρήσεως καὶ εἴς γέ

τις ἐπιδῷ τι πρὸς τὴν αὐτȣ̃ θεογνωσίαν καὶ θεοσέβειαν. —

Ἀλλὰ πολὺς ἤδη ἐν τῷ ἀπολογητικῶς προλογίζειν αἴσθάνομαι γεγονώς, καὶ τῷ μὲν τρόπῳ μᾶλλον, τῷ δ' ὄγκῳ πλέον, ἢ καθ' Ἕλληνα, πεφηνὼς ἐλέγχομαι λάλος. Ἐνταῦθα δὴ τȣ̃ προοιμίȣ ἡ τελευτή· λίαν γὰρ δυσάρεστον τοῖς ἐντυγχάνȣσιν, εἰ ἔτι καὶ ἐς πλείω πολυλόγον εὕροιέν με παρὰ τὸ δέον τε καὶ πρέπον. —

Ἐν Ἅλῃ τῆς Τυρώλεως 1842.

Βέρναρδος ὁ Νιδερμυλβίχλερ,
ἀναγνώστης τῆς ἁγίας Θεολογίας,
ἱερεὺς-μοναχὸς Φραγκισκανός.

Titulô libri ac praefatione ultimô, ut assolet, locô impressis, operis auctor id sibi meritô gratulatur, quod, sicut Typographum benevolum atque amicum, ita Typothetam quoque satis peritum diligentemque et accurationis studiosum sit nactus. Unde et factum est, ut in ipsis literis ac vocabulis, molem voluminis ambitumque si spectes, nonnisi paucissimi errores, neque hi quidem ita notabiles, irrepserint. Quam ob rem et texendô mendorum erratorumque indice supersederi facili Lectorum veniâ potuit. — Ast illud notandum nec non et dolendum, quod vel jota subscriptum, vel circumflexus, vel spiritus lenis et asper, ac asper quidem ibi potissimê, ubi cum circumflexô concurrit, vel accentus tam acutus quam gravis, (qui tamen alter pro alterô aut locô non suô positi hîc perraro invenientur, quemadmodum et interpunctiones exactissimê observatae, quamquam hîc illîc nonnihil indistinctae cernuntur), vel denique et apostrophus pluribus in locis aut omnino non sint expressi aut minus plenê parumve distinctê, parum signati perspicuê, — sive id parcius aliquando illitô aut jam nimis absorptô nigrô, sive qualitate chartae, quae nigrum impressum aegrius reciperet, sive typorum in istis notis signisque forte jam obtusiorum acciderit vitiô. Sed, quum in vocibus ipsis ac singulis harum literis textus sit satis curatus, correctus ac purus, hosce defectus tanquam leviores minusque notabiles facile ipse benignus prudensque Lector supplebit emendabitque. —

Hîc simul et illud in publicam fertur notitiam, quod Euchologii hujus ligatô sermone graecê conscripti interpretatio oratione solutâ latinê, *liberê*, hoc est, *ad sensum intellectumque magis, quam ad literam* adornata, ex hâc eâdem Typographiâ (Wagnerianâ) seorsum edetur, idque intra temporis spatium circiter semestrale. Cui interpretationi sive translationi titulus erit: „Instrumentum Devotionis Catholicae.“ —

Προσευχῆς ἐγκώμιον.

Ἐν κραδίῃ τεχθεῖσ' εὐθείῃ κεὐσεβεῖ οὔσῃ,
Ὦ τοῦ τ' ἀνθρώπου τοῦ τε Θεοῦ θύγατερ!
Γηγενὲς ἐξ ἡμῶν, ἐκ ψυχῆς εὐγενὲς ἐσθλῆς,
Ἐκ δὲ Θεοῦ χάριτος γῆν ὕπερ ἠδὲ φυήν!
Θνητογενὲς καὶ θειογενὲς, πολὺ δ' ὑψώσασα
Κεὐγενίσασα παῖ σεῖο γονῆα βροτόν!
Σύ, χθονίη τε ὁμοῦ καὶ οὐρανίη γεγονυῖα,
Αἰθέρ' ὑπεὶρ ἄκρον τοὺς ἐπὶ γῆς ἀνάγεις.
Φῶς ἡμῖν οἴσουσα καὶ ἀλκὴν, ῥίμφα μάλ' αἴρῃ,
Ὄρνις πνευματικὴ, ἄχρι θρόνοιο Θεοῦ·
Σὴ γὰρ ὑπερβαίνει νεφέλας φύσις ἠδὲ διήκει
Ἐκ τοῦ ὧδε βάθους ὕψος ἐπ' οὐράνιον.
Χαίρεις, τὸν θνητῶν χῶρον προλιποῦσα ταπεινόν,
Δώματ' ἐς Ἀθανάτου εὐθυφερὴς πταμένη.
Εἰσὶ δέ σοι πτέρυγες μὲν ἀσώματοι, ἡ δὲ πτῆσις
Ῥηϊδίη· νικᾷς πάντα τὰ ἱπτάμενα.
Νυκτίη, ἠματίη πέτῃ, ἄρτι μὲν, αἷσιν ἀνάγκη,
Ἄρτι δὲ, αἷς ἀγάπη σοὶ πτερύγεσσι πόρεν.
Σῶσαι τοὺς ἐπὶ γῆς σπεύδεις, σπεύδεις σὺ γεραραὶ
Τὸν φιλέονθ' ἡμᾶς ἀντιφιλοῦσα Θεόν.
Ὄψιν ἐς Ἀθανάτου ποθέεις εὖ δρῶντος ἱκέσθαι,
Ἀνθ' ὧν δῶκ' ἀγαθῶν, προσκομίσουσα χάριν.

Ἔλδῃ δ' εἰς Αὐτȣ̃ ἥκειν καὶ ἄμβροτον ȣ̃ας,
Σχέτλι' ἀποτρέψαι, ἐσθλὰ βροτοῖς ὀπάσαι. —
Σοὶ δὲ λόγοι ἀφελεῖς, ȣ̓ κομψοὶ, ȣ̓ κατάτεχνοι,
Οὐ θῶπες, φιλέεις δ' αἰὲς ἀληθοσύνην,
Οὐδέ ποτ' ἐλπίζεις, τὸν πάντων Καρδιογνώστην
Ψευδομένοισιν ἑλεῖν χείλεσι καλλιεπής.
Οἶσθα σὺ, τῶν θνητῶν κακὰ, πρεσβεύσασ' ὑπὲρ αὐτῶν,
Λωφῆσαι κρατερῶς καὶ στενάχȣσα μόνον.
Βένθεσιν ἐν κραδίης στόμα σοι καὶ γλῶσσα πέφυκεν·
Ἰσχύεις πλεῖστον τῇδ' ὀπὶ, τῇδε βοῇ.
Χρηΐζει ὁ Θεὸς ταύτης τῆς ἔνδοθι φωνῆς
Μȣ́νης, εὐνοέων, ἥδ' ὅταν ᾖσι καλή.
Νȣ̃ς ὁ Θεός· σȣ τῆς νοερῆς ἐπακȣ́σετ' ἰωῆς·
Σῆς φρενός, ἀλλ' ȣ̓ σῶν ἐντρέπεται ἐπέων·
Ἐκπέμπει σε λάλον δίψυχος καὶ διχόμυθος,
Ῥυσομένην ἐ κακῶν· ἡ λάλος ȣ̓χὶ κλύῃ.
Ἁπλȣ̃ς δ' αὖ τις ἐών σ' ἄλαλον πέμπει καὶ ἄφωνον·
Εὐθὺς ἕως ἄστρων ἔρχῃ ἀκȣομένη.
Ἦκε μὲν Ἀντίοχος, ȣ̓κ ἰθύνοος δὲ, βοῶσαν
Ἧκέ σε, ȣ̓δὲ κακῶν οἱ λύσις ἦλθ' ὀδυνῶν.
Τοῖς δὲ κασιγνήτοις, τμηθεῖσιν ὑπ' Ἀντιόχοιο,
Πρέσβις ἄγλωσσος ἰȣ̃σ', ȣ̓τι ἄπρακτος ἔβης.
Ῥέζεις θαυμαστόν γε· κακοῖς λαλόεσσα σιωπᾷς·
Εὐσεβέεσσι πάλιν σιγαλέη λαλέεις. —
Τρίςμακαρ, ᾧ κε λαλῇς, καίπερ δοκέȣσα σιωπᾷν·
Οὐαὶ δὲ, ὅτῳ σιγᾷν καὐτὸ τὸ σεῖο λαλεῖν!
Ἀλλὰ λαλοῖς, ὦ πότνα, Θεȣ̃ παῖ ὀβριμόεσσα,
Ἡμῖν εὐκταῖον σωσίβιόν τε τέκος!
Ναὶ, λαλέοις ὑπὲρ ἡμείων διδυμάονι αὐδῇ,
Καὶ ᾗ ἔξωθεν χ' ᾗ σύγ' ἔσωθεν ἴῃς.
Σῶμά γ' ἅμ' οἱ μέροπες γεγενήμεθα καὶ ἅμα πνεῦμα·
Σωματικῶς ῥ' ἡμῖν πνευματικῶς τε λαλοῖς.

Δισσὸς ὁ ἄνθρωπος φῦ τῦ Κτίστυ ἰότητι·
Δισσὴ καὶ ἠχή, ὀλβοδότειρα, τεΐν.
Ἡ ἐντὸς μείζων, δυνατὴ δ' ἡ ἐκτὸς ὁμοίως,
Καὶ πανακὴς, ἂν τῇ ἐντὸς ὁμοφρονέῃ.
Τῆς μὲν ὁ Ἀθάνατος φθογγῆς σεο μῦνος ἀκύει,
Τῆς δὲ καὶ οἱ θνητοὶ αἰσθανόμεσθα ὁμῦ.
Σπυδαίως νῦν μὲν τῇδε χρῇ, νῦν δέ ῥα τῇδε.
Ἀμφοτέραις λαλέεις τῷ σε φιλῦντι Θεῷ·
Ἀμφοτέραις Αὐτὸν τιμᾷς, ἅτε καὶ πορίσαντα
Τὴν διδύμην ταύτην σοι κρατερήν τε ἰήν. —
Τῷ δὲ Θεῷ δῦσα πρώτως αἶνόν τε κλέος τε,
Ἐξ Αὐτῦ χ' ἡμῖν πολλὰ καὶ ἐσθλὰ νέμεις.
Σοὶ δὲ μεμήλασιν τὰ μάλισθ' οἱ εὐσεβέοντες·
Πολλὰ καλῶς τύτυς εὐφρονέυσα ποιεῖς.
Ἀλλὰ σὺ ὠφελέεις καὐτὺς σώτειρ' ἀλιτηρύς,
Ἣν μετὰ τοῖσγε μέλῃ τῶν πάρος ἀμπλακιῶν,
Ἠδὲ παλίμφρονες ἄρξωνται τὰ δίκαια φιλῦντες
Ζητῦντές τε Θεὸν, τῦ ὀλίγωροι ἔσαν.
Δῶφαρ ἁμαρτωλῷ σὺ ξυντετριμμένῳ ἦτορ
Ἠμὲν φθεγγομένῃ ἠδὲ καὶ ἡσύχιος.
Σῦ δὲ δίκαιος ἀνὴρ εἴληπται ἔρωτι γλυκίστῳ·
Ἶσά συ ἀφθέγκτυ, ἶσα λάλοιο ἐρᾷ. —
Ὡς δὲ τὸ ἐξεῖναι ἡμῖν, συνέμεν σοι, ἐπευκτὸν
Κἂν τιμῇ θετέον, ὖσιν ἐπιχθονίοις!
Πυλύ σε τιμῶσιν καὐτοὶ οἱ ἄμβροτοι ὄντες,
Αὐτοὶ οἱ ἡμῶν φέρτεροι ὄντες ὄχα
Δαίμονές ὐράνιοι κεχάρηνται ὡς ἐπ' ἀδελφῇ
Σοὶ, καὶ πὰρ κοινῷ σ' εὐλογέυσι Πατρί.
Ὦ μάκαρος καὐτῦ τῦ ὧδε προσηλύτυ ὄντος,
Σεῖό γ' ὀπηδύσης τῷγε, τοίης ἑτάρης!
Ὁ στέργων σε, ἑκάς περ ἐὼν πόῤῥω τε πόλοιο,
Νέρτατος ὑψίστοις ἐστὶ συναπτόμενος.

"Ικελος ἀθανάτοις ὁ τὶν ᾠκειωμένος ἀνήρ·
Ἐν χθονὶ ὄντα ποιεῖς τόνγε, πόλον κατέχειν.
Σεμνύνονται, ἐπὰν χθονίῳ βασιλῆϊ γένωνται
"Αξιοι ἄνθρωποι καὶ βραχύ τι ξυνέμεν·
Ἀλλὰ σὺ πρωτεύεις πάντων πολὺ ἀξιότητι,
Οἵη ὑψίστῳ συχνὰ συνȣ̃σα Θεῷ.
Τοῖσι μὲν ȣ̃ν ἐσιδεῖν ὀλιγοχρόνȣ ὄψιν ἄνακτος,
Ἠδέ τινος τυχέειν, εὖχος ἔην, χάριτος·
Σὺ δὲ ποτερχομένη βασιλεῖ βασιλευτάτῳ, ἔνθεν
Τλήμοσιν ἡμερίοις δῶρα ποθητὰ φέρεις. —
Σοὶ καύχημα μόνη πέλει ȣ̓ κενόν, ἀλλὰ δίκαιον·
"Αμμε δὲ καυχᾶσθαι δεῖ ἐπὶ σοί, ζαθέη!
Ἀνθρώπων σὺ ὕπερ πρεσβευέμεν αἰὲς ἑτοίμη·
Ξυνὴ τοῖς θνητοῖς πᾶσι μεσῖτις ἔφυς·
Πᾶς δ᾿ ἡμῶν συγχωρεῖται, μικρός τε μέγας τε,
Ὦ σεμνή, σε καλεῖν, πλȣ́σιος ἠδὲ πένης.
Σεῖό γε πεμφθείσης ποτὶ τἄστρα παρ᾿ εὐθέος ἀνδρός,
Σȣ̃ ἡ πρεσβεία ȣ̓ ποτε γέντο κενή.
Οὐδὲν ἐν ἀνθρώποισι σέθεν δυνατώτερον, ȣ̓δὲν
Ἡμῖν τοσσȣ́των αἴτιόν ἐστ᾿ ἀγαθῶν.
Γαῖαν ἐποικȣ̃σιν παραμύθιον εἶ σὺ παναλθές,
Ἰσχυρὴ πάντων ȣ̃σα λύτειρα κακῶν.
Οὔ τι σοὶ ἀρνεῖται Θεός, ȣ̓δέ τι σοὶ ἀνέφικτον·
Πάγχυ φίλη σὺ Θεῷ, ἄμμι δὲ πανδύναμος.
Ῥιζόθεν, εἶ δεινὴ, λύπην θυμαλγέα λῦσαι,
Ἀνδρομέοις θ᾿ ἁγνὸν στήθεσι χάρμα πορεῖν. —
Γνησίῳ ὄντι σέθεν χάριν οἶσθα βέβαιον ἐραστῇ·
Πᾶν τῷγ᾿ ȣ̓ράνιον προξενέεις ἄφενος.
Ἀγγελικοῖς σχεδὸν ἂν δοκέοι τις πνεύμασιν ἶσος,
Σοὶ τὸ πλέον καθαρῶς τοῖο βίοιο νέμων.
"Ην δὲ κακῶς σε φύγῃ τις, κυδιάνειρα! ἑταίρην,
Οὔ κε περισσὸν ἔοι τῷγέ τι τῶν ἀλόγων.

Πρὸς τί γὰρ ὡπὸ Θεȣ̃ ἀνθρώποις νȣ̃ς τε λόγος τε,
Ῥέζȣσίν γ' αὐτῶν ἄξια μηδαμ', ἰδὲ
Πιμπλαμένοις ἐπὶ γῆς, καὶ γήϊα μȣ̃να φρονȣ̃σι,
Τἄλλ' ὡς τῶν ζώων τἄφρονα καὶ ἄλαλα;
Εἰς δὲ μάτην ὀρθοί τε πόδες ὀρθόν τε πρόσωπον
Τοῖσιν ἐπιχθονίοις, εἰς δὲ μάτην ὁ λόγος
Χ' ἡ φωνή, ἢν μὴ ἀγαπῶσι σέ, ὦ βασίλισσα!
Οὐδαίȣς τε ἔχῃ τῶν ὑπὲρ ȣ̃δας ἔρως. —
Ὦ κεδνή, μέγα μοι, ὦ πότνια, χαῖρε, ἄνασσα!
Ἀμ πᾶσαν γαῖαν χαῖρε, μάκαιρα, βροτοῖς!
Νήριθμόν γε τὸ τῶν διὰ σȣ̃ εὐεργεσιάων
Ἀνθρώποις αἰὲν πλῆθος ἐφελκομένων.
Γῆν μὲν σὺ ζεύγνυς καὶ ȣ̓ρανὸν ἀστερόεντα·
Οὐ διάφραγμα τεῒν ἀμμέσον ἀμφοτέρων,
Οὐδὲ μεταξὺ πέλει ἢ χάσμα τι ἢ μεσότοιχον·
Ἐστὶ δ' ἀκώλυτος σοὶ ὁδὸς εἰς τὰ ἄνω.
Σȣ̃ ἕνεκεν θνητοὶ συμμιςγόμεθ' ἀθανάτοισι,
Καὶ διὰ σȣ̃ χθόνιοι ψαύομεν ȣ̓ρανίων.
Τιμῆσσ' ἄμμι σὺ ἡ τιμὴν παρέχȣσα τοσαύτην
Σεμνόν τ' ἄνθρωπον κἄξοχον εἰν ἀγέλαις
Τῶν ἄλλων ζώων ποιȣ̃σα, τιθεῖσά τ' ἀγαστὸν
Γείτονα ὑψιθρόνοις, σύμβιον ȣ̓ρανίδαις. —
Ὥς νυ καθέστηκεν δεινός τε καὶ ἄξιος ἀνὴρ
Πᾶς ὁ ἔχων σε φίλην, πᾶς, ὃν ἔχεις σὺ φίλον!
Ὡς δ', ὀλιγωρῆσαι, φοβερὸν, σέο τ', ὀβριμοπάτρη,
Καὶ ὅτεο χρῆται σῇ δυνατῇ φιλίῃ!
Εἶδεν Ἐλισσαῖός σε μάλ' ἔκδικον αὐτῷ· ὑπ' ἄρκτων
Οἱ κακοὶ παῖδες πάντες ὄλοντο κακῶς.
Τῶν δ' ἀγαθῶν σὺ ἀεὶ προφρόνως ὑπερήσπισας ὄντων,
Καὶ κατὰ τῶν κακῶν σφιν σὺ βοηθὸς ἔῃς.
Δεινὸς ὁ πάμμικρος μετὰ σȣ̃ γε καὶ ἀνδρὶ δυνάστῃ·
Σȣ̃ δ' ἄτερ ἀδυνατεῖ καὶ ὁ ὑπερδύναμος. —

Ἄμμ' ἐκπλησσομένους αἱρεῖ θάμβος τε σέβας τε,
Σεῖο θεωροῦντας, πανδαμάτειρα, κράτος·
Πᾶν γὰρ ἀνάλλακτον μίμνει τὸ Θεῷ ποτὲ δόξαν,
Οὐδὲ τροπὴν βουλὴ οἶδέ ποθ' ἡ θεϊκή·
Ὑψιμέδοντα δ' ὅμως καὶ ἀείδιον ἠδ' ἄτρεπτον
Παμβασιλῆα Θεὸν καμπτέμεν οἶσθα τεΐν.
Ἐν φρεσὶ δ' ἦσθα Θεῷ προορωμένη ἐξ αἰῶνος·
Μήπω φθεγξαμένης Αὐτὸς ἄκουσέ σεο,
Καὶ ὅσα νῦν αἰτεῖς παρ' Ἐκείνου ἄμμι, προειδὼς,
Ταῦτά σε αἰτήσειν, σοὶ κατένευσε πάλαι·
Σοί γ' ἐξ ἀϊδίου ἤδη ἀπέκειτο πρόπαντα,
Ἃ χρονίη Αὐτοῦ λιπαρέουσα δέῃ.
Ὦ θεότιμε λίαν ἰδ' ἄγαν κεχαρισμένη, ᾗ Θεῦς,
Καὶ πρὶν ποτνιάσαι, πάντ' ἐπένειμ' ἀγαθά! —
Ἔπλεο μὲν σὺ πάλαι δυνατή, δύνασαι δ' ἔτι νυνί,
Μέλλουσιν δ' ἔτ' ἔσῃ εἰνὶ χρόνοις δυνατή.
Οὔδεος αἰσχίστους κατακλυζομένοιο δι' ἄνδρας,
Τοῖς ὀκτὼ ἔρυμ' ἦν ἐκ σέθεν εὐσεβέσιν.
Οὐδέ σοι οἱ ἅγιοι πατριάρχαι ἐγκατέλειφθεν,
Κινδύνων δ' αὐτοὺς ῥύσαο λευγαλέων.
Λαὸν βουλομένῳ σόον ἔμμεναι, ἢ ἀπολέσθαι,
Νωλεμὲς Ἀμραμίδῃ αἰὲν ἀρωγὸς ἔης.
Ὄρχαμος ἄλλος ἔην, ὃ δ' ἔπαυσε δρόμοιο συνήθους
Διὰ σέθεν καὐτὸν θωϋτὸς ἠέλιον·
Ξηρὰ τὰ ὑγρά σε θεῖσαν ἐρυθρὴ οἶδε θάλασσα,
Καὶ ὁ Ἰορδάνης ᾔσθετο πλειονάκις.
Ἐκ ξηρῶν δ' αὖθ' ὑγρὰ πόρες· Σαμψῶνι σιαγὼν
Διψαλέῳ, σκληρὴ οὖσα, ὕδωρ ἔχεεν.
Ἄννα δὲ ἡ στείρη διὰ σοῦ λάβεν υἷα προφήτην,
Υἷα τοῦ ἐκλεκτοῦ ἔθνεος ἡγεμόνα.
Ὤψατ' Ἰεσσαΐδης τὴν σὴν δύναμίν τε καὶ ἀλκήν,
Σύμμαχόν οἵ σε λαβών, δείμασιν ἐν χαλεποῖς.

Οὔλιον ὐρανόθεν πῦρ, ἐκδικέυσα προφήτῃ,
Κακοῖς, καρπογόνον δ' αὖτ' ἐκάλεις ὑετόν.
Ἄστυ τὸ τῦ Νίνυ, ὗ ῥ' ἠπείλησεν ὁ κήρυξ
Ἰωνᾶς, δεινῦ ῥύσαο ἐξ ὀλέθρυ.
Ἦμαρ ἐπὶ τρίτατον, συνετήρεις αὐτὸν Ἰωνᾶν
Μέσσῳ ἐν κήτει, ἐξεμεθησόμενον.
Αἰνῶς τειρομένοις σὺ βοηθήσασα τοσαύτην
Δυςσεβέων στρατιὴν ἔκτανες Ἀσσυρίων.
Τῷ δὲ θανεῖν βασιλεῖ μέλλοντι, δι' εὐσεβέ' ἤθη
Ὤπασας εἰς τὸ ζῆν μεῖζον' ἀριθμὸν ἐτῶν.
Λεῦσσε πάλιν σέθεν ἕινεκ' ἐλευθερίην ὁ Μανασσῆς,
Οὐδ' ἔτι τῆς ἀρχῆς δεύετο τῆς πατρικῆς.
Δεινὴν ἤμυνας φλόγα τοῖς τρισὶν εἰνὶ καμίνῳ,
Αὐτὸ τὸ πῦρ δαμάσασ' ἶφι τὸ παντοφάγον.
Τὸν δὲ δρακοντοφόνον διὰ σέ, σκεπάσασα! προφήτην
Ὀξυόδυς, πεινῶν, ὐδὲν ἔβλαψε λέων.
Γενναῖον σὺ μένος καὶ νίκεα Μακκαβαίοις
Ἐν καιρῷ χαλεπῆς δῶκας ἀμηχανίης.
Νωνύμνυς μέγα τὺς μεγάλυς ὑπερηφανέοντας,
Ὄντας δὲ σμικρὺς κυδαλίμυς σὺ ἔθης.
Χριστῦ Ἰωάννην πρόδρομον σὺ γονεῖ ἐχαρίσσω,
Τήν τ' ἔξω λαλίην ἡ σέθεν ἔνδον ἰή.
Ἐκ δεσμῶν λύσασ', ἀπέδως ἄρχοντα μαθηταῖς,
Γηθοσύνῃ ποίμνῃ ποιμένα γηθόσυνον.
Ἰσχυρὴ πολέμυ, λιμῦ λοιμῦ τ' ἐπίκυρος
Τῶν τ' ἄλλων δεινῶν πολλάκις ἦσθα βροτοῖς.
Ἔγνωσαν δ' ἄλαλοι, χωλοὶ, λεπροί σε κρατίστην·
Νηκέστυς ἡ χείρ συ θεράπευσε νόσυς.
Ὄψιν τυφλοῖσιν, ἀκοὴν κωφοῖσιν ὄπασσας·
Ἰσχὺς καὶ νεκρὺς ζῆν ἐποίησε τεή.
Τὺς ἐπὶ γῆς, θνητὺς κἀξ αὐτῶν ἀδυναμῦντας,
Ἀθανάτυς οἴῃ, πανδυνάμυς τε τίθης. —

Τὸ ἀποστολικὸν σύμβολον.

Πιστεύω εἰς τὸν Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν ὐρανῦ καὶ γῆς· καὶ εἰς Ἰησῦν Χριστὸν τὸν Υἱὸν Αὐτῦ ἕνα μόνον, κύριον ἡμῶν· συλληφθέντα ἐκ Πνεύματος ἁγίυ, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένυ· παθόντα ἐπὶ Ποντίυ Πιλάτυ, σταυρωθέντα, θανόντα καὶ ταφέντα· κατελθόντα εἰς ᾅδην, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν· ἀνελθόντα εἰς τὺς ὐρανὺς, καθεζόμενον ἐν δεξιᾷ Θεῦ Πατρὸς τῦ παντοκράτορος· ὅθεν μέλλει ἔρχεσθαι, κρῖναι ζῶντας καὶ νεκρύς. Πιστεύω εἰς Πνεῦμα ἅγιον· ἁγίαν Ἐκκλησίαν καθολικήν· ἁγίων κοινωνίαν· ἄφεσιν ἁμαρτιῶν· σαρκὸς ἀνάστασιν, καὶ ζωὴν αἰώνιον. Ἀμήν. —

Τὸ ἀποστολικὸν σύμβολον, ἐλεγείοις παραφραζόμενον.

Πιστεύω Γενετῆρα Θεὸν καὶ παντοκρατῆρα,
Τῦ ξυνόλυ κόσμυ κτίστορα μηδόμενον. —
Πιστεύω Γενέταο Θεῦ ἕνα μῦνον, Ἰησῦν
Τὸν Χριστὸν, Τοκετόν, κύριον ἡμέτερον·
Πνεύματος ἐξ ἁγίυ σύλληψιν σχόντα, γενέθλην
Ἐκ Μαρίης χρονικὴν τῆς πάνυ παρθενικῆς·
Ἀλλοτρίων περὶ ἀμπλακιῶν ἐθελύσιον ἄλγη
Σώματι καὶ ψυχῇ πολλὰ παθόντα μάλα·
Σταυρῦ αἰσθόμενον, θανάτυ τε τάφυ τε ὁμοίως·
Ὀφθέντ᾽ ἀσπάσιον τοῖς ἀΐδαο μυχοῖς·
Ἤματι τῷ τριτάτῳ ἀνεγέρμονα κἀναφανέντα
Ζωὸν ἐνεργείᾳ τῦ ἰδίυ σθένεος·

Εἰς τὰ ἄνω παλίνοστον, ἐνεγκάμενον καλὰ νίκη·
Ἔνθ' ὁμόεδρον Ἑῷ δεξιτερὸν Γονέϊ·
Κἀκεῖθεν μέλλοντα μολεῖν καὶ ὕστερον αὖθις,
Τȣ̃ βροτέοιο κριτὴν εὐθύδικον γένεος. —
Πιστεύω ἅγιον καὶ θεῖον Πνεῦμα, προελθὸν
Ἐκ τῆς τȣ̃ Γενέτȣ τȣ̃ τε Γόνȣ φύσεως. —
Πιστεύω ἁγίην συναγωγὴν τὴν ἀπὸ Χριστȣ̃,
Τῆς πρὶν σεμνοτέρην καὶ μάλα καθολικήν. —
Πιστεύω, ἐπιμίγνυσθαι ὁσίως τε ἑαυτοῖς
Κοινωνεῖν πιστȣ̀ς πάντοθι καὶ ἁγίȣς. —
Πιστεύω, ἀφίεσθαι ἁμάρτια, καὶ διακεῖσθαι
Μὴ ἀμετατρέπτως τὸν Θεὸν εἰς ἔλεος. —
Πιστεύω, τὴν ἡμετέρην, καταπυθομένην περ,
Σάρκα φυλάττεσθαι τῇ ποτ' ἀναστάσεϊ. —
Πιστεύω, ζωὴν αἰώνιον ἠδ' ἀτέλευτον
Τὴν ἐπέκεινα πέλειν, παμμάκαρ' εὐσεβέσιν. —
Τῷ ἀγαθῷ, γνῶσιν σωτήριον ἄμμι πορόντι,
Ἀενάȣσα χάρις εὐλογίη τε Θεῷ! —

Τὸ ἀποστολικὸν σύμβολον ἑξάμετρον περιφραστικῶς, ἐκ τῶν ἄλλων καθολικῶν συμβόλων ἐπαυξηθὲν, τιθέμενον προσηγορικῶς.

Εἷς ἕνα πιστεύω Σέ, Θεός, κατὰ πάντα τέλειον,
Οὐσίᾳ εἰνὶ μιᾷ μȣ́νῃ, τρισὶ δ' εἰνὶ Προσώποις,
Θαυματόεντι τρόπῳ μέγ', ὑφιστάμενον, καὶ ἀλήπτῳ,
Σὺν Πατέρι Υἱὸν καὶ Πνεῦμα, Τρεῖς, Θεὸν οἶον,
Ἁπλȣ̃ν, τήν τε φύσιν ἀδιαίρετον, Ἕν τε ἐόντα
Πάμπαν ἀχώριστον, τὸν δ' Αὐτὸν ἀσύγχυτον αὖθις

Τάς γε Ὑποστάσιας, περιχωρῦσας δίχα πάσης
Εἰν ἀλλήλαισιν συναλοιφῆς, καὶ πρὸς Ἑαυτὰς
Οὐχ ὡςαύτως, ἀλλ' ἰδίως, φιλικῶς δὲ ἐχῦσας·
Πάγχυ ἀγέννητον Σέ, Πάτερ, γεννήτορα δ' Αὐτόν·
Υἱέ, Σὲ ἐκ Πατέρος νηπευθέϊ φύντα γενέθλῃ·
Ἐκ δὲ πορευόμενον ἐξ ἀμφοῖν, Πνεῦμα, Σὲ Τῦτοιν,
Ἀλλ' ὕτως ἐξ ἀμφοῖν, ὥστε μιᾶς ἐξ ἀρχῆς·
Ἄλλο μὲν ἀλλήλων τὸ πρόςωπον ἔχοντα ἕκαστον,
Τὴν δύναμιν δὲ μίαν καὶ ἓν τὸ θέλημα ὁμοίως,
Τήν τε ἐνέργειαν κατὰ πάντ' ἐπίκοινον ἐΐσως·
Τῶν δὲ τριῶν μὲν Ὑποστάσεων Θεὸν ὖσαν ἑκάστην,
Οὐ μὴν τρεῖς γε θεῦς τὰ Πρόςωπα τρί', ἀλλ' Ἕνα μῦνον,
Αὐτοφυῆ καὶ μυνοφυῆ, μονοῦσιον, ὐδὲν
Σύνθετον, ὐ τμητόν, διακεκριμένον δὲ μόνοισι
Τοῖσι Προςώποισιν, τῷ ἄλλως ἄλλο ὑπάρχειν,
Ὧδε δὲ, ὥστ' εἶναι ἡνωμένα εἰς Θεὸν οἷον,
Σύμπνυν τῇ γνώμῃ, εὑρισκόμενόν τε Προςώποις
Ἐν τρισὶν ὐ τριπλῶς, ἑνικῶς δὲ τῷ ὄντι καὶ ἁπλῶς·
Τριςμάκαρ', εἰν ἀρεταῖσι γεγηθότα ταῖς ἰδίαισιν,
Αὐτόσοφον καὶ αὐτάγαθον καὐτάρκεα πάντα,
Πάντα δ' ἐλεύθερον, αὐτεξύσιον αὐτόνομόν τε,
Παντοδαῆ καὶ πανδύναμον, πάντων ἐπέκεινα,
Ἀγγελικῷ τε νόῳ ἀνερεύνητον βροτέῳ τε·
Οὐ χρονικὸν καὶ ὐ τοπικὸν κεκτημένον, ὐδὲ
Ἐξ ἑτέροιό τινος, τὸ Τεὸν ὑπερύσιον εἶναι,
Ἀλλ' ἄχρονον πάντως καί Σοι τόπον Αὐτὸν ἐόντα,
Ἵδρυσίν τε μονήν τ' ἐπὶ Σοὶ ἐσχηκότα Αὐτῷ
Ἄῤῥευστον καὶ ἀκίνητον πάνυ, πρεςβύτερόν τε
Καὶ μείζω παντός τε χρόνυ παντός τε τόποιο·
Πάντ' ἀπερίγραπτον, παναπείριτον ἀΐδιόν τε,
Ἀρχῆς μὲν πάσης κρείττω, πάσης δὲ τελευτῆς·
Ὄντα καὶ ἐσσόμενον δι' Ἑαυτῦ καὶ ἐν Ἑαυτῷ,

Ἄφθιτον ἀθάνατόν τε, ἀείζωον καὶ ἀγήρων·
Ἔξοχον ἀῤῥήτως, νοερὸν καὶ πάμπαν ἄϋλον·
Ἄτρεπτον φύσεϊ, ἀπάθητον καὶ ἀνόλεθρον·
Καὶ ἀμερῆ, ὁλικῶς τε ὅλοις πάντη παρεόντα,
Ἠδὲ διερχόμενον δι' ἑκάστων τῶν ἐνὶ κόσμῳ,
Οὐδὲν μιγνύμενον τȣ́τοις, ὠθȣ́μενον ȣ̓δέν·
Πᾶσι περιγράπτοισιν ἀσύγκριτον, ȣ̓δέ τι Σεῖο
Ἄξιον ἐν κτιστοῖς παράδειγμα ὅλοισιν ἔχοντα·
Τῶν δὲ ὅλων ἀρχὴν, τῶν πάντων αἴτιον οἶον,
Καὶ ἐξ ȣ̓κ ὄντων κτίστην πλάστην τε ἁπάντων
Οὐρανίων χθονίων τε, ὁρατῶν καὶ ἀοράτων·
Τῆς πάσης κτίσεως συνοχῆά τε καὶ προνοητήν,
Τακτικὸν οἰκονόμον τῶν πάντων, κύριον αὐτῶν,
Ὧι τὸ θέλειν, ἀνύσαι, τὸ δὲ μὴ ἐθέλειν, ἀφανίσσαι.
Ὧι πάντων δισσὴ ἐξȣσία ἐστὶν ἐόντων,
Ἢ σῶσαί γ' εὔνως, ἢ καὶ ὀλέσαι τι δικαίως. —

Πιστεύω πάσῃ τῇ ψυχῇ, ὦ Πάτερ, εἰς Σέ,
Ἐν τῇ ἰᾷ Θεότητι μόνῃ τε Ὑπόστασι πρώτῃ,
Οὔ τινος ἐκγεγαὼς προτέροιο· ἀναίτι', ἄναρχε,
Αὐτόπατορ, δωτὴρ, ȣ̓ ληπτὴρ, τοῖο ὑπάρχειν,
Ἐκ τῆς Σῆς φύσεως γεννῶν ὁμοȣ́σιον Υἱόν,
Καὶ μετὰ τȣ̃ Υἱȣ̃, ἅτε πῦρ, τὸ Πνεῦμα προβάλλων·
Εἷς σὺν Τοῖνδε Θεός, καὶ ἔχων ἅμα Τοῖνδε τὰ αὐτά·
Τὴν φύσιν ȣ̓κ ἄλλος παρ' Ἐκείνω, ȣ̓δέ τι μείζων,
Οὐδὲ ὁ Γεννήτωρ Προβολεύς τ' ȣ̓δὲν προτερεύων
Τȣ̃ Γεννωμένȣ ἐκ Σέο τȣ̃ τε Προβαλλομένοιο,
Μȣ̃νον ἔχων ἴδιον, κȣ̓ ταὐτὸν Τοῖνγε, Πρόςωπον,
Λοιπὰ δὲ καὶ Υἱῷ καὶ Πνεύματι πάμπανυ ἶσε,
Ἀμφοτέροιν ὁμότιμε, ὁμοσθενὲς ἠδ' ὁμόβȣλε·
Εἰν Υἱῷ ὅλος ὤν, ὅλος εἰνὶ Πνεύματι ἁγνῷ,
Ὄντοιν καὶ Τȣ́τοιν ἐνὶ Σοὶ συνεχῶς τε μενόντοιν·

Υἱοῦ καὶ ἁγίου ἀδιάστατε καὶ ἀμέριστε
Πνεύματος, Ἀμφοτέροιν ἡνισμένε νῷ τε φύσει τε·
Αὐτόκρατορ καὶ παντόκρατορ, κόσμου τε ποιητὰ
Ἔξοχον· ἄκτιστε κτιστήρ, καὶ αὐτογένητε
Τῶν πάντων γένετορ, πάντεσσίν τ' οὐσία οὖσιν! —

Εἰς δὲ Σὲ οὐχ ἧττον πιστεύω ψυχόθεν, Υἱέ,
Δεύτερον εἰνὶ Θεῷ, ἑνὶ ὄντι μόνῳ τε, Πρόςωπον·
Τὴν Σοφίην τὴν ἐκ κραδίης Πατέρος γεγαυῖαν·
Τὸν Λόγον, εἰν ἀρχῇ τῇ ἀχρόνῳ ἠδὲ ἀνάρχῳ
Καὶ πάνυ ἀῤῥήτῳ ἐνυπόστατον αἰὲν ἐόντα
Καὶ προςεόντα Θεῷ, καὐτὸν Θεὸν ὑψιγένέθλον,
Ἐκ Πατέρος γε γεγῶτα πρὸ πάντων τῶν αἰώνων·
Ἐκ Θεοῦ ἶσα Θεόν, κἠκ φωτὸς φῶς ὁμοφεγγές,
Ἀενάῳ αὐγαῖσι Θεῷ συλλάμπον ἴσαισι,
Πνευματικαῖς δ' ἀκτῖσι καταυγάζον νόον ἡμῶν·
Ἐξ ἐτύμοιο Θεοῦ ἔτυμον Θεόν· οὐχὶ ποιητόν,
Γεννητὸν δὲ, συναΐδιον καὶ ὁμήλικα Παῖδα
Τῷ ἰδίῳ Πατέρι, ἰσοκλεέ' ἰσοφυῆ τε·
Καὶ μετὰ τοῦ Πατέρος Προβολῆα Πνεύματος ἁγνοῦ,
Ἠδὲ μετ' Ἀμφοτέροιν σύμπαντ' ἔρξαντα τὰ ὄντα,
Ἄπνοα καὶ πνείοντα, νοητά τε καὶ αἰσθητά·
Ἔμφυτον ἐν Σαύτῷ ζωὴν τὴν παντρόφον ἠδὲ
Πασιμέλουσαν ἔχοντα, διδόντα τε τοῖς κτιστοῖσιν·
Τὸν, Πατέρος δόξαν καὶ Πνεύματος αὐξήσοντα
Ῥυσόμενόν τε τὸ ἡμέτερον γένος ἐξ ὀλέθροιο,
Οὐρανόθεν τήνδ' ἐς γαῖαν καταβάντα ταπεινήν,
Τῶν κόλπων μέντοι τοῦ Πατρὸς ἀνεκφοίτητον·
Τῇ τοῦ Ὑψίστου δυνάμει, τῇ τοῦ ἁγίοιο
Πνεύματος ἀφράστως πάνυ συλληφθέντ' ἐπελεύσει,
Καὶ σαρκωθέντ' ἐκ Μαρίης τῆς Παρθένου αἰέν,
Πᾶν μὲν, ὃ ἦς, μείναντα, ὃ δ' οὐκ ἦς, εἰς Σὲ λαβόντα·

Τοῖσιν ἁμαρτωλοῖς ἡμῖν τεχθέντα μεσίτην,
Ἄχρονον εἰνὶ χρόνῳ, καὶ ὀψίγονον προγένεθλον,
Ἀμφότερόν τε φανέντα, Θεόν θ' ἅμα καὶ ἄνθρωπον,
Ξυνώσαντα πόλῳ χθόνα, καὶ ἀφάτῳ τινὶ δεσμῷ
Θέντα τῇ ἀνδρομέῃ τὴν θείην σύζυγα μορφὴν,
Οὐκ εἰς σάρκα τροπῇ τοῦ Σοῦ, ἀτροπώτατε, Θείου,
Αὐτὰρ προςλήψει ἀνθρώπου εἰς Θεότητα·
Μητρὸς ἀπείρητον Θεὸν, ἄνθρωπον γενετῆρος·
Ὡς Θεὸν ἶσον Ἑῷ Πατέρι, ὡς ἀνέρα μείω·
Δοιὰς τὰς φύσιας, θείαν τε καὶ ἀνθρωπείαν,
Δοιὸν καὶ τὸ Τεὸν, σύμφρον δὲ, θέλημα ἔχοντα,
Ἀλλὰ ἓν, ᾗ τε ἀνὴρ καὶ ᾗ Θεὸς εἶ, τὸ Πρόςωπον,
Θωϋτόν! ἐργασίᾳ Τριάδος μέγα μητιοέσσῃ,
Ὡς ψυχὴ καὶ σῶμα παρ' ἄμμιν ἓεις ἄνθρωπος,
Ὧδε συνελθόντοιν παρὰ Σοὶ ἀνδρός τε Θεοῦ τε
Εἰς μίαν ἠδὲ ἀληθέ' Ὑπόστασιν, εἰς ἕνα Χριστὸν,
Εἰς ἕνα τὸν θνητοῖς σωτῆρα Θέανδρον Ἰησοῦν,
Ἄμμι βιόντα ἐπὶ χθονὸς, ἄμμι τοσαῦτα παθόντα,
Αὐτοθελεὶ ὑπὲρ ἡμείων σταυροῦ θανάτου τε
Γευσάμενον, πεῖράν τε ταφῆς μετέπειτα λαβόντα,
Τῆς ψυχῆς χωρισθείσης τοῦ σώματος, ἀλλὰ
Τοῖο Σέθεν Θείου προςεόντος ἔτ' ἀμφοτέροισιν·
Τῷ δὲ μεταξὺ χρόνῳ καὶ εἰς ᾅδην καταβάντα,
Ψυχαῖς ταῖσιν ἐκεῖθι λύσιν καὶ χάρμα φέροντα·
Καὶ ἀνστάντα παλίμβιον ἐκ καπέτοιο τριταῖον
Ἶφι μάλ', ἀθάνατον λαμπρόν τε καὶ οὐκέτι μορτόν·
Καὶ πάλιν οὐρανίας ἀνεληλυθότ' εἰς οἰκήσεις,
Κἀκεῖ τῷ Πατέρι ἐπ' ἀνύλῳ ὁμόθρονον ἕδρῃ
Δεξιὸν, ἐν τιμῇ δόξῃ τε τεθειμένον, ἠδὲ
Πᾶν κράτος ἔν τε πόλῳ κὴν γῇ ἐγχειρισθέντα·
Ὀρθοδίκαν δ' αὖθις μέλλοντ' ἔρχεσθαι ἐπ' αἶαν
Οὐρανόθεν, κρῖναι τοὺς ἀνθρώπους συνάπαντας,

Καὶ δῦναι φαύλοισί θ' ἑὴν ἀγαθοῖσί τ' ἀμοιβήν·
Οὗ ἀτελεύτητος τελέεσσά τε ἡ βασιλεία. —

'Αλλὰ καὶ εἰς Σὲ ὁμῶς πιστεύω, Πνεῦμα πάναγνον,
Πνεῦμα Θεοῖο, Θεὸν δὲ ἀληθινὸν Αὐτὸ ὑπάρχον,
Ὃν δ' ἅγιον φυσικῶς, ἅγιον δ' ἰδίως ἐπικληθέν,
Τὸ τρίτον ἐν τῇ μȣνοφυεῖ Θεότητι Πρόσωπον,
'Εκ Πατέρος προϊὸν καὶ Υἱȣ̃, ἀμφοτέροιν μέν,
'Αλλὰ μιᾷ πάντως τῇ πνεύσει, ȣ̓χὶ φατειὸν
Τὸν τρόπον, 'Αμφοτέροιν κοινωνὸν πάντα καὶ ἶσον,
Ταὐτὰ θέλον Πατέρι καὶ Υἱῷ, ταὐτὰ ἐνεργȣ̃ν,
Τῆς αὐτῆς φύσεως Τȣ́τοιν κράτεός τε ὁμοῖο·
Τὴν 'Αγάπην, τὸν τῆς Πατέρος θ' Υἱȣ̃ τε πρὸς Αὐτȣ̀ς
'Αμβροσίης φιλίης τε χαρῆς τε συνήρεα δεσμόν·
Συνδοξαζόμενον Κείνοιν συναγαλλόμενόν τε·
Ζωοποιȣ̃ν, ὅσαπερ κινεῖται ἐν εὐρέϊ κόσμῳ·
Δεσπόζον πάντων· πληρȣ̃ν συνέχον τε τὰ πάντα,
'Αχράντως ἀμιγῶς τε διῆκον· πάντ' ἀνακαινȣ̃ν·
'Ανδρομέας ψυχὰς καθαρίζον καὶ ἁγιάζον,
Υἱοθετȣ̃ν ἡμᾶς καὶ χρῖον ἐς ȣ̓ρανόπαιδας·
'Εκ δὲ προφητάων αὐδῆσαν· τὸν Παράκλητον·
Δώτορα τῆς σοφίης τῆς ἡμᾶς σωφρονισάσης,
Καὶ χαρίτων πηγὴν, ἀρετῶν ἀρχηγὸν ἁπασῶν. —

Ταῦτα μὲν ἀμφὶ Σέθεν, Θεὸς ὦ Πάτερ, ἀμφὶ Σέθεν τε,
Υἱέ, καὶ ἀμφὶ Σέθεν φρονέω, Πνεῦμ', ȣ̓δὲν ἀπιστῶν. —

Πιστεύω γεραρὴν ἐν τῷδ' αἰῶνι σύναξιν
'Ανθρώπων πίστει ἑτάρων, μίαν ȣ̃σαν, ἀγαυήν,
Σύστασιν ἠδὲ πολιτείαν ἐνταῦθα θεείην, —
Ἥτις τȣ̃ Χριστȣ̃ κυδνὴ 'Εκκλησία ἐστίν, —
Σῇ, Πάτερ, εὐδοκίῃ προορισθεῖσαν πάλαι ἤδη,

Κτισθεῖσαν δὲ Σοὶ ὕστερον, Υἱέ, γαμηθεῖσάν τε,
Σῇ δὲ κυβερνήσει ἀκέραιον, Πνεῦμα, μένȣσαν,
Ὀρθὰ φυλάσσȣσαν τά τε δόγματ' ἀεὶ τά τε ἱρά,
Καὶ ὁμοδοξȣ͂σαν ἰδ' ὁμοφρονέȣσαν, ὁρατὴν,
Οὐ κρυφίην, ὁμόνȣν καὶ ȣ᾽ σχισθεῖσαν ἐν αὐτῇ·
Ἄρχȣσαν καὶ ἀρχομένην ἱερῇ τινὶ ἀρχῇ·
Καὶ ἁγίην τὰ μέλη, ἁγίην τὰ διδάγματ' ἐȣ͂σαν·
Καθολικὴν οἰκȣμενικήν τε, τόποισί τε πᾶσι,
Πᾶσιν ὀφειλομένην ἀνθρώποις, πᾶσι χρόνοισιν·
Οὖσαν ἀποστολικὴν δόκιμόν τε, διδαχθεῖσάν γε
Ἀρχῆθεν παρὰ τῶν ἐκ τȣ͂ Χριστοῖο μαθόντων,
Οἰκοδομηθεῖσάν τε ἀποστολικῇ ἐπὶ πέτρῃ,
Καὶ ποιμαινομένην τῷ ἀεὶ διαδέκτορι Πέτρȣ·
Στῦλον ἀληθείης ἕδρωμά τε ἧμιν ἐȣ͂σαν·
Αὐτάων κρείττω τῶν τȣ͂ ἀΐδαο πυλάων·
Ἧς, ἐκέλευσ' αὐτὸς Χριστὸς σύμπαντας, ἀκȣ͂σαι·
Ἧς ἔξω ὄντεσσι πέλει σωτήριον ȣ᾽δέν·
Ἧς μέτ', ἔφη, μενέειν ἐπίκȣρος ἐς αἰὲν, Ἰησȣ͂ς·
Ἧς τέλος ȣ᾽ πρότερον τῆς τȣ͂ κόσμοιο τελευτῆς. —

Πιστεύω ἁγίων κοινὴν κατὰ πάντ' ἐπίμιξιν,
Τῶν τ' ἔνθα ζώντων, καὶ τῶν ἐκεῖ ἐν καθαρισμῷ
Καμνόντων, καὶ τῶν ἤδη τὰ βραβεῖα ἐχόντων·
Τȣ̀ς ἐνταῦθ' ὑπὸ τῶν ἐνὶ ὕψεσιν ὠφελέεσθαι·
Καὶ αὐτȣ̀ς δὲ ἀμοιβηδὸν τȣ̀ς ἐνθάδε πιστȣ̀ς
Ὠφελίμȣς εἶναι κατὰ πνεῦμ' αὐτοῖς σφισὶν ἠδὲ
Τοῖς καθαριζομένοις ἔτι τῶν κατακοιμηθέντων·
Λαὸν ἴον σύμπαντας, πάσχοντας δ' ἀνόμοια,
Ἀλλήλων τε διαστάντας· τȣ̀ς εἰνὶ ἀγῶνι,
Τȣ̀ς δ' αὖτ' εἰνὶ καταστάσεϊ καθαρȣ̀ς παρεχȣ́σῃ,
Τȣ̀ς δὲ θριαμβεύοντας ἐπȣρανίῃ ἐνὶ δόξῃ·
Ἀλλήλοισι δ' ὅμως μάλα κοινῶνας, μάλ' ἀδελφȣ́ς.—

Ὡμολόγηταί μοι καὶ ἓν βάπτισμα καθαῖρον,
Καὶ ὅσα παρδέδοται ἡμῖν μυστήρια ἄλλα. —
Πιστεύω, Χριστȣ̃ τιμὰς καὶ λύτρα διδόντος,
Πάντα ἁμαρτωλὸν τοῖς Σοῖς, Θεός, οἰκτιρμοῖσι
Συγγνώμης τυχέειν πάντως, μεταγνόντα, δύνασθαι.—
Προςδοκάω δὲ, τὸ σῶμα, λυθὲν, πάλιν ἀνστήσεσθαι,
Καὶ μεταμορφωθὲν καὶ ταὐτὸν, ψυχῇ ἑνωθέν. —
Πιστεύω δ' ἔτι καὶ τȣ̃ ἐρχομένοιο μακαρτὴν
Ζωὴν αἰῶνος, τὴν εὐσεβέεσσιν ἑτοίμην. —
Ὧδέ νυ πιστεύω, θανέειν δ' ἐν τῇδ' ἐπιθυμῶ
Τῇ πίστει, Σέο μοι, Τριςυπόστατε, εὐμενέοντος.
Ἀλλὰ Σὺ καί, με φυλαττέμεναι ταύτην, πόρε, πίστιν,
Ἠδὲ βίον διάγειν τῇ πίστεϊ μὴ ἀνόμοιον.
Ἐν Σοὶ γȣ̃ν ἐπὶ πᾶσιν ἐγώ, Πάτερ, ἐν δὲ Σοί, Υἱέ,
Ἐν δὲ Σοί, ὦ ἅγιον χ' ἁγιάζον Πνεῦμα, πέποιθα.
Πρόςθες ἐμῇ πίστει καὶ ἐλπίδ' ὁμȣ̃ ἀγάπην τε.
Ταῦτα, κράτιστε Θεός, μοι ἐπικρήηνον ἀκȣ́σας! —
Τῇ Μονάδι τῇ ἐν Τριάδι συνάπας ὁ ἔπαινος!
Τῇ Τριάδι τῇ ἐν Μονάδι ἡ δόξα ἅπασα! —

Ἡ κυριακὴ προςευχή.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς ȣ̓ρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σȣ· ἐλθέτω ἡ βασιλεία Σȣ· γενηθήτω τὸ θέλημά Σȣ, ὡς ἐν ȣ̓ρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιȣ́σιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰςενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τȣ̃ πονηρȣ̃. Ἀμήν. —

Ἡ κυριακὴ προσευχὴ, ἀμειβομένοις ἑξαμέτροις καὶ πενταμέτροις ἐκφραζομένη.

Ἡμετέρειε Τοκεῦ, ὁ ἐνουράνιός, Σε ἕκαστος
Δοξάζοιμεν ἀεί, κηρόθι ἀζόμενοι·
Σοὶ δ' ἀπὸ τοῦδ' ὕποχοι πειθοίμεθα πάντες ἄνακτι,
Καὶ Σὺ ἔοις βασιλεὺς ἧμιν ἀειχρόνιος·
Πᾶν τε, τόπερ Σὺ θέλεις, καὶ οἱ ἐνταῦθα θέλοιμεν,
Ὡς ἐθέλουσ' ἔμπης χ' οἱ ἐν ἐπουρανίοις.
Δὸς δὲ, ὅσων χρεία ἡμῖν, καὶ τήμερον αὖθις,
Μηδὲ Τεῶν τέκνων λῆγε προκηδόμενος.
Συγγνώμης δὲ τύχοι παρὰ Σοῦ τὸ πλημμελὲς ἡμῶν,
Καὐτοὶ δ' ἀλλήλοις εἶμεν ἀμνησίκακοι.
Πειρασμῶν πάντων, δὸς, κρείσσονας ἄμμε γενέσθαι,
Καὶ κατανικῆσαι πᾶν τὸ πονηρὸν ἐόν. —
Δέξαι δὴ ἁμὰς, ἐπακούσας, ὦ Πάτερ, εὐχάς·
Ἀχρείοις περ ἐοῦσ' ἄμμι Σὺ χρηστὰ μέδου.
Σοὶ κλέος εἰν Υἱῷ καὶ Πνεύματι ἔμπεδον αἰεί,
Σοὶ κλέος ἐν Σαυτῷ, ἡμετέρειε Γονεῦ! —

Ἡ κυριακὴ προσευχὴ, ἐλεγείοις ἐπιπλέον περιφραζομένη.

Ὦ Πάτερ ἡμείων! κατὰ πολλοὺς γὰρ Σὺ λόγους εἶ,
Καὶ δὲ τρόπους πολλοὺς ἡμέτερός γε Πατήρ.
Ἡμέτερος Σὺ Πατὴρ τῷ Σε κτίσαι ἄμμε ἅπαντας,
Καὶ τῷ συντηρεῖν εὖ τε ποιεῖν πατρικῶς·
Ναὶ, Σὺ Πατὴρ ἡμῶν· διὰ Σοῦ γ' εἰμέν τ' ἔχομέν τε,
Καὶ ὃ παρ' ἡμετέρων ἐλλάβομεν γονέων·

'Αθάνατον ψυχὴν, πολυδαίδαλον ἄμμι Σὺ δῶκας
Σῶμα, πλάσας ζεύξας τ' ἀμφότερ' ἁρμονίως.
'Αλλὰ μάλιστα Πατὴρ καὶ ἔξοχα ἡμέτερος Σὺ
Τῷ Σε ποιήσασθαι υἱέας ἄμμε Τεῒν.
Σὺ φυσικῶς, Σὺ πνευματικῶς, κατὰ πολλὰ Σύ ἐσσι
'Ημείων, μᾶλλον δ' εἶ κατὰ πάντα Πατήρ.
'Ως ἔπος ἡδὺ τοδί! ὡς μείλιχον ὄνομα τουτί!
'Ως γλυκὺ, ὅττι, Θεὸν, ἔστι, καλεῖν πατέρα!
Τίς ποτ' ἂν ἀνθρώπων Σέ γε τὸν τόσον ἠδὲ τοιοῦτον
Τόλμησεν τούτῳ ἔξοχον οὐνόματι,
Παντοκρατὴρ, καλέσαι, εἰ μὴ ὁ Σὸς ἡμέας Υἱὸς
῏Ωδ' ἐδίδαξε λέγειν, ὧδ' ἐκέλευσε ποιεῖν;
῞Ιλαος ἔσσο Θεὸς τοῖς Σεῖο κτίσμασιν ἡμῖν·
῎Ηπιος ἔσσο πατὴρ τοῖς τεκέεσσί Σεο!
Σοί γ' ἡμεῖς, Σὺ δὲ ἡμέτερος, κακῶν περ ἐόντων·
Παῖδες Σοὶ ἡμεῖς, ἡμέτερος Σὺ πατήρ!
Μίμνοι εἰς ἡμᾶς ἡ Σὴ φιλίη τε χάρις τε,
Καὶ εὐγνωμοσύνη εἰς Σὲ παρ' ἄμμι μένοι!
Σοὶ δὲ φίλοι καὶ εὐχάριτοι ἀρεταῖσι πέλοιμεν,
Τηροῖμέν θ' υἱῶν τὰ προτερήματ' ἀεί!
Εἰ δέ τις, υἱόθετος παρὰ Σοῦ, πάλιν ἐξέπεσ' υἱοῦ
Τῆς χάριτος, κεῖνος δεύτερον υἱὸς ἔοι,
Καὶ Σὺ γένοιο πατὴρ ἐκ καινῆς, κἀξιότητα
Τὴν τῶν Σῶν παίδων τῷγε πάλιν πορίσαις,
'Εξείη τ' αὖθις τὸ „Πάτερ" φθέγξασθαι ἐκείνῳ,
'Ηδ' ἄψ μιν θείης υἱέος εἰνὶ μέρει.
Εὐμενέτης φρόνει ἐσθλ' ἡμῖν, φαύλοισί περ οὖσι,
Κέκλυθι δ' εὐχωλῶν εὔνοος ἡμετέρων! —
῏Ω Πάτερ ὑψιμέδων, πανυπέρτατε καὶ ἀκίχητε,
Εἰν ὑπερουρανίῳ αἰθέρι ναιετάων!
῞Υψεος ἐξ ἰδίου καταμάνθανε τοὺς ὑπένερθεν,
Οὐρανόθεν θ' ἡμᾶς τοὺς χθονίους καθόρα.

Ἴσθ' ἡμᾶς, εἰ καὶ τόσον ȣ̓ρανός ἐστ' ἀπὸ γαίης,
Ἴσθ' ἡμᾶς, ναίων περ φάος ἀπρόσιτον.
Πρὸς Σὲ ἕκαστος ἔχοι τὸν νȣ̃ν, καὶ πρὸς Σὲ τὸ ὄμμα·
Εἰς Σὲ βροτῶν ἀτενὴς ἡ ἀνάβλεψις ἔοι.
Πᾶν παρὰ Σȣ̃ ἡμῖν καταβαίνει δῶρον, ἄνωθεν
Πᾶν δόμα, πᾶσ' ἀγαθὴ ἔρχεται ἄμμι χάρις·
Πάντα τὰ ἔσθλ' ἐκ Σȣ̃, καὶ ὡς Σὲ τὸν ὑψίθρονον δεῖ
Χεῖρας ἀνασχεθέμεν ἡμέας εὐχαρίτȣς.
Τἀγαθὰ πάντα πορεῖν Σὲ, ὁ Παῖς ἐφθέγξατο Σεῖο,
Τοῖς αἰτησαμένοις Τȣ̃δέ γ' ἐν ȣ̓νόματι.
Αὐτὸν ἐπήγγελσαι Σὺ τὸν ȣ̓ρανὸν ἀνθρώποισι,
Σύν θ' Υἱῷ χ' ἡμᾶς κληρονομεῖν ἐθέλεις.
Πατρὶς ὁ ȣ̓ρανὸς ἄμμι· τὸν ȣ̓ρανὸν ἄμμε ποθεῖν τε
Ζητȣ̃ντάς τε βλέπειν, ἐστὶ δίκαιον, ἀεί.
Μὴ ἐπὶ γῆς τοίνυν, ἐπὶ Σȣ̃ δὲ μόνοιο πεπήγοι
Τȣ̃ ἐν ἐπȣρανίοις ὄμμα τε καὶ κραδίη.
Ἔξελε τῆς ψυχῆς ἐπιγείων κακὸν ἔρωτα,
Δὸς δὲ ὑπεργείων ἵμερον ἠδὲ πόθον. —
Σεμνὲ Πάτερ, πανάρισθ', ἁγιώτατε, ἀξιέραστε,
Ἀξιεπαίνετ' ἀεί, ἄμμι σεβαστὸς ἔοις!
Ζητήσειαν ἐπίγνοιέν τέ Σε πάντα τὰ ἔθνη,
Καί Σοι προσκυνέοι πᾶς ὁ ἐπιχθόνιος·
Καὶ τὸ Σὸν ἀνθρώποις ἐν τιμῇ πᾶσι γένοιτο
Οὔνομα, πᾶσι φίλον, πᾶσι γένοιθ' ὅσιον·
Σοὶ δ' αἶνον δόξαν τε πρόπας προσενεγκάτω ἀνήρ,
Σὲ πρῶτον, Σὲ μέσον καὶ πύματον σεβέτω.
Πίστις ἐπικρατέοι καθ' ὅλην ἀνυπόκριτος αἶαν
Εἰς Σέ, ὁμῶς δ' ἐλπὶς γνησίη ἠδ' ἀγάπη·
Εὐλαβέως δὲ Σὲ πᾶς, μικρός τε μέγας τε, γεραίροι,
Δυσσεβίη δ' ἐκ γῆς πᾶσ' ἀπόλοιτο κακή.
Σοὶ δ' εἶεν πιστοὶ οἵ τ' ἀνέρες αἵ τε γυναῖκες,
Καὶ ὁ νέος Σέ, Πάτερ, καὶ φιλέοι ὁ γέρων.

Πάντοτε καὶ πάντῃ Σὲ βροτοὶ περὶ πάντες ἔποιεν
Πάσῃ καὶ αἰδοῖ, τῇ γ' ἔνι, καὶ ἀγάπῃ! —
Ὦ Πάτερ, ὦ βασιλεῦ ἡμὲν χθονὸς ἠδὲ πόλοιο,
Οὗ τὸ θέλειν ταὐτὸν τῷ πεποιηκέμεναι!
Ἐλθέτω ἀνθρώποις ἡ Σὴ βασιληΐη, ἐλθὲ
Αὐτὸς τοῖς θνητοῖς κοίρανος ἀθάνατος.
Τάς Σε πνευματικὰς τὰς εἰνὶ διασπορᾷ ἔσας
Εἰς τὴν Σὴν ξυνάγοις πάσας ἔπαυλιν ὄϊς.
Εἷς ποιμὴν ἡμῖν, ἓν δ' αὐτὸ τὸ ποίμνιον ἔστω·
Τῷ ἐνὶ πειθέσθω ποιμένι πᾶν πρόβατον.
Ἐθνικοὶ, αἱρετικοὶ, Ἑβραῖοι σχισματικοί τε,
Καὶ ὅσοι ἐκ ὀρθῆς εἰσὶν ἀπαὶ διδαχῆς,
Γνοῖεν ἀλήθειαν, γνόντες δὲ πρόθυμοι ἕλοιντο,
Σοί τε ἄνακτι μόνῳ, Σοὶ μάλ' ἕποιντο ἀγῷ.
Πάντας ἁμαρτωλὲς, πάντας τὲς Σοι ἀπιθὲντας,
Σε φόβος ἠδ' ἀγάπη καὶ μετάνοια ἕλοι·
Καί Σε τῇ φωνῇ, Σε τοῖς προστάγμασι πάντες
Πάνθ' ὑπακέοιεν πρόφρονες ἠδ' ἱλαροί·
Μηδ' ἔτι τις τῇ σαρκὶ μέρωψ ἀπατώμενος ἔλῃ,
Μηδέ τι τῷ κόσμῳ τῷ πλανάοντι βροτὲς,
Μηδέ τι πειθαρχοῖ ὑποθήκαις ἀρχεκάκοιο
Δαίμονος, ἡμετέρων ἀντιπάλε ἀγαθῶν.
Πᾶς δ' ἄρχοιτο Τεῇ ὑπὸ πανδοχίδι βασιλείᾳ,
Ὧδε μάκαρ γεγονώς, μᾶλλον ἔτ' ἐσσόμενος.
Ἄμμε καταστήσει ἐν δώμασι Σοῖσιν ἄνακτας
Ἡ Σοὶ δελεία ἐνθάδε γιγνομένη.
Ἄμμι τὸ ὧδε Τεῒν δελευέμεν ἔστιν ἀνάσσειν·
Σοί γ' ὑποταχθῆναι ἀρχέμεν ἔστι πάλιν.
Ἔλθοι ἐν ἡ Σὴ βασιλεία ἡ ὄχ' ἀρίστη,
Ἄφθιτον ἀνθρώποις ὄλβον ἄγεσα μόλοι.
Ναὶ, Πάτερ ἐρανίων, ἡμῶν οἷος Σὺ ἀνάσσοις,
Σοὶ δ' ἐπιπειθοίμεσθ', ὦ ἄνα λῷστε, μόνῳ.

Ἄξιοι, ἀμβρόσιον διάδημα, γενοίμεθ', ἀρέσθαι,
Τῷ Σοὶ πάντ', ἐνταῦθ' ὄντας, ὑπηρετέειν.
Σῇ χάριτι Σῇ τ' εὐδοκίῃ εὐθυνοίμεσθα·
Σὸν κατὰ θυμὸν ἔοι πάντα τὰ ἡμέτερα.
Καὶ ἐκδεξάσθω ποτ' ἐπȣρανίῃ βασιλεία
Ἡμέας, ἠδ' ἀρχὴ μηκέτ' ἔχȣσα τέλος. —
Ὦ Πάτερ, ἀγγελικῶν ἀνθρωπείων τε ποιητά,
Δέσποτα, τηρῆμον, θεσμοθέτα φύσεων,
Αὐτόνομ', αὐτόκρατορ, σοφὲ κἀγαθ' ἀπείριτον ὅσσον,
Παγκρατὲς ἠδὲ ὅλων κύριε, παμπρύτανι!
Σοὶ τῷ ὑψίστῳ τὰ κτίσματα πάντα ὑπείκειν,
Καὶ τὸ θέλημα τὸ Σὸν δεῖ ἐπὶ πᾶσι τελεῖν.
Ὡς ἀγαθὸν θνητοῖσι, τά Σοι δόξαντα ποιῆσαι!
Ἀλλὰ καὶ ὡς λυγρὸν, τῶν Σὺ κέλῃ, ἀμελεῖν!
Ζῶά γε τἄλογα, ὃν Σὺ νόμον διέταξας ἑκάστῳ,
Αἰεὶ τηρȣ̃σίν, Σοι ὑποτασσόμενα.
Χ' ἡ λοιπὴ δὲ φύσις τοῖς Σοῖς θεσμοῖς ὑπακȣ́ει,
Ἐκ τῶν Σῶν βȣλῶν ἀϊ κυλινδομένη·
Τἄστρα δρόμον τελέει τὸν ὀφειλόμενον διὰ παντός,
Τὴν δὲ κελευομένην γαῖα δίδωσι πόαν.
Μȣ̃ναι δ' αἱ λογικαί τε καὶ αὐτοπροαίρετοι ἐς Σὴν
Χείρȣς λατρείαν ἐσμὲν ὑποστάσιες!
Οἱ μὲν ἐν αἰθερίοις, εἰρηνικὰ φῦλα, τόποισι
Ζωῆς τρισμάκαρες κτήτορες ἀϊδίȣ,
Οὐ φρονέȣσί τι ἄλλ', ȣ̓δ' ἄλλο τι οἶγε θέλȣσι,
Πλὴν ὅ,τι καὶ Σαύτῷ ἔμμεν ἴσασι φίλον.
Οἶδε νυ, Σὸν βȣ́λημα, ποθȣ̃σιν, ἅπασι τελεῖσθαι,
Ἥδονται δ' αὐτοὶ τȣ̃τ' ἀνύτοντες ἀεί·
Οἱ δὲ ἐπȣ́δειοι, ἔμψυχον σῶμα φορȣ̃ντες,
Τοσσάκις, οἳ, τοῖς πρὸς Σȣ̃ μαχόμεσθα νόμοις!
Σοὶ ξύμπασα φύσις, Σοί ἐστιν ὑπήκοα πάντα,
Πλὴν τῶν ἀνθρώπων, συχνὰ Τεῒν ἀπιθῶν!

Δός νυ, Πάτερ, καὶ τοῖς χθονόπαισιν ἄμ᾽ ἐκτελέεσθαι
Πᾶν τό Σοι εὐδόκιμον, πᾶν τὸ ἀρεστὸν ἐόν·
Δός ῥα, ὃ ταῖσι Τεαῖς βȣλαῖσι γενέσθαι ἀνάγκη,
Τȣ̃το τὸν ἄνθρωπον καὶ ἐθέλοντα ποιεῖν.
Ἐστὶ δ᾽ ἀνάγκη ὅλως, ἢ πράττειν καλὰ θέλοντας,
Ἠὲ βίᾳ πάσχειν καὶ ἀέκητι κακά.
Οὔποτε δ᾽ ἄπρακτος Σὴ βȣλὴ ȣ̓δ᾽ ἀτέλεστος,
Οὐδ᾽ ἀπὸ, τῶν κε θέλῃς, τεύξεαι ȣ̓δέποτε·
Οὐδὲ Σέ γ᾽, ἀλλ᾽ αὐτȣ̀ς ἡμᾶς τὸ σκληροτράχηλον
Ἡμείων βλάψει ἥ τε ἀνηκοΐα.
Ἐκτίσει τὰ δίκαια θανὼν ποτε δεινά τε ἕξει
Πᾶς ὁ Τὶν ἐν βιότῳ μὴ ὑποτασσόμενος.
Εὐτυχέων κείνων τῶν Σȣ̃ τὸ θέλημα ποιȣ́ντων!
Τῶν Σοι ἀπειστȣ́ντων ἄμπαλι δυστυχέων!
Σὸν βȣ́λημα, Θεός, ἀγαθῶν θνητοῖσιν ἁπάντων
Πηγὴ, καὶ ὄλβȣ ἄιτιον ἡμετέρȣ·
Σὸν βȣ́λημα κανὼν ἡμῖν, καθ᾽ ὃν ἔστι μετρῆσαι,
Εἴ τι καλὸν τελέθει κἀγαθὸν, ἠὲ κακόν·
Ὅ,ττι γὰρ ἂν Σὺ θέλῃς, ἀγαθὸν τόδε πάγχυ καλόν τε,
Ὅ,ττι δ᾽ ἂν αὖ μισῇς, ȣ̓ καλὸν ȣ̓δ᾽ ἀγαθόν.
Οὐκ ἄρα σεμνότερον καὶ ȣ̓χ᾽ ἁγιώτερον ȣ̓δὲν,
Οὐδέ τι Σῆς βȣλῆς ἄλλ᾽ ἐρατεινότερον.
Σὸν βȣ́λημα, Πάτερ, νόμος ἄμμι γένοιτ᾽ ἐπὶ πᾶσι,
Μηδὲν πρεσβύτερον τȣ̃γε βροτοῖσι πέλοι!
Ἠδ᾽ ὑπὸ τῶν ἐν ἐπȣρανίοις ὡς γίγνεται ἔμπης,
Καὶ ἀνὰ γῆν βȣ́λημ᾽ ὧδε ποιοῖτο Τεόν!
Τȣ̃το δὲ Σὸν βȣ́λημα, Πάτερ, τὸ Σὲ μᾶλλον ἁπάντων,
Τȣ̀ς δὲ πέλας πάντως ἶσα καὶ ἄμμε φιλεῖν.
Τοῖς ἄρ᾽ ἐνȣρανίοις οἵη, τοιήδε γένοιτο
Καὶ Σέο κἀλλήλων τοῖς ἐπὶ γῆς ἀγάπη! —
Ὦ προνοητὰ Πάτερ, φίλε τȣ̃ βιότοιο χορηγέ,
Τῶν ἐπιτηδείων μȣ̃νε μέροψι δοτήρ,

Οὖ μὲν ὀπάζοντος, καρπῶν ἀναπιμπλάμεθ' ἐσθλῶν,
'Αλλ' ἀπαναινομένυ, ὑδαμὸς ὑδὲν ἔχει!
Σὺ ζωῆς δώτωρ, Σὺ ζωῆς ἐσσὶ φυλάκτωρ,
Καὶ τῶν σωματικῶν ἄιτιος ὧν ἀγαθῶν.
Δός, Πάτερ ὑρανίων, δὸς τἀναγκαῖά γε ἡμῖν,
"Εκχεον, ὧν ἡμῖν χρηΐα, ὑρανόθεν.
Οἶσθα Σύ γ', ὧν δεόμεσθα, Πάτερ, καὶ πρὶν λιτανεῦσαι
"Αμμε Σε, οἶσθα πρόπαν, παντοδαής γε Θεός·
Οἶσθα Σὺ πᾶν τὸ χρέος τῦ ἡμῶν πνεύματος, οἶσθα
Καὶ ἅμα σῶμα ὅσων δεύεται ἡμέτερον.
Τόν ῥα καθημερινὸν πορίσαις ἂν ἑκάστοτε ἄρτον
'Αρκῦντ', ἠδὲ μονὴν, ἀμπεχόνης τε σκέπην.
Αἰτῦμεσθ', ὧνπερ τῇ σήμερον ἐνδεόμεσθα,
Καὶ ἅπερ ἡμετέρῃ ἐστὶ φύσει ἱκανά.
"Ην δὲ μέλῃ ἡμῖν τό Σε τήμερον αἰτήσασθαι,
Καὶ Σοὶ τὸ θνητῶν αὔριον αὖτε μέλει,
Καὶ Σὺ ὁ δὺς ἡμῖν τῇ σήμερον ἄρμενα, δώσεις
Αὖθις τοῖς νομίμως χρηστά Σε λισσομένοις.
Σοὶ δὲ μέλει ἡμῶν· ἐπὶ Σῇ νυ μάλιστα προνοίᾳ
Χρή, Παμβῶτορ, ἀεὶ ἄμμε πεποιθέμεναι.
Δὸς δ' ἐπιποίθησιν καὶ ἐλπίδα εἰς Σὲ βεβαίην·
'Η μὴ διστάζυσ' οἴσεται ἐλπὶς ἅπαν.
Σήμερον εὑρήσει καὶ αὔριον, ὧν χρηΐζει,
Πᾶς ὁ ἐελπόμενος εὐχόμενός τε καλῶς.
Αἰτεῖσθαι βὔλει, αἰτηθεὶς δῶρα πορίσσαι,
Δῶρα δὲ δὺς, εὑρεῖν ἡμέας εὐχαρίτυς.
Αἰτῶ νυν Σέ, Πάτερ! πόρε τῷ αἰτῦντι Σὰ δῶρα,
Καὶ Σὴν εὐλογίην πρόςβαλε Σοῖς δόμασιν.
Αἰτύντων δ' ἡμῶν τὰ ξυντηρῦντα τὸ σῶμα,
Πνευματικῆς ψυχὴ μὴ στερέοιτο τροφῆς·
Δὸς δὲ, τόσῳ ψυχῆς ἡμᾶς ἐπὶ πλεῦνα μελεῖσθαι,
"Οσσῳ καὶ ψυχὴ σώματός ἐστι πέρι.

Ζητήσαιμι δικαιοσύνην καὶ Σὴν βασιλείαν·
Προςθείης ἄν μοι πάντα τὰ λοιπὰ τότε. —
  Ὦ Πάτερ οἴκτιρμον σύγγνωμόν τ' ἠδὲ φίλοφρον,
Πραῢς ἁμαρτωλαῖς ἵλαθι ἡμετέραις!
Πολλὰ δὲ Σοὶ ἡμεῖς, ναὶ, πολλὰ ὀφειλέται ἐσμέν,
Πολλὰ Τεοὶ παῖδες πταίσαμεν, ἠμπλάκομεν!
Ἀλλὰ Σὺ γιγνώσκεις, ἡμῶν τὸ πλάσμα ὁποῖον,
Οἶσθά τε, ὡς τρεπτοὶ φῦμεν ἰδ' ἀσταθέες.
Συγγνοίης τοίνυν τὰ πταίσματα ἵλεος ἡμῖν,
Πᾶν δ' ὄφλημα, Πάτερ, πᾶν ἀνόμημα ἄφες·
Σφόδρα περ ὀφλητὰς ἀλιτήμασιν ἄμμ' ἐλέησον,
Δὸς δὲ Τεὴν ἡμῖν εὐμενέως φιλίην.
Οὐδὲν, ἀφεὶς ἡμῖν τὰ χρέα, ὁ ἄπειρος ἀπόλλυς,
Δὺς τε χάριν, μίμνεις πλύσιος, ὡς τὸ πάρος.
Μὴ λόγισαι ἡμῶν τὸ ἀνάξιον, οἰκτείρας δὲ
Σῦ ἕνεκεν φεῖσαι πρᾳος ἐπιχθονίων·
Καὶ γὰρ καὶ αὐτοὶ θέλομεν συγγνώμονες εἶναι
Τοῖς ἀδικήσασιν, κὐκέτι μνησικακεῖν.
Συγγινώσκοντες δὲ ἅπαν ἀδίκημα τὸ κείνων,
Τῆς Σῆς συγγνώμης ἐλπόμεθ' αὖτε τυχεῖν.
Συγχώρησον ἄρ', ὦ Πάτερ! ἀλλήλοισι δὲ κἄμμες
Συγχωρήσαιμεν, μηκέτι μεμψάμενοι.
Πυλὺ ἀναίσχύντως ἄφεσίν Σέ τις αἰτήσαιτ' ἄν,
Μὴ καὐτὸς τοῖσιν πλησίον ἀπονέμων.
Ἔκδικον ὄμμα τὸ Σόν, διότι καί ἐστι δίκαιον·
Τῷ ἀκαταλλάκτῳ Καὐτὸς ἄνοικτος ἔσῃ.
Ὀργὴν ὖν φυγέμεν καὶ μὴ κακὸν ἀνταποδῦναι,
Ἀλλὰ κακὸν νικᾶν ἄμμε δὸς εἰν ἀγαθῷ. —
  Ὦ καὶ αὐτὸς ἀπειρόκακος Πάτερ, ὔτε τιν' ἡμῶν
Εἰς κακὰ πειράζων, πᾶσιν ἐΰφρονέων!
Οὐ Σέ γε τῆς ἡμῶν φύσεως τὸ διάστροφον, ὐ Σὲ
Λανθάνει ἀνθρώπων τὠσθενὲς ἡμερινῶν.

Οἶσθα τὸ ἡμετέρων ἐχθρῶν πλῆθός τε κράτος τε,
Τῶν ἐνεδρευόντων πάντοθε πάντας ἀεί.
Οἶσθα, τὸν ὧδε βίον πᾶσιν μερόπεσσι τετύχθαι
Πειρασμὸν, χαλεπήν τ' ἀμφίβολόν τε μάχην.
Τοῖς ἐν ἀγῶνι Τεοῖς στρατιώταις ἧμιν ἀρήγοις,
Ἡμῖν συμμαχέοις πȣλὺ πιεζομένοις.
Σȣ̃ δεόμεσθα, Πάτερ! κινδύνȣς τȣ̀ς ἐπὶ χεῖρον
Πειρασμȣ̀ς τε κακȣ̀ς Σῶν ἀπέρυκε τεκῶν.
Ἢν δὲ δέησιν ὅμως, καί Σοι δοκέον τόδ' ἔησι,
Μήτοι πειρασμῶν γ' ἥττονας ἄμμε θέο.
Δὸς, πειραζομένȣς — δοκιμασθῆναι γὰρ ἀνάγκη —
Μηδὲν νικᾶσθαι ἄμμε πρὸς ἀντιπάλων,
Ἀλλὰ μένειν πιστȣ̀ς Σοι, καὶ πειραζομένȣς περ,
Καὶ ἐκ πειρασμῶν βελτίονας τελέθειν. —
Ὦ ὑπερασπιστὴρ Πάτερ, ὦ ῥυστὴρ καὶ ἀμυντήρ,
Ὦ μȣ̃νον θνητοῖς τοῖς ταλαοῖσι φάος!
Κάκ', ἰδὲ, πανταχόθεν περιίσταται ἡμέας αἰνά,
Ἔν τε πονηρῷ ὅλος κεῖται ὁ κόσμος ὅδε!
Οἱ δειλοί τε καὶ ἀδύναμοι ἀπολώλαμεν, ἢν μὴ
Ἄμμι βοήθημα, ῥῦμα Σὺ ἄμμι γένῃ.
Ἀλλ', ἄγε, κινδύνȣς ἡμῶν ἀπότρεψον ἰδ' ἄτας,
Καὶ ἀπὸ τῶν δεινῶν ἄμμε φύλαξον ἀεί.
Τῶν δεινῶν δὲ τὸ δεινότατον, τὸ ἁμαρτέμεν εἰς Σέ·
Δεινὸν τȣ̃το μόνον, καὶ μόνον ἐστὶ κακόν!
Τἄλλα γὰρ, ὅσσα καλȣ̃μεν ὑπ' ἀγνοίας κακα, πολλοῖς
Πολλάκι παμπόλλων αἴτια γέντ' ἀγαθῶν.
Τάς νυν ἁμαρτωλὰς κακὰ ἡγησαίμεθα μȣ̃να·
Τῶν ἄπο ῥύσασθαι ἄμμε μάλιστα θέλοις. —
Ὦ Πάτερ, εὐχομένων παίδων κρήηνον ἐέλδωρ·
Χειροτέροις περ, ὅμως ἴσθι φιλοφρόσυνος!
Αἶνον ἀειμνήμων διδότω Σοὶ πᾶς μὲν ὑπόχθων,
Πᾶς δὲ ἐπιχθόνιος, πᾶς δὲ ὑπερχθόνιος! —

Ὁ ἀγγελικὸς χαιρετισμός.

Χαῖρε, κεχαριτωμένη Μαρία! ὁ Κύριος μετὰ σȣ̃ · εὐλογημένη σὺ ἐν γυναιξί· καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σȣ, Ἰησȣ̃ς. Ἁγία Μαρία, μῆτερ Θεȣ̃, προσεύχȣ ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν νῦν, καὶ ἐν τῇ ὥρᾳ τȣ̃ θανάτȣ ἡμῶν. Ἀμήν. —

Ὁ ἀγγελικὸς χαιρετισμὸς, δακτυλικῷ ἐνάρμοστος μέτρῳ.

Χαῖρε, πανευπρεπὲς ὦ Μαρίη!
Πλῆρες ἀπ' ȣ̓ρανόθεν χάριτος!
Κύριον εὔνοον εὑρομένη,
Εὔνοον ἔξοχα καὶ ἀφάτως!
Ταῖς ἑτέραισι κόρη ἀγατὴ
Ἠδὲ γεράσμιε θηλυτέραις!
Τῷ βροτέῳ τε καὶ ἀγγελικῷ
Θαυμασίη ξυνάπαντι γένει
Καὶ μακαριζομένη μεγάλως,
Δȣ̃σά γε γαστέρος ἐξ ἰδίης
Τὸν μερόπεσσι πρόπασι Τόκον
Ῥύτορα, σωστικὸν, ὧν ὄλετο,
Ἄξιον εὐλογίης συνεχȣ̃ς,
Δοξολογȣ́μενον ἀενάως,
Χριστὸν, ἅμ' ἄνδρα, ἅμ' ὄντα Θεόν! —
Ὦ Μαρίη καθάπαν ἁγίη!
Ὦ γενέτειρα Θεοῖο μάκαρ
Καὶ περίσεπτε! φίλα φρόνεε
Ἧμιν, ἐȣ̃σί περ ȣ̓τιδανοῖς!

Ἴδμεν ἐόντες ἀλιτρόβιοι·
Σοὶ δέ, Θεητόκε πραϋμενές,
Σωζέμεν ἄμμε καὶ ὧδε μέλοι!
Εὐμενέτειρ' ἱκέτευε ὑπὲρ
Τῶν δι' ἁμαρτάδας ἀχθομένων,
Ναὶ, ἱκέτευε τὸν Υἱά σεο,
Εὔνοον ἄμμι βιῦσιν ἔμεν,
Ἵλεον ἀποβιῦσί ποτε. —
Σοῖσι προσευγμασιν ὧδε τύχοι! —

Ὁ ἀγγελικὸς χαιρετισμὸς, εἰς στιχάρια μεταφραζόμενος διὰ μακροτέρων κατ' αὔξησιν.

Χαῖρε, Μαρία,
Ἡ χαρίεσσα,
Ἡ χάριν ἐκ τῦ
Παντοδυνάστυ
Πυλὺ μεγίστην
Ἐν μερόπεσσι
Πᾶσι λαχῦσα·
Ἡ χάριτος μὲν
Πλήρε' ἔχυσα
Μέτρα ἑαυτῇ,
Δῦσα δ' ἐνηὴς
Σῦ ἀπὸ πλήθυς
Πολλὰ καὶ ἡμῖν.
Τὸ προτέρημα
Σεῖο τὸ λίαν
Χάρμα καὶ ἡμῶν
Ἐστὶν ἑκάστῳ.

Ὦ χαρίτωσον
Σῷ παρὰ Παιδὶ
Ἄμμε καὶ αὐτὺς,
Ἡ χαρίεσσα
Πάγχυ Μαρία! —
Χαῖρε, Μαρία,
Ἡ ἀμίαντος
Πανάρετός τε,
Ἡ ἀρέσασα
Τῇ Θεότητι
Πάντοτε μὑνη!
Σὺ γε μέτ' αἰεὶ
Κύριος ἦεν·
Σὺ μέτα καὶ νῦν
Κύριός ἐστι·
Σὺ μέτα καὶ τὸ
Λοιπὸν ὁ αὐτὸς
Κύριος ἔσται,
Εἰς τὸ σαῶσαι
Υἱέας Εὔας.
Ἀλλὰ ποίησον,
Καὶ μετὰ ἡμῶν
Κύριον ἔμμεν
Νωλεμὲς, εἰνὶ
Πᾶσι τόποισι,
Πᾶσιν ἐπ' ἔργοις. —
Χαῖρε, Μαρία,
Ἡ ὑπεράκρως
Εἰνὶ γυναιξὶν
Οὖσα μάκαιρα,
Ἡ ὑπέραλλος,
Ἡ ὑπέρολβος,

Ἡ τετοκυῖα,
Παρθενική τε
Καὶ ἅμα μήτηρ,
Οἷον, ἁπασῶν
Οὔτινι κῦδος
Γέντο γυναικῶν,
Παῖδα λοχεῦσαι!
Τέκνα γονήων
Σοὶ ἀνομοίων,
Ἔξοχε μῆτερ,
Οἴκτισαι ἡμᾶς·
Καὶ ὃν ἐγείνω
Υἱὸν ἐφ' ἁμαῖς
Ἀγγελικαῖς τε
Εὐλογίαισιν,
Αἴτεε, δῦναι,
Ἤπιον ὄντα
Ἡμετερείῃ
Ἀθλιότητι,
Οἷο ποθεινὰ
Δῶρ' ἐλέοιο. —
Χαῖρε, Μαρία,
Ἡ Θεόθεν τε
Ἔκ τε σεαυτῆς
Πάγκαλον ἄμμι
Καρπὸν ἔφυσας,
Υἷα Θεοῖο
Σάρκα φοροῦντα,
Χριστὸν Ἰησοῦν!
Οὗτος ὁ καρπὸς
Ἦν τε καί ἐστιν,
Ἀλλὰ καὶ ἔσται

"Ασπετον ὅσσον
Τίμιος αἰὲν,
Αἰὲν ἀλήκτων
"Αξιος αἴνων.
Αἰνετὸς ἔστω
Καὶ μέγα σεπτὸς
Οὗτος ὁ καλὸς
Πάντοτε καρπός·
Ὑμνολογοῖεν
Τόνγε ἅπαντες
Οἵ τε κατ' ἄκρον
Οὐρανὸν ὄντες,
Οἵ τ' ἀνὰ γαῖαν,
Οἵ τ' ἐνὶ ᾅδῃ! —
Χαῖρε, Μαρία,
Ἡ ἁγίη τε
Πάντα καὶ ἁγνή,
Ἡ περὶ ἄλλων
Οὖσα γυναικῶν
Τοῖσι τρόποισιν,
Ἡ περὶ πάντων
Οὖσα καὶ ἀνδρῶν,
Πλὴν Τέκεος σοῦ,
Ταῖς ἀρεταῖσιν!
Οὖσα τοιαύτη
"Ηνδανες αἰὲν
"Ομμασι τοῖς τοῦ
Κτισσαμένου σε.
"Ω καθάριζε
Χ' ἡμέας αὐτοὺς
'Ηδ' ἁγίαζε
"Ηθεσι σοῖσι,

Σαῖσι λιταῖσιν,
Ἡ καθαρή τε
Καὶ ἁγίη τὰ
Πάντα Μαρία! —
Χαῖρε, Μαρία,
Θευτόκε σεμνή,
Θαυμασίη τε
Παρθενομῆτορ,
Ἧς ἱκανῶς γε
Νȣ̃ς ὁ βρότειος
Οὔ κε μετρήσαι
Τὴν πολὺ πάσης
Μείζονα τιμῆς
Ἀξιότητα·
Τόσσον ἄγασμα
Καὶ σέβας ἡμῖν
Πᾶσι τέτυξαι!
Ἀλλὰ, τόση περ
Οὖσα τοίη τε,
Εἴϛιδε, σύν τε
Ἵσταθι τῷ σῷ
Ἡμέας Υἱῷ,
Γεινομένη καὶ
Ἄμμι πρόπασι,
Τοῖς ἀπ' Ἀδάμȣ
Οἰκτρογόοισιν
Εὐφρονέȣσα
Υἱάσι μήτηρ.
Σοὶ γὰρ, ἐȣ̃σῃ
Μητρὶ τοιαύτῃ,
Οὐκ ἀνανεύσει
Οὐδὲν ὁ Υἱός,

'Αλλά, σε τίων,
Πᾶν χαριεῖται,
Ὅ,ττι κεν εὔξῃ. —
Χαῖρε, Μαρία,
Ἡ ἐλεήμων
'Ηδὲ φιλόφρων
'Ες τὰ μάλιστα!
Φρόντισον ἡμῶν,
'Αντιλαβȣ̃ τε
Καὶ ὑπερεύχȣ
Εὔνοος, εἰ καὶ
Μηδαμὸς ἡμῶν
Ἄξιός ἐστι
Σῆς γε προσευχῆς,
Ἡμετεράων
Εἵνεκα συχνῶν
'Αμπλακιάων!
'Αλλὰ καὶ ȣ̃τως,
'Ηδ' ἔτι τόσσῳ
Μᾶλλον ἔχοις ἂν
Ἦτορ ἐνηὲς
Σπλάγχνα τ' ἐφ' ἡμῖν
Συμπαθέοντα,
Σπλάγχν' ἐλεȣ̃ντα
Τȣ̀ς δι' ἑαυτῶν
'Αδυνατȣ̃ντας
'Εξανύσαι τι,
Δευομένȣς δὲ
Σεῖο μάλιστα,
Μῆτερ ἄμυμον,
Τῆς δυνατῆς τε
Εὐμενέος τε

Διαφερόντως
Εἰς τὸ ἀρῆξαι. —
Λισσόμεϑ' ȣ̓̃ν σε,
Ὦ ἀγάνοφρον
Καὶ γλυκύϑυμε
Προστάτι ἡμῶν!
Τȣ̀ς ἐν Ἀδάμῳ
Πτῶμα παϑόντας,
Ἠδ' ἀλιτόντας
Πολλὰ καὶ αὐτȣ̀ς,
Ἧμας ὀνῆσαι
Τῷ παρέχειν σε
Ἵλαον ἄμμι
Τόν σεο Παῖδα,
Ἵλαον ἄμμι
Τοῖς διαλῦσαι
Νηπελέȣσι
Τὰ χρέα αὐτῶν,
Ἐλπομένοις δὲ,
Ταῦτ' ἀφεϑῆναι
Σῶν ἕνεκ' εὐχῶν,
Σȣ̃ ϑ' ἕνεκ' ἄφνȣς
Τȣ̃ κατὰ πνεῦμα,
Μείζονος ὄντος
Ἡμετερείων
Ἀποριάων,
Ὄντος ἀμέτρȣ
Ἠδὲ παναρκȣ̃ς! —

Χαῖρε, Μαρία,
Ἡ χαρίτεσσιν
Ἔξοχα λαμπρή,

Ἔξοχα καλὴ
Κἀγαθὴ ἄλλων,
Ἡ θεοπειθής,
Ἡ θεάρεστος,
Ἡ θεοδέγμων,
Ἡ προέχυσα
Πάμπολυ πασῶν
Θηλυτεράων,
Ἡ μακαριστὴ
Μύνη ἁπάσαις
Ταῖς γενεαῖσιν,
Ἡ ὄχ' ἀρίστη,
Ἡ Θεομήτωρ
Παρθενίοισιν
Οὖσ' ἐπὶ καλοῖς,
Ἡ ἀμετρήτως
Πλυσίη αὐτῇ,
Οὐδέ τι ἧσσον
Κἄμμιν ἀφνειός,
Ἡ χαριδῶτις
Σῦ διὰ Τέκνυ!
Σοί ῥα μέλοιμεν
Οἱ ἐπίγειοι,
Καίπερ ἐν ἄκρῳ
Ἐγγυτάτω τε
Τῆς Θεότητος
Ναιεταύσῃ.
Κλῦθι ἐπευχῶν
Γειόθεν ὡς σὲ
Γιγνομενάων,
Ἐν δ' ὑπὲρ ἡμῶν
Τύγχανε δειλῶν,

Ἠδ' ἀνάπειθε,
Πλησιάσασα
Τῷ θρόνῳ, ἀμφοῖν
Τῦ τε Θεοῖο
Καὶ σέθεν Υἱὸν,
Ἄμμ' ἐλεῆσαι! —

Χαῖρε, Μαρία,
Παρθένε, χαῖρε,
Χαῖρε, τεκῦσα
Τὸν Θεόπαιδα·
Ἄφθορε, χαῖρε,
Χαῖρε, ἄμωμε
Καὶ πανάχραντε·
Χαῖρε, ἄνασσα
Γῆς τε πόλυ τε·
Δεσπότι, χαῖρε,
Χαῖρε, μεσῖτι,
Χαῖρ', ἱλαρῦσα
Ἡμέας ἐλπίς!
Ἐν σφαλερῷ πλῷ
Καὶ μάλ' ἀδήλῳ
Τῦδε βίοιο
Σωστικὸς ἀστὴρ
Ἧμιν ἀρήγειν
Μή ποτ' ἀπείπῃς.
Ἡνίκα δ' ἡμᾶς
Πότμος ἱκάνῃ,
Τηνίκα, πότνα,
Ἄμμι μάλιστα
Ἐλθὲ βοηθὸς
Καὶ ἐπίκυρος! —

Χαῖρε, Μαρία,
Παρθένος ἦσα
Μητρόθεός τε,
Χαῖρε, βοήθει! —

Ὕμνος ἑωθινός.

Ὁ τὸ πᾶν ἐοργώς, ὦ Θεός!
Ὁ σὺν αὐτὸ κῖφι τηρέων,
Κυβερνάων τε πανσόφως
Καλῶς τε πάγχυ κἀγαθῶς·
Ὁ νέας προβάλλων ἡμέρας,
Ὁ τιθεὶς βροτοῖς σωτηρίȣς
Καιρȣ̀ς, ὁ πάντων ἡμέων
Προμηθίην ποιȣ́μενος·
Τεὸν κικλήσκω ȣ̓̈νομα
Ταύτης ἅμ᾽ ἀρχῇ ἡμέρης,
Σȣ ἐξαναστὰς ῥυσίην
Εὔνοιαν αἰτȣ̃μαι, Πάτερ!
Σὲ δ᾽ αἰνέω καὶ ὑμνέω,
Σοὶ εὐχαριστέω μέγα,
Ὀθȣ́νεκ᾽ αὖθίς με γλυκεῖ
Ἀνέπαυσας ὕπνῳ νύκτιον,
Ἀφ᾽ ἁμαρτιῶν τε καὶ μόρȣ
Ἀπροσδοκήτȣ καὶ κακȣ̃,
Ἄλλων τε δεινῶν συμφορῶν
Καὶ νῦν φυλάξας ἱλέως. —
Σοὶ ȣ̃ν τὰ πρῶτα προσφέρω,
Τὰ πρῶτα τῶν νοημάτων
Καὶ φθεγμάτων καὶ πραγμάτων·
Τὰ πάντα Σοίγ᾽ ὀφείλομεν,

Τὰ πρῶτα μέν, τὰ μέσσα δέ,
Τὰ ὕστατ' αὖ, τὰ πάντα Σοί.
Σὺ πρωΐ ἦμιν ὀψέ τε
Ὑμνήσιος, Σὺ ἡμέων
Τῆς εὐχαρίστυ μνήστιος
Ὠιδῆς τε ἀξιόχρεως
Παρ' ἡμέραν τε νύκτα τε·
Ὅλως δὲ καιρὸς ὐδαμὸς,
Ἐν ᾧ ἀμνηστέειν θέμις
Σέθεν, πανέξοχ' ὦ Θεός!
Σὺ εἰνὶ νῷ πανημαδόν,
Σὺ εἰνὶ κῆρί μοι πέλοις! —
Ὄλωλεν αἰσχρῶς καὶ κακῶς,
Ὄλωλεν, οἴμοι, εἰς ἀεὶ
Ἕκαστον ἦμαρ, Σῦ ὅτε
Ἠμνημόνησα, Κύριε!
Μὴ δὴ διαυγάσειέ τις
Καὶ ὕστερόν μοι ἡμέρη,
Ἐν ᾗ κεν αὖ λυγρὴ πάλιν
Ἕλῃ με Σεῖο λησμονή!
Σῦ γάρ τίν' ἄν ποτ' ὐσίαν
Εὕροιμ' ἐν εὐρείᾳ χθονὶ,
Τῦ ἐννοεῖσθαι ἠδὲ τῦ
Φιλεῖσθαι ἀξιωτέραν;
Σὺ φῶς τὸ φέγγον ἡμέων
Νόῳ, ἀληθὲς ὦ Θεός!
Σὺ δ' ἡμέων θελήματι
Πρῶτον, μέσον καὶ ἔσχατον,
Πρέσβιστον ἠδ' ὑπέρτατον,
Βέλτιστον, αἱρετώτατον,
Μᾶλλον δὲ μῦνον εἶ τέλος·
Σὺ κάλλος αἰὲν ἄφθιτον·

'Αγαθὸν Σὺ τιμιώτατον,
Μέγιστον, οἷον, ἄπλετον,
Πανάρκετον κἀνεκλιπές! —
Ζητεῖ ὁ νȣ̃ς ἐτήτυμα,
Καὶ ἐσθλά μȣ τὸ κῆρ ποθεῖ·
Τί δὲ Σȣ̃ δύναιτ' ἂν ἔμμεναι
Ἔτυμόν τε μᾶλλον κἀγαθόν;
Τί κε μεῖζον ἠὲ λώϊον,
Τί ἐξοχώτερόν κε Σȣ̃
Ἔχοιμεν, ἢ τί κάλλιον
Θαυμαινέμεν τε κἀγαπᾶν; —
Τὸ λοιπὸν ȣ̃ν, με, μηδαμῶς
Γένοιτο, τȣ̃θ' ἁμαρτέειν,
Τὸ Σȣ̃ λαθέσθαι κȣφόνως,
'Αγνωμόνως, ἀναξίως!
Κἂν δ' ἀσθενεῖ συμβῇ πάλιν,
'Αγνωμονῆσαι εἰς Σέ τι —
Κώλυσον, ὦ Θεός! τόδε
Ὅπως ποιήσω μηκέτι, —
Σὺ ὅμως ἐμεῖο μήποτε
Λαθȣ̃, μέγ' ὄικτιρμον Πάτερ!
'Αλλ' ἵλεως μέμνησό μȣ,
Ἔλεόν τε Σὸν πρόφαινέ μοι,
'Αναξίῳ περ καὶ Σέο
Λελησμένῳ τοσαυτάκις! —
Φύλασσε δὴ καὶ σήμερον
Ψυχήν τ' ἐμὴν καὶ σῶμ' ἐμόν·
'Αμφοῖν τὰ ἄτης αἴτια,
Δύστην' ἀπ' ἀμφοῖν σφάλματα
Ἔρυκε, πραΰμητις ὤν.
Εὔθυνέ, μοι γεγονὼς καλὸς
Ποτὶ Σαυτὸν Αὐτὸς ἡγεμών,

Εὔθυνε ἐνθυμέμενον,
Λαλῦντα καὶ πράττοντά με·
Συλλαμβάνε ἐν πᾶσί μοι
Συνεργὸς, οἷς ἐργάσσομαι·
Σὺ πάντα μοι ἐπαρκέσαις·
Ἐπὶ πᾶσί Σοι ἄδοιμ' ἐγώ.
Ἄπαν ἀποσκεδάσας σκότος
Τῦ πνεύματός, με φώτισον
Τὸν νῦν, ὅπως τὰ ὀρθὰ γνῶ,
Τὰ δέοντα καὶ πρέποντά μοι,
Τὰ Σοί, Θεός! κεχαρισμένα.
Θὲς τῦ ἐμῦ βελήματος
Ἐῤῥωμένον τὸ ἀσθενές·
Ὀκνηρὸν ὄντ' ἐγειρέτω,
Κεντρῦσ' ἐπ' ἔργα καλά, με
Ἐρατύς τε Σεῖο καὶ χάρις.
Ἐκ Σῦ τὰ τρισσὰ ταῦτά μοι
Γένοιτο εὐχετωμένῳ,
Τὸ γνῶναι, ὅσσα Σοὶ φίλα,
Τὸ λῆν, τὸ ἰσχύειν ἅμα.
Δίκαιον, εἵνεκεν Σέο
Καὶ ἄμμε δρᾶν τι προσφιλές,
Τοσαῦτα Σῦ ἐοργότος
Τοιαῦτά θ' ἡμετέρην χάριν.
Ῥέοι ὁ λοιπὸς τῦ ἐμῦ
Βίοιο Σοί, ὦ Κύριε! —
Αἰὼν μὲν ὑπὶ γῆς βραχύς,
Ὀλίγος δ' ὁ ἐνθαδὶ χρόνος·
Ἀλλ' ὧν με, ἐνδέχεται, τυχεῖν
Ἐν τῷδε τῷ μικρῷ χρόνῳ,
Ὧν ἄξιον γενέσθαι ἐν
Τύτῳ βραχεῖ αἰῶνί με,

"Ενεστ', ἐκεῖνα πολλά τε
Καὶ μακρὰ καὶ μεγάλα σφοδρῶς,
Διηνεκῆ, ἀμετρέα,
'Ατάλαντά τ' αὐτῷ ὐρανῷ·
Σῦ γῦν γενέσθαι κτήτορι
Αὐτοῖο τῦ ἀπείρονος
'Αειδίυ τ' ἔξεστί μοι,
Τὸν παῦρον ἠδ' ἐφήμερον
Τῦτον βιόντι εὖ βίον,
'Αναστραφέντι τ' ἐμμενῶς
Νόμοισιν, οἷς Σύ μοι ἔθης. —
"Οσοςπερ ὖν Αὐτοῖο Σῦ
Τῖμος, τόσος τρόπον τινὰ
Καιροῖο ἠδ' ὥρης πέλει
Τῆς εἰς Σὲ ποιύσης ἔτι.
'Αφίξομαι μακάρτατός
Ποθ' ὡς Σὲ, κἀπολαύσομαι
Σῦ ἠδ' ὀνήσομαι ἀεί,
Τὸν βαιὸν ὧδ' ἐὰν καλῶς
Χρόνον διάξας εὐρεθῶ. —
Πᾶσαν μὲν ὖν μοι, Κύριε!
'Αρετὴν διώκειν κἀσκέειν,
Κακίην δὲ πᾶσαν ἔμπαλιν
'Εκκλινέμεν, τὰ νῦν μέλοι,
'Ως ἀξιωθῶ τῆς μετὰ
Σῦ εἰς ἀεὶ ξυνυσίης. —
Καιρῶν, προςώπων καὶ τόπων
Καὶ πραγμάτων τοιάςδε θὲς
Τὰς εἰς ἐμεὶ περιστάσεις
'Απάσας, ὥστ', ἐόντα πέρ
Με εἰνὶ κόσμῳ σαρκί τε,
Μὴ κοσμικαῖσιν ἡδοναῖς

Δυλευέμεν, μὴ σαρκικαῖς
Ἐπιθυμίαις ἀκολυθέειν,
Μηδ' ἐκτρέπεσθαι Σῶν τρίβων,
Ὑφ' ἁμαρτίης κρατύμενον·
Νικῷμι τὰς ἐκ δαίμονος
Πανυργίας πολυτρόπυ
Ἐπιβυλίας τε κἀπάτας·
Σέθεν δ' ἐχοίμην δεσπότυ
Μόνοιο, κἀπὸ Σῦ, Θεὸς
Παμμήχαν', ἰσχυρύμενος
Τελοῖμι τὰ προσδεκτά Σοι. —
Ἐν Σοὶ ὁ δῦλος ἔλπομαι,
Κἀχρεῖος ὢν, ὦ Δέσποτα!
Παρὰ Σῦ τὰ πάντα προσδοκῶ.
Σὺ δ' ἵλεως σύγγνωθί μοι,
Ὅσυς κενῶς κἀνωφελῶς
Παρῆκα καιρὺς, ἠδ' ὅσοις
Ἐκ Σῦ χαρίσμασιν κακῶς
Ἐχρησάμην, ὅσων τε πρὸς
Τὰ καλ' ὑπῆρξα νηλεγὴς
Πόρων τε καὶ ἀφορμέων.
Ἅ μοι ἄπρακτα γείνετο,
Μὴ ὡς ὀλωλότ' ἐῤῥέτω,
Ἄκος δὲ, ὧν ῥᾳθυμέων
Κατημέλησα, εὑρέ μοι·
Ἤσσας ἀνάῤῥυσαι ἐμάς·
Τὰ πρὶν καταργηθέντα μοι
Ἐς πρᾶξιν ἂψ ὀφέλλιμον
Φιλοφρόνως καὶ νῦν ἔτι
Τρέψον, Παναλθές! κἀνά μυ
Κάλεσαι τὰ ὑστερήματα,
Ἀχρηΐων ἐκ χρηστὰ δὺς·

Πρὸς Σϋ διόρθωμ', ὦ Θεός!
'Εμῶν πέλοι ἐλλειμμάτων.
Ἃ δ' εἰςάπαξ μοι σχετλίῳ
Ὤιχηται, ὧν τ' ὐκ ἔστ' ἔτι
Ἴασις εἰς τὸ πρὶν σόον,
'Επὶ τοῖς ταπεινῷ πνεύματι
Καὶ συντριβέντι, ἠδ' ἄχει
Τῷ ψυχικῶς κατανυκτικῷ
Σὲ ἱλασαίμην, ὦ Θεός!
Τάδ' ἐκτενῶς Σὲ λίσσομαι. —
Σὺ δὲ κλῦθι, παγκρατὲς Πάτερ!
Κλῦθ', Υἱὲ Πατρὶ σύνθρονε!
Σύ τε, Πνεῦμα ἁγνόν, κύριον!
Κλῦθ', ὦ Μονὰς Τριςυπόστατε!
Γένοιτό μυ τὰ εὔγματα
'Επὶ κλέει τῷ Σῷ, Θεός! —

Ἄλλος ὕμνος ἑωθινός.

Εὔφρων αἰσθάνομαι αὖθις ἐών, ἀνα-
ζήσας ἐκ θανάτυ αἰσθάνομ' ὑπνικῦ·
Χρῶμαι τῷ τε νόῳ τῷ τε θελήματι,
Τῇ ψυχῆς δυνάμει πάλιν!
Ἴσθ', ὦ Κοσμοπάτερ, μοι μέγ' ἐπαινετός,
Ἔστω Σοὶ μεγάλη ἐξ ἐμέθεν χάρις,
'Ανθ' ὧν ἐκ λεχέων αὖθις ἀνιστάμην
Καὶ σῶς κἀναπεπαυμένος!
Ὅσσοι γῦν ἔθανον τῇδ' ἐνὶ εὐφρόνῃ!
Ὅσσοι δ' εἰν ὀδύναις νυσομελεῖς ἔσαν!
Ὅσσυς δυςτυχέας εἶχε μέριμνα καὶ
Λύπη παννυχίυς κακή!

Εὔνυς καιρὸν ἐμοὶ μακρότερον πόρες
Τὸν ψυχωφελέα, ἧσσονα τὸν πόνον.
Ἄλλοις ἄλλα νέμεις, πᾶσι δ' εὖ φρονεῖς,
Ὦ μήστωρ σαοσίμβροτε!

Λαμπρὰν γιγνομένης νυκτὸς ἐς ἡμέραν,
Σοὶ ἐλθὼν ἱκέτης, Κτίστα! λιτάζομαι,
Τὴν διττὴν ἀσινῆ μυ φύσιν ἐκ φθορᾶς
Συμπάσης διατηρέειν.

Ἐκ Συ τῆςδε, Θεός! λαμβάνω ἡμέρης
Ἀρχὴν, καὶ ἐνὶ Σοί· ἔσσο μοι εὐμενὴς
Τῷ Σοι προςτροπίῳ, καὶ πρόες Ἄγγελον,
Ἔμπης εὐθυνέοντά με.

Θυμὸς μήτε νοοῖ μήτε θέλοι κακόν·
Μηδὲν γλῶσσα λαλοῖ τήμερα δυςπρεπές,
Μηδ' αἰσχρόν τι κλύοι ὖας, ἢ ὄμμ' ὁρῷ·
Μὴ ῥέζοι ἄνομόν τι χείρ!

Ἡ Σὴ εὐδοκίη δόξα τέ μοι μέλοι,
Καί μυ λῆμα πέλοι οἷα τὰ Σοὶ φίλα·
Σὺν Σοί γ' εὐτυχέως ἦμαρ ἐμοὶ τρέχοι
Τυτί, Σοὶ καταθυμίως!

Ἐκ ψυχῆς Σὲ φιλοῖμ', ἠδ' ἅμα τὺς πέλας·
Μίμνοι μυ καθαρὸν σῶμά τε πνεῦμά τε
Τῶν φαύλων διόλυ, ὄφρα Σοι εὔχαρι
Ἄισω ἑσπέριος μέλος.

Δώρησαι τάδε μοι, κοσμόκρατορ Πάτερ!
Καὶ Τύνη, ἀγαπηθ' Υἱὲ σύναρχέ τε!
Τύνη δ' αὖ, ἅγιον καὶ ὁμούσιον
Ἀμφοῖϊν, τάδε, Πνεῦμα, δός! —

Ὠιδάριον ἑωθινόν.

Ἔνειμε καιρὸν αὖθί μοι ὁ Παντάναξ,
Καὶ ὁ ὕπερθε Μέδων
Ἔτεινέ μȣ τὰ ἤματα!

Ἀπῆλθε ταῦτα μὲν τὰ πόλλ' ἀεργέα
Κἄφορα εἰς τὸ καλόν·
Ὀφλήματ', ȣ̓κ ὀφέλματα!

Ἐπεὶ τοσαῦτ' ἀσυμφόρως διεῤῥύη,
Σημερινόν γε φάος
Τέκοι τι κέρδος εἰς ἐμέ.

Πέλοιτ' ὄνειαρ ὀψὲ γȣ̃ν βίȣ χρόνος,
Καὶ ἅμ' ἴαμα, ὅσων
Βὰν ἐς κενόν μοι ἡμερῶν.

Μάτην τόσοι ἐμὶν ἀνέσχον ἥλιοι!
Τοσσάκις εἰς πραπίδας
Μάτην ἔλαμψε Θεῦς ἐμάς!

Ἄνεισιν ἄψ τὸ πολλάκις φανὲν σέλας·
Μή μοι ἄκαρπον ἔτι
Δύοιτο καὶ τὸ σήμερον!

Πανημερόν μοι ἵλεως ὁ Δεσπότης
Τἀμὰ νόον καθ' Ἑὸν
Ἔοι πρόπαντα εὐοδῶν!

Ἐς Ἣν γένοιτο δόξαν ὠφέλημά μοι
Φῶς τε καὶ ἄλκαρ ὁ Ὤν,
Πατὴρ Λόγος τε Πνεῦμα τε! —

Ὠιδὴ ὀρθρία πρὸς Μαρίαν τὴν Θεομήτορα.

Ἔστι τὰ πρωτεῖα μόνῳ
Κυρίῳ, τῷ εἰνὶ πᾶσιν
Ὄντι πρώτῳ ἔξοχον.
Σοί, Μαρία, τῇ μετ᾽ Αὐτὸν
Ἐκπρεπεῖ, τὰ δευτερεῖα
Πᾶς ὁ κόσμος προσνέμει.
Τοῦ Θεοῖο χωρὶς, οὐδὲν
Σεῖο μεῖζον οὔτε γαῖα
Οὔτ᾽ ἐθαύμασ᾽ οὐρανός.
Τρισμέγιστον Θεὺς καθ᾽ Αὐτόν·
Τῶν δ᾽ ἀπ᾽ Αὐτοῦ σὺ κράτιστον,
Οὐδὲ ἡμῖν σύγκριτον.
Οὔ τι ἐν κτιστοῖσιν ἶσον
Σοὶ ἅπασιν, οὐδ᾽ ὅμοιον·
Κτισμάτων σὺ λαμπρότης.
Κτιστύος σὺ κόσμος ἐσσί·
Ἐκ τεοῖο κἄμμι τιμὴ
Τοῖς ἀτίμοις ἔπλετο. —
Χαῖρε, τόσση καὶ τοιαύτη
Οὖσα, χαῖρέ μοι, Μαρία!
Χαῖρε, Μῆτερ! Παρθένε!
Ἐμφρονῶν ἐγρηγορῶν τε,
Εἴ τινος, καὶ σοῦ δικαίως,
Θευπρεπές! μιμνήσκομαι.
Εἰ δὲ σεῖο ἐκλαθοίμην,
Ἶσ᾽ ἂν εἴην τῆς ἐμαυτοῦ
Νηλεγὴς σωτηρίας.
Τοῦ γεραῖραι κἀσπάσασθαι
Πᾶσι χρειώ, ἀλλ᾽ ἔμοι γε
Καὶ ἀνάγκη, πότνα! σέ.

Ναὶ, ἀναγκαῖον, περισπεῖν
Κηπιβώσασθαί σε, ὄφρα
Μοι γένῃ παραστάτις.

Ἀλλὰ μᾶλλον, ὦ φερίστη!
Σεπτέον σε ἔνθεν, ὅττι
Εἰ σεβασμȣ̃ ἀξίη.

Ἀξίη σὺ ἐσσι τιμῆς
Κἀγάπης· ἀνάξιος δὲ
Λάτρις εἰμί σοι ἐγώ.

Ἐλλιπὴς μάλ' ȣ̔μὸς εἰς σὲ
Αἶνος· αὐτὰρ καὶ τοιȣ̃τον
Ὄντα, πρόφρων εἰςδέχȣ.

Πτωχὸς ὢν γυμνός τ' ἐάων,
Σοὶ τί δώσω, τῇ τοσȣ̃τον
Ἐκπρεπȣ́σῃ, ἄξιον;

Τῶν δ' ἐμῶν σύγ' ȣ̓ χατίζεις,
Οὐδ' ἐμαυτȣ̃· ἀλλὰ σεῖο
Πολλὸν ἐνδεὴς ἐγώ!

Σȣ̃ βοηδρόμοιο χρῄζω,
Εἴ γε μέλλω σωστὸς εἶναι
Ἐνθαδί τε καὶ ἐκεῖ. —

Τὸν μὲν Υἷα τοῖς βροτοῖσι
Ῥύσεως ἔπεμψ' ὁ Φύσας
Πᾶσι κοινὸν εὑρέτην.

Ἀλλὰ καὶ σέ, Μῆτερ! ἡμῶν
Τῷ γένει ὑψικρατῶν Θεῦς
Δῶκεν εἶναι ῥυσίην.

Ῥυσίην σε, καὶ βρότεια
Ὠφελȣ̃σαν φῦλα, πᾶσα
Οἶδεν ἡ οἰκȣμένη.

Ναὶ, σὺ εἶ σώτειρα θνητοῖς·
Σωστικῦ καὶ σοὶ ξὺν Υἱῷ
Νῦ μέτεστι καὶ κράτυς.

Παιδὶ σῷ ὑπηρετῦσα
Καὶ σὺ ῥύῃ, ξύν τε πράττεις,
Ὅ,ττι χραίσμῃ δυςμόροις.

Πῶς δ' ἂν ὐ καὐτὴ σὺ σώζοις,
Ἡ Σαωτῆρός γε μήτηρ
Ἔμμεν ἠξιωμένη;

Ῥῦσις ἄμμι σὸν Λόχευμα·
Καὶ σὺ δ' εὔφρων ἄμμι μήδῃ
Ταὐτὰ σῷ Γεννήματι.

Σῷ δ' ἅμ' Υἷι καὶ σὺ ἔτλης
Πλεῖστα θυμῷ, τῶν τε ἄλλων
Πλεῦνα καλῶς εἴργασαι.

Σαὶ παθήσεις, σαί τε πράξεις
Σωστικῶς ἐνεργέυσιν,
Ἧμιν ἐλλογύμεναι.

Συ τὰ ἐξόχως περιττὰ
Ἠδ' ὑπερπλήθοντα κέρδος
Τοῖσιν ἐνδεεστέροις.

Σοὶ ξυνείλεκται βάθιστος,
Μῆτερ! ὄλβος, κἀπόκειται
Ἐς πενιχρὺς ἡμέας. —

Εὔνοοῖς ὖν μοι, ἄνασσα!
Ἡ μεθ' Υἱὸν ἐλπὶς οἵη
Τὸν Θεῦ τε καὶ τεῦς.

Εὔνοοῖς μοι, ἡ δότειρα
Πᾶσι δωτύων ἀρίστων,
Θηΐων χαρισμάτων.

Εὔνοοῖς μοι, ἡ περίφρων,
Πλεῖστον ἰσχύουσα, πιστὴ
Εὐχέταισι παρθένος.

Εὔνοοῖς μοι, ἡ μάλιστα
Ἠπίη, πρᾳεῖα, χρηστή,
Ἡ γλυκεῖ' ἐξαιρέτως.

Εὔνοοῖς, ἡ χριστιανῶν
Ὠφέλεια, ἡ ἄμυνα
Ἄμμι τῶν ἐναντίων.

Εὔνοοῖς, ἡ τοῖς ὑπ' ἄχθει
Οὖσι καὶ λυπουμένοισιν
Ἔξοχον παρήγορος.

Εὔνοοῖς, οἴκτοιο μῆτερ
Θηΐου, συναιτίη τε
Ἡμέων σωτηρίας!

Εὔνοοῖς, ἣ πλεῖστ' ὄνησας
Γένναν ἀνθρώπων ἅπασαν,
Φερτάτη εὐεργέτις.

Εὔνοοῖς, ἡγήτρι' ἡμῶν
Οὐρανόνδε, καὶ ὁδιτῶν
Ἐν κόποις παραψυχή!

Εὐμενὴς σὺ κἀγαθόφρων
Καὶ ἀλιτροῖς, ἀσθενέσσι
Ποικίλως ἀκεστορίς.

Σώματος ψυχῆς τε ἐχθροὺς
Δός με χειρώσασθαι, ἐσθλά
Μοι δὸς εὔφρων νίκεα.

Τῇ ἀεννάως μακαρτῇ
Σὺ ζόῃ με προσπέλαζε
Δακρύων ἐκ χωρίου.

Ἡ πόλυ πύλη κλύουσα,
Κἠμὶν εἴης ἐς τὸ Υἱοῦ
Δῶμ' ἀγωγὸς καὶ θύρη.

Ἐξόριστος ἠδὲ πλαγκτὸς
Τὴν ἄνω εὔροιμι πάτρην
Σῇ μεσιτείᾳ πάλιν. —

Ταῦτα, σεῖο λιπαρούσης,
Ὦ δυνάστι! ἐκ τεοῖο
Υἱέος γένοιτό μοι!

Εὐλογητὸς Οὗτος ἔστω,
Καὶ ἁμαρτωλοῖς ἀρωγὸν
Θείς σε ἠδὲ μητέρα!

Ἀλλὰ ὕμνοις ἀντ' ἐμεῖο
Κύριον σύ, ὦ πάναγνε
Μῆτερ, ὦ πανέξοχε!

Σεῖο βλέψας ἐκπρέπειαν,
Ὑμνεούσης σοῦ πρὸ δούλου,
Κἠμὶν ἔσται ἵλεως.

Σοῦ ἕκητι πραΰμητις
Δμωῒ, καὶ κακῷ περ, ἔσται,
Οὐδενός τε ἀξίῳ!

Σαῖς λιταῖσιν εὑρεθείην
Ἐὶν ἐκείνοις, τοῖς ἐς αἰεὶ
Δοξάσουσι Κύριον! —

Ἀισμάτιον ὄρθριον πρὸς Μαρίαν τὴν Μητρόθεον.

Νυκτὶ αὖ σκοτεινῇ
Ἔρχεται ἐπ' ἠώς.
Τῆς ἕω σὺ κρείττων,
Χαῖρε, ὦ Μαρία!

Ἐκ σέθεν γὰρ ἡμῖν
Ἀντολὴ ἀφ' ὕψους
Ἥλιός τε καλός,
Χριστὸς, ὦρτ', Ἰησοῦς.

Ῥύσιον σὺ ἦμαρ,
Ἦμαρ ἀσμενιστὸν
Πάμμακάρ τε δῶκας,
Θευτόκος γεγῶσα.

Θαῦμα καὶ σέβασμα
Γηγενέσσιν ἔπλευ,
Ἡ τεκοῦσα τόν σε,
Παρθένος, κτίσαντα!

Χαῖρε, ἡ ἄνασσα
Ἀγγέλων καὶ αὐτῶν,
Ἐκπρέπουσα πάντων,
Πᾶσι δ' εὖ φρονοῦσα.

Σὺ ζόη, γλυκεῖα!
Ἧμιν εἶ, σὺ θάρσος,
Καὶ βοῶσι πρὸς σὲ
Ῥῦμα παισὶν Εὔας.

Πρὸς σὲ ὁ στεναγμὸς
Καὶ ὁ κλαυθμὸς ἡμῶν·
Πρὸς σὲ ἐκ βαθείης
Γῆς τὸ ἁμὸν ὄμμα.

Σὺ προηγόρησον
Ἡμέων παρ' Υἱῷ,
Μηδ' ἐάσῃς ἐχθρῶν
Ἥττονας γενέσθαι.
Ἀθλίȣς ἐς ἡμᾶς
Τῷ τεῷ ἐκείνῳ
Τῷ προσηνέ' ὄσσε
Τρέψον οἰκτίσασα.
Φῶς βροτοῖς φάνηθι,
Λῦσον ἄμμι δεσμά·
Κάκ' ἀπείρξον ἡμῶν,
Προξένησον ἐσθλά.
Δεῖξαι ὖσα μήτηρ·
Διὰ σȣ̃ δεχέσθω
Γηγενῶν λιτασμὸν
Ἵλεως ὁ Υἱός. —
Παρθένων ἀρίστη!
Πρᾳΰτητι λαμπρή!
Κἄμμε πρᾳϋθύμȣς
Ἔργασαι καὶ ἁγνȣ́ς.
Σωσίκοσμε κȣ́ρη!
Τȣ̀ς τεȣ̀ς πελάστας
Ἠδὲ προστροπαίȣς
Σῶσον ἐκ πονηρȣ̃.
Δὸς, καλῶς βιῶναι,
Εὖ θανεῖν, δὸς, ἡμᾶς·
Δὸς βέβαιον οἶμον
Εὐτυχῆ τ' ἐς Υἱόν.
Κοιλίας τε σεῖο
Αἰὲν εὐλογητὸν
Δεῖξον ἄμμι καρπὸν
Ἐν πάτρῃ, Ἰησȣ̃ν.

Κλῦθι σῶν πελαστῶν,
Μηδὲ πρὸς σὲ εὐχὴ
'Ελθέτω ἄπρακτος,
Προστατῦσα μῆτερ!
Μὴ καταφρονήσῃς
Εἰς σὲ ἀμβλεπόντων
Προςτρόπων, φίλοικτε!
Λατρέων ταπεινῶν.
Μηδὲ μέμψῃ ἡμῖν,
Εἰ, ὑπαίτιοι σῷ
Παιδὶ, θαῤῥέοντες
Σοὶ προςερχόμεσθα.
Τόλμα, Υἱί γ' αὐτῷ
'Εντυχεῖν ἀνάγνυς,
Καὶ θράσος γ', ἀλιτρὺς
'Εκδίκῳ προςελθεῖν.
Φείσεται δὲ κείνων,
Τῶν σὲ ἀμφεπόντων,
Οὐδ' ἀπώσεθ', ὕς κεν
Ἵκτορας σὺ δέξῃ.
Καὶ ἀναξίυς περ
Ἄμμε πάντας εὑρών,
Εἱνὶ σοί γε, τῇ Ἡι
Μητρὶ, εὐδοκήσει.
Ἁνδάνεις σύ γ' Υἱῷ·
Τῷγε δ' εὐάρεστοι
Κἄμμες ἄν, λατρευτάς
Συ ἰδόντι ὄντας.
Εἱνὶ σοὶ τὸν Υἱὸν,
Καὶ σὲ αὖτ' ἐν Υἱῷ
Τίομεν, σέβοντες
Ἢ σὲ, ἠὲ Κεῖνον.

Ἥδεται ὁ Υἱὸς
Μητρὸς ἀμφὶ τιμῇ·
Ἥδεαι σὺ μήτηρ
Υἷος εἰνὶ δόξῃ.
Πᾶς ὁ μὴ σὲ τιμῶν,
Οὐδὲ χ' Υἷα τιμᾷ·
Πᾶς δ' ὁ σῦ φιλήτωρ,
Υἱέως ὁμοίως.
Σοὶ μέλει τὸ Παιδός,
Σὸν κλέος δὲ Τύτῳ,
Ἀφθόνως τε κοινὴ
Σφῷν ἅπασα τιμή.
Ἀλλά, μῆτερ! ἔρδε
Πάντας ἄμμ' ἀρεστὺς,
Ἐκ σέθεν μὲν Υἱῷ,
Ἐκ δὲ Υἱέως σοί.
Τῷ πιθέσθαι ἡμᾶς,
Τῷ διακονῆσαι
Καὶ λατρεῦσαι Αὐτῷ,
Πότνα! σοὶ ἄδοιμεν.
Προςφιλεῖς δὲ εἶμεν
Αὖτε καὶ Ἐκείνῳ,
Τῷ σέ, δῖα μῆτερ!
Εὐσεβῶς γεραῖραι.
Ὡς καὶ Υἱὸς ἐν σοὶ,
Ὧδε καὶ ἐν Υἱῷ
Ἡμέας φίλει σύ,
Καὶ φίλυς θὲς Αὐτῷ.
Ἠγάπησεν ἡμᾶς,
Κἀδίκυς περ, Υἱός·
Ἠγάπησε, δὺς σε
Μητέρ' ἄμμι κεδνήν. —

Παῖδά σϐ ἐπαίνει
Ἀδρανῶν πρὸ ἡμῶν,
Χ' ἡμέας μετ' Αὐτϐ͂
Στέργε ὠφελϐ͂σα.
Πατρὶ πᾶς ὁ αἶνος,
Ἶσος αἶνος Υἱῷ
Πνεύματί τε ἁγνῷ·
Τοῖς Τρίσ' ἓν τὸ κῦδος! —

Ὕμνος πρὸς τὸν ὅσιον Ἄγγελον τὸν φυλάκτην.

Μέγ', ἐμοὶ φίλον Θεῷ τε,
Μέγα χαῖρε, ὦ σεβαστὸν,
Καθαρὸν μάκαρ τε πνεῦμα,
Δύναμίν τε κεὐμένειαν
Ἐπιειμένον μεγίστην!
Σὺ ὁδηγός, Ἄγγελ' ἐσθλέ,
Σὺ φύλαξ κατεστάθης μοι
Ἀγαθωσύνῃ Θεοῖο.
Ἀπ' ἐμϐ͂ σὺ κακὰ πολλὰ
Προνοῶν ἔρυξας ἤδη·
Ἀγαθ' αὖτέ μοι σὺ πλεῖστα,
Μάλ' ἐϋφρονῶν, παρέσχες. —
Χάριτας μὲν ϐ͂ν ὀφείλω
Διὰ ταῦτα σοὶ μεγίστας,
Ὑποθῆμον, ὧν προςήκει,
Ἀποτρεπτικ' Ἄγγελ', ὧν μὴ
Θέμις, ἠδέ με σκεπάζων,
Ἀφ' ὅσων πέφυκε βλάψαι
Χρόα, ἢ τὸ εὖ συνειδός.

Χάριν οἶδα σοὶ ὀφείλων,
Χάριν οἶδά σοι λέγω τε·
᾿Ατὰρ, ἣν φέρειν ὀφείλω
Μέγ' ὑπόχρεως χάριν σοι
Σύ τε ἄξιος λαβεῖν εἶς,
᾿Αποδῦναι ὐκ ἔχω πως.
᾿Απονειμάτω Θεός σοι
Χάριν, ὧνπερ εὖ μ' ἔρεξας! —

Σὺ δὲ καὶ ἐν ὑστέροισί
Με χρόνοισιν ὠφέλησον,
Κρατερός τέ μοι βίοιο
Δι' ἅπαντος ἴσθ' ἀρωγός.
᾿Αβέβαιος οἶμος ἡμῖν
Σφαλερός τε ὑπὶ γαίης·
Πολὺς ὧδε τοῖς ἰῦσιν
᾿Ενέδραν ποιεῖται ἐχθρός.
Κακὸς ἔνθα δυςμενής τε
Τὸν ὁδοιπορῦντα δαίμων
᾿Απατᾶν τρόποισι πολλοῖς
᾿Αδικεῖν τ' ἀεὶ μενοινᾷ,
Τρίβον ἣν τάμῃ τις ὀρθήν.
Δολερὸς δὲ ἔνθα κόσμος,
Γλυκύπικρος, ἀλλ' ἄρεσκος,
Προκαλεῖται ἐς τὰ αὐτῦ,
᾿Αγαθοῖς φέναξ ματαίοις.
Καὶ ἐγὼ δὲ πρὸς τὰ φαῦλα
Κατὰ σάρκ' ἔφυν πρόθυμος,
᾿Ιδὲ λανθάνω καὶ αὐτὸς
Πολεμῶν μάλιστ' ἐμαυτῷ! —

Σύ νυν ἔνθα μοι καθηγῦ,
Σὺ φύλαττε, σὺ κράτει με.

'Αγάπα με, μηδὲ παύσῃ
Με παραινέων σκεπῶν τε.
Μένος εἰς ἔμ' ἴσχε πρᾳῢ,
'Αχαριστίαν τε συγγνὺς
Καὶ ἀπειθίαν ἅμ' ἀμήν. —
'Επάνω με κυμάτων θεὶς
Διάσωσον ἐκ θαλάττης
'Ιδὲ τῶν βίυ θυελλῶν
Λιμέν' ἐς ζόης μενὺσης,
'Επὶ τὴν ἐκεῖθι ἀκτήν. —
Μάχιμόν μ' ἀνεκτικόν τε
Καὶ ἀρείω δηΐων θές·
Τὸ καλόν με κἀμάραντον
Παρὰ Δεσπότυ ἄεθλον
'Επέκεινα, πρᾶττ', ἄρασθαι. —
Σὲ δ' ὁρῷμι ὡς ἐναργῆ
Φρεσὶν εἰν ἐμαῖς, καὶ ὄντα
'Αόρατον, ἠδὲ τοῖον
Παρέχοιμ' ἐμαυτὸν εἰς σέ,
"Ανα! οἷος ἂν γενοίμην,
Καὶ ὁρατὸς εἰ παρείης. —
Τὸν ἰσάγγελον, καθόσσον
Χθόνιον βροτόν τ' ἔνεστι,
Βίοτον δίδασκέ μ' ἔνθα
'Ιδὲ προτρέπυ διώκειν,
"Ιν' ἰσαγγέλως καὶ ἤσθῶ
Ποτὲ σοὶ ξυνυσιαστής. —
Φυγέειν με, δὸς, μάλιστα
'Υπερηφανὺντα τῦφον,
"Αμα καὶ φθόνον κάκιστον,
Διὰ τὼ καὶ "Αγγελοί περ
Κακοδαίμονες γένοντο. —

Φρονέειν δίδαξον ὀρθά,
Ἐθέλειν μ' ἔπειξον ἐσθλά·
Ὑπόθυ λέγειν ποιεῖν τε
Τὰ δέοντα κεὐάρεστα
Κατενώπιον Θεοῖο. —

Σὺ τὸ τȣ̃ ἐν ȣ̓ρανοῖσι
Πατέρος Θεȣ̃ μακαρτὸς
Ἐρατὸν βλέπεις πρόσωπον
Συνεχῶς χαρῇ τ' ἀπλήστῳ·
Διάγειν, ποίησον, ȣ̔́τω
Σύ με τὸν βίον τὸν ἔνθα,
Ποτ' ἐς ὄψιν ὥς με ἥκειν
Μεγάλȣ Θεȣ̃ ποθεινήν,
Διαπαντὸς ἀθρέοντα
Θεόν, ȣ̃ σὺ εἶ θεατὴς
Νοερȣ̃ καὶ ἀμβρότοιο
Ἀπερεισίȣ τε κάλλȣς. —

Τάδε μοι γένοιτο ἔργῳ
Διὰ σεῖο, Ἄγγελ' ἐσθλέ,
Ὃς ἀπὸ χθονὸς πόλονδε
Φίλος ἡγεμὼν ὑπάρχεις. —

Τὸ μεταξὺ δ' αἰνέοις σὺ
Πατέρ' ἀντ' ἐμεῖο κοινόν,
Πατέρι τε Υἱὸν ἶσον,
Ἅγιόν τε Πνεῦμ' ὁμοίως,
Θεὸν ἐν Τρισίν περ ἁπλȣ̃ν·
Τριδύμῳ σέβοις Ἓν ὄντα,
Ἑνὶ Τρεῖς ἐόντ' ἐπαίνῳ! —

"Αλλος ὕμνος πρὸς τὸν ὅσιον "Αγγελον τὸν φυλάκτην.

Χαῖρε, φυλάκτορ
"Αλκιμ' ἐμεῖο,
"Αγγελε σεμνέ!
Θεύδοτε, χαῖρε,
Χρηστέ θ' ὁδηγέ
Μοι ἀπὸ γαίης
Οὐρανὸν εἴσω!
Μοι παρεὼν σύ,
"Οπποθί κ' ὦ, καὶ
"Ο,ττι κεν ἔρδω,
'Εν πραπίδεσσιν
'Ηδ' ἐνὶ ὄσσοις
"Εμπα πέλοιο·
Καὶ σέθεν αἰδὼς
'Ηδὲ σέβας με
Νωλεμὲς ἴσχοι·
Καὶ σέγ', ὃς ἀλκτὴρ
"Εμπεδος εἶ μοι
'Ηδὲ ἀμυντήρ,
"Ος φιλέεις με
Εὔφρονι θυμῷ,
'Αντιφιλοῖμι
Εὐχαρίτῳ νῷ. —
Σῇ δὲ φυλάξει,
Πιστὲ ὀπαδέ!
Καὶ δυνάμει σῇ
Σῇ τε φρονήσει
Εὐνοέοντος

Θάρσυνον αἰὲς
Μϐ μένος ἔστω.
Ξυμμαχέοντός
Μοι σέο, νικᾷν
Πᾶν κακότεχνον
Τοῖο πονηρϐ̃,
Πᾶν ἐπίβϐλον
Ἠδὲ πανϐ̃ργον
Τοῖο παλαιϐ̃,
Ἔλπομαι, ἐχθρϐ̃. —

Ἀλλὰ καὶ αὐτὸς
Μήτι λιποίμην
Τῶν γε δεόντων,
Καὶ ἐθελοντὴς
Σαῖς ὑποθήκαις
Σῇ τ' ἀναγωγῇ
Αἰὲν ἑποίμην·
Βϐλομένοις γὰρ
Ἔστιν ὁ σώζων. —

Πάντα δὲ τἀμὰ
Οὐδὲν ἄτερ σϐ̃.
Ἀλλ' ἄγε, κεδνὲ
Ἀμφ' ἔμ' ἑταῖρε!
Τὴν κατ' ἐμαυτὸν
Πρόφρονι βϐλῇ
Φροντίδα ποιϐ̃.
Τὰ βλαβερ' ὄντα
Πνεύματι ἠδὲ
Σώματι, πάντα
Τῆλε μακρύνας,
Εἶρξον ἐμεῖο,

Φρυρὲ θέειε,
Προστάτα, ῥῦστα! —
Μοι ἐπιγείῳ
Οὐράνιόν σε,
Σωματικῷ μοι
Δῶκεν ἄνυλον,
Ὄντι χέρηϊ
Πολλὸν ἀμείνω,
Ἀσθενέϊ τε
Εὐσθενέοντα,
Ἀθάνατον δ᾽ αὖ
Μοι πόρε μορτῷ
Θεῦς σε φυλάκτην·
Τόσσον ἀτίμυ
Μυ ἐκεκήδει. —
Τῇ Τριάδι μὲν
Δόξα, πορύσῃ
Μοί σε, χάρις δέ,
Ὦ φίλε, σοὶ, ὅς
Ἀμφιβατεῖς με
Τοῖος ἀλαλκτήρ! —
Προςτρέπομαί σε,
Αἰθέρος ἁγνὸν
Τέκνον, ἄσωμον,
Ἔξοχον ἡμῶν,
Εὐγενὲς εἰνὶ
Τοῖσι μάλιστα
Κἀξιότιμον
Κτίσμα Θεοῖο,
Οὐρανίοιο
Ἱρὲ πολῖτα,
Ὄλβιε, χώρυ!

Κλῦθι προθύμως
Σῦ ἱκέταο
Προςτροπίυ τε
Καὶ τροφίμοιο,
Ἄγγελε, παιδός!
Διαμένοις μυ
Μηδόμενος, καί
Μοι ἐπαλέξων,
Γρηγορέων τε
Τὐμὸν ἐς ἐσθλόν.
Συχνὰ πλανῶμαι·
Σὺ πάλιν ὀρθὴν
Εἰς ὁδὸν ἡγῦ.
Πολλάκι πίπτω·
Σύ μ' ἀνέγειρε. —
Εὐχομένῳ μοι
Δῶστε, συνεύχυ,
Τῇ τ' ὀλιγήρει
Καὶ μάλα φαύλῃ
Μυ λιτανείᾳ
Τὴν πολύτιμον
Σεῖο προςευχήν,
Ἄγγελε, μίξας
Πρόςφερε νῶϊν
Κτίστορι κοινῷ,
Κἀνάφερ' ἔνθεν
Χρηστὰ πένητι
Δῶρα, τεάων
Ἆθλα λιτάων,
Κηδεμονεῦ μυ! —
Ἐς τὰ πέραν με
Σῶσον ἄσυλα,

Ἐς τὰ ἐκεῖθι
Οἰκί' ἄνελξον·
Μηδ' ἀκάθαρτον,
Ὧν ἀλίτησα,
Τȣ̃ κτίτορός μȣ
Ἠδὲ κριτάο
Στῆσον ἐν ὄψει·
Ἀλλ' ἐφ' ἁγνισμῷ
Τῷ προκελεύθῳ
Στῆσον ἀθαμβῆ
Γηθόσυνόν τε
Ἐλπίδι καλῇ,
Ἡνίκα μ' ἄξεις
Πρὸς τὸν ἀνάρχως
Ὄντα Γονῆα,
Πρός τε τὸν ἶσον
Υἱὸν Ἐκείνῳ,
Πρός τε τὸ ἁγνὸν
Πνεῦμ', ὁμότιμον
Ἀμφοτέροισιν.
Τȣ̃το γένοιτο! —

Ὕμνος πρὸς τὸν Ἅγιον τὸν ὁμώνυμον καὶ πάτρωνα.

Χαῖρε, μάκαρ, τὸν ἑὸν τελέσας δρόμον, ἠδὲ βράβευμα
Τȣ̃σθλὸν καὶ κόσμȣ λῷον ἐνεγκάμενος!
Χαῖρε, ὃς εὐτυχέως τὸν ἀγῶν' ἠγώνισαι ἤδη
Τὸν καλόν, ἠδ' ἄθλȣ ἠντίακας μεγάλȣ!
Χαῖρε ὁ τοῖς μακάρεσσιν ὁμιλῶν τοῖς ἐνὶ ὕψει,
Χαῖρε μάλ', ἠδὲ πρόφρων κλῦθί μȣ εὐχομένȣ! —

Ἡγεμόνευε δέ μοι, ἀδαήμονι ὄντι ὁδίτῃ,
Εὑρεῖν ἐλδομένῳ, ἧς μετέχεις σὺ, πόλιν.
Ὀρθὰ καὶ ἀσφαλέα με ἀγινεῖν σπεῦδε κέλευθα·
Πρὸς σέ μ' ἔπειγε τρέχειν, μηδὲ πλανᾶσθαι ἔα.
Ποίησόν με βιῦν ὕτως, ὡς κἀμὲ γενέσθαι
Ἄξιον ὐρανίης ἀμβροσίης τε χαρῆς.
Πρὸς δὲ Θεοῖο πέλοιτο, τεαῖς πεισθέντος ἐπευχαῖς
Ταῖς περὶ σῦ πελάτυ, εἰς τὸ καλὸν προκοπή,
Καὶ ὥς μοι ἐτέθη τὸ τεὸν κλυτὸν ὔνομ', ὁμοίως
Καὶ τῶν σῶν με λαχεῖν ἐν βιότητι τρόπων. —
Πολλὰ πέποιθα τεαῖς ἐντεύξεσιν ἠδ' ἐπαρωγαῖς·
Τῦ σωθῆναι ἐμοὶ ἐν τεῒν ἐλπὶς ἔφυ.
Μοί σε βοηδρόμιον ἡ τῦ Ὑπάτοιο πρόνοια,
Ὧι τὰ πρόπαντα μέλει, δῶκε κατενδεέϊ.
Ἀλκτήρ μοι σὺ δοθεὶς ἐπικύρει· ἀνάλκιδι ἔσσο
Ξύμμαχος ἐν πάσῃ πιστὸς ἀμηχανίῃ.
Ἰσχυροὶ κατ' ἐμῦ πολεμῦσιν ἐλάττονος ἐχθροί!
Ἀλλὰ σύγ' οἶσθα θέμεν κρείττονά μ' ἀντιμάχων.
Μὴ δῷς μ' ἢ κόσμυ ἢ δαίμονος ἡττηθῆναι
Τῦ ἀπατήνορος, ἢ σαρκὶ δαμέντα πεσεῖν. —
Οἰκεῖος σὺ Θεῷ, μέγα δεινὸς ἀρηγέμεν ἐσσί·
Σῇ γ' ὑπερεντεύξει ῥᾴδια πάντ' ἀνύσαι·
Οὐδέ σε ἄπρακτόν γ' ἀποπέμψεθ' ὁ Κύριος· ὐ γὰρ
Πώποτε τοῖς Αὐτῦ ἄτροπος ἔσκε φίλοις.
Σῦ τὰ κάλ' ἔργα βλέπων, τὰ σὰ ἀνδραγαθήματα πολλά,
Οὐκ ἀέκων πορίσει, ὅ,ττι κέ Μιν λιτάσῃ.
Τῷ μευ ἔχοις, ὁ ἐὼν ἐν ἐπυρανίοισι μένων τε,
Μνήμην ἠδ' ὤρην, τῦ ἐπὶ γαῖαν ἔτι. —
Τῦ σοι προστροπίυ τὰ λιτήσια ῥήματ' ἄκυσον,
Μηδ' ἐξυδενίσῃς τὴν ἱκετηρίδ' ὄπα!
Δοξαστὸς δὲ ὁ Θεῦς ὅ σε ἄρας καὶ στεφανώσας!
Κἀμοὶ δὲ στέφανον σεῖο πόροι ἕνεκεν! —

Πρὸς τὸν ὁμώνυμον Ἅγιον τὸν πάτρωνα ὕμνος ἄλλος.

Τȣ̃ σοι προςπελάτȣ τȣ̀ς λιτάνȣς λόγȣς,
Εὔνȣν εἰς ἔμ' ἔχων ἦτορ, ἐνώτισαι,
Ὦ κήδιστε πάτρων καὶ παράκλητέ μοι!
Ἀστὴρ σωσίβιος, πλαζομένῳ σύ μοι
Φῶς εἶς ȣ̓ράνιον καὶ πολυεύχετον.
Δευκτὴρ μοι σὺ καλῶν ἐνθάδ' ἀνεστράφης·
Ἤρθης δ' εἰς τὰ ἄνω, ὄφρα με ὠφελῇς.
Λεῖπές μοι ἀρετῆς ἔνθ' ὑποδείγματα,
Οἷς ἡγῇ μοι ὁδȣ̃ τῆς ἐπὶ πατρίδα
Τὴν εἰν αἰθερίοις ἀθόρυβον τόποις·
Νῦν δ' ὢν εἰνὶ πόλῳ, ὑψόθεν εὖ ποιεῖς,
Τȣ̃ φώτων Πατέρος δῶρα διεκδιδȣ̀ς.
Νεῖμεν κεδνὸς Ἄναξ, ὃς προνοεῖ ὅλων,
Πιστὸν καὶ κρατερόν μοί σ' ἐπαρηγόνα,
Οὗ τῆς συμμαχίης εὖ μάλα δεύομαι,
Εἰ μέλλω γε τόσȣς ἀντιπάλȣς κρατεῖν. —
Τῷ μοι εὐμενέοις, ὦ Ἅγιε κρέων!
Οἰκτείρας ἄπορον καὶ μεμονωμένον.
Ῥῦσαι σαῖς με λιταῖς ταῖς μέγ' ἐνεργέσι,
Σῶσον προστασίαις σαῖσί με, ποικίλοις
Κινδύνοις ὕποχον, καὶ τάχ' ὀλȣ́μενον,
Εἰ χρὴ δυςμενίδαις ἀντεχέμεν μόνον,
Μηδ' ἂρ μαρναμένῳ καὶ σὺ ἐπαρκέσεις.
Τύνη νικοτελὴς ἴσθι παραστάτης,
Τύνη μοι δαματὴρ παντὸς ἐναντίȣ.
Νικήτωρ γεγονὼς αὐτὸς ἐρίκλυτος
Τῶν σοι ἀντιβατῶν, γίγνεο καὶ ἐμοὶ
Τȣ̃ νικᾶν ἀμαθεῖ ὄντι διδάσκαλος,
Συμπράκτωρ τ' ἀγαθὸς τῷ ὀλιγοσθενεῖ.

Ἔξω μὲν σὺ βελῶν κὴν ἀναπαύματι
Ἐκ τῶν ὧδε μαχῶν ἐσσί, πανόλβιε!
Ἀλλ' ὔπω τὰ βέλη εἰμὶ πεφυγμένος
Τὰ ψυχοκτόν' ἐγών· ὥστ' ἐλέαιρέ με,
Μηδ' αἰνῶν τελέθειν ἧττονα δηΐων,
Ἔν μοι ἱσταμένων πανταχόθεν, δίδυ·
Πάντας δυςμενέας μοι καταγώνισαι·
Καίπερ μὴ μάχιμον νικομάχαν σὺ θές.
Τῇ πάτρῃ πέλασον κἀμέ ποτ' ὄλβιον.
Ποίησόν με — δύνῃ γάρ — σοι ὁμότροπον,
Ὡς χαίρω γεγονὼς σοι καὶ ὁμώνυμος. —
Ἡ θείη σε χάρις εὐγένισεν μέγα,
Κἄγαν ἡ φιλίη ἦρέ σε ἡ Θεῦ·
Τιμὴ ὐρανίη κἄπλετος ἀξίη
Σοί τ' αὐτῷ Θεόθεν σοῖσί τε ἔργμασιν.
Ἐν Χριστῦ χάριτι ζῶες, ὑπερφυεῖ
Οὔσῃ, Πατρὶ Θεῷ υἱοθετημένος.
Σεμνὸς κεὐδόκιμος καὶ πολὺ ἔξοχος,
Υἱωθείς γε Θεῷ, πᾶν τὸ σὸν ἤνυες.
Θείυ γεινόμενος παιδὸς ἐν ἀξίῃ,
Καὶ ἐνταῦθ' ἔτ' ἐών, κὐ μόνον ὔνομα,
Αὐτὴν δ' ἀτρεκίην χρῆμά τε θηΐυ
Τέκνυ κτησάμενος, τίμιος ἦς Θεῷ
Προςδεκτός τε λίην καὶ κεχαρισμένος·
Καὶ σὸν πρᾶγμα δ' ὁμῦ ἠδὲ πάθημ' ἅπαν
Ἔντιμον μεγάλως καὶ θεάρεστον ἦν,
Ὡς θείοιο τέκυς ἀποτελέσματα.
Νῦν καὶ κληρονόμος τῦ ἀφνεῦ Θεῦ,
Καὶ συγκληρονόμος τῦ Ἔθεν Υἱέως,
Καὶ θείων χαρίτων οἰκονόμος τεθείς,
Πολλῷ πλεῦνα δύνῃ σῶν πελατῶν ὕπερ.
Οἷυ σεῖο φίλυ Θεῦς ἐπακύσεται,

Καὶ δώσει προφρόνως, ὅσσ' ἂν ὑπεὶρ ἐμῦ
Αἰτήσῃς· ἐςιδὼν σεῖο τὸ ἄξιον,
Γυμνῷ μοι ἀρετῶν ἠδ' ἀγαθῶν κενῷ
Ἱλασθεὶς ὀπάσει πᾶν τὸ δέον Πατήρ. —
"Ὡστ', ὦ καλὲ Πάτρων! μυ ὑπερεύχεο
Πὰρ ξυνῷ Πατέρι· προξένε' ἐσθλά μοι.
Τὸν νῦν μὲν πελάτην καὶ ἱκέτην τεΐν,
Θές σοι ἐν μακάρων καί ποτε σύμβιον.
Δοξάζοιμι Θεὸν τὸν Τριςυπόστατον
Αἰῶνας μετὰ σῦ εἰς ἀπερεισίυς! —
Δωρήσαιτο λιτάς μοι διὰ τὰς τεὰς
Καὶ Αὐτῦ ἕνεκεν ταῦτα ὁ Παγκρατής!
Αὐτῷ δόξα μόνῳ νῦν τε καὶ εἰς ἀεί! —

Λιτὴ πρὸ παντὸς ἔργυ.

Ἐκ Τεῦς ἔν τε Τεΐν, ζωῆς ἀρχηγὲ προμηθές!
Ζώομεν, ἐξ αὐτῶν πάμπανυ ἀδύναμοι·
Καὶ διὰ Τεῦ ἠδ' εἰνὶ Τεΐν κινύμεθα, ὅσσοι
Δραστοσύνῃ ὁτιῦν ἔργον ἐποιχόμεθα·
Κὴν Τεΐν, ὃς ξυνέχεις τῦ παντὸς πείρατα κόσμυ,
Αὐτὸς ἄπειρος ἐών, ἐσμέν, ἄφυκτε Θεός!
Ἐκ Τέο πάντα βροτοῖς, καὶ εἰς Τὲ ἀνοιστέα πάντα·
Τὺ σκοπὸς εἶ μῦνος, πᾶσιν ὀφειλόμενος. —
"Οντας δ' ἄμμε Τεῦς ἕνεκεν, καὶ πρὸς Τὲ γεγῶτας,
Χρὴ ζῆν καὶ πράττειν μὴ ἀέκητι Τέο·
Τίνῃ δεῖ τὸ νοεῖν, τὸ θέλειν, τὸ λέγειν, τό τε ἔρδειν,
Τίνῃ δῦλα πέλειν πάντα τὰ ἡμέτερα·
Σκέπτεσθαι πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισι
Χρὴ Τὶν ἐφ' ἡμετέροις πράγεσιν ὡς φανερόν,
Ζητεῖν δ' ἐνδελεχῶς καὶ ἐξανύτειν τὸ φίλον Τοι,
Ἠδὲ Τεῆς δόξης νωλεμέως ἀλέγειν. —

Σὴν ῥα χάριν τούτου νῦν ἄρχομαι, ὦ Θεός! ἔργου·
Τεῦς ἕνεκεν προάγειν βούλομαι ἠδὲ τελεῖν.
Πάγχυ δὲ σὺν σπουδῇ τ' ἀκριβείᾳ τε πρόπαντα
Τὰμ' ἐργαζοίμην, ὡς κατένωπα Τέο. —
Ἀλλὰ Τὺ συμπράττοις εὔνως μοι πάντα, ἃ μέλλω,
Καὶ Σὴν εὐλογίην μοι ἐπὶ πᾶσι πόροις.
Ὠφελέειν με μέλοι Τεῖν· αὐτὰρ ἔμινγα δικαίη
Φροντὶς ἔοι τοῦ δρᾶν, ὅσσα Τὶν εὐδοκέει. —
Τοῦτο Τὺ εὐχομένῳ κατάνευσόν μοι, Πάτερ ἐσθλὲ
Υἱέ τε καὶ ἅγιον Πνεῦμα, τριλαμπὲς Ἓν ὤν! —

Ἄλλη λιτὴ πρὸ τοῦ ἅπτεσθαι ἔργου τινός.

Ὑπόχρεω πόνοις γένος τὸ τῶν θνητῶν,
Κάμνειν τε φαύλοις οὖσιν ἄμμιν εἵμαρται,
Πεπρωμένον τε, κακὰ πασχέμεν κακούς·
Βίος τε οὐ σχολαῖος ἄμμι κἄμοχθος,
Οὐδ' ἀργὸς ἀπράγμων τ', ὀφείλεται δ' ἱδρώς,
Ἐξ οὗ, ἁμαρτόντες γε, ἐξεβλήθημεν
Ἐς γῆν κοπώδη τήνδε καὶ ἀκανθώδη. —
Ἀλλ' ἃς, ἀνάγκη καὶ δίκαιόν ἐσθ', ἡμᾶς
Ἔχειν φέρειν τ' ὀϊζύας ταλαιπώρους,
Ταύτας Σύ, Παμμήστωρ! ἔδωκας εἰς καλόν,
Ἁμαρτιῶν τε εἰς λύσιν βαρυνουσῶν,
Τοῖς ἀξίοις ποινῶν πόνων τε ὀφληταῖς
Εἰς χρηστὸν αὐτὴν ἄμμι τὴν ἀνάγκην θείς,
Καὐτῶν παρασχὼν σύμφορ' ἐσθλά τ' ἐκ κακῶν. —
Τῷ μακρόθυμον πάρμονόν τ' ἀπεργάζου
Καὶ καρτερόν με πᾶσιν εἰνὶ πράγεσσιν,
Ἡγούμενον κέρδος τὸ ὧδε ἐργῶδες.

Ποιοῖμι πάντα σὺν χαρῇ τε καὶ σπυδῇ,
Ψυχωφελῇ γ' εἰδὼς τὸν ἔνθα μοι μόχθον,
'Αμπαύματός τ' ἀειδίοιο πρόξεινον. —
'Αλλ' ὐκ ἐμεῖο, Σεῖο δ' εἵνεκεν μύνυ
Πρόπαν τό μοι καθῆκον ἐργάσασθαι χρή·
Βιῶ γὰρ οἴῳ Σοί, καὶ ὐκ ἐμοὶ αὐτῷ,
"Ολον δ' ἐμαυτὸν, κτίσμα Συ, ὀφείλω Σοί.
"Εχοιμ' ἄρ' ἐν φρεσίν Σε καὶ ἐν ὀφθαλμοῖς,
Ποιεῖν τε πειρῴμην τά Σοι ἀρεστ' αἰεί,
Τιμῶν Σε, πᾶν βύλημά Συ τελῶν πιστῶς. —
Σὺ δ', ὦ Θεός! μοι εὐνόει ἐν ἔργοισιν
"Απασιν, εὐλόγει τε, ὁ,ττιῦν πράττω.
Σοὶ πάντ' ἐπιτρέπω· Σὺ δὸς τέλος καλὸν,
'Ο εὐλογύμενος χρόνυς ἐς ἀλλήκτυς.
Σοὶ ζῶν ἐγὼ πράττοιμι ἠδὲ πάσχοιμι,
'Εν Σοὶ θάνοιμι εὖ ποτ', ὦ πανάνθρωπε
Πάτερ Θεός τε! ὦ Πάτερ φιλάνθρωπε!
Σοὶ καὶ βροτοὶ ἅμ' 'Αγγέλοισι λατρευταὶ
"Εστωσαν εἰς ἅπαν Τεὸν παράγγελμα!
Σύμπασα δεσπότην Σὲ ἡ φύσις γνώτω!
Τεῇ γ' ὑποπτήσσοι ποίημα πᾶν γνώμῃ!
Γένοιτο ἔκ τ' ἐμῦ τόδ' ἔκ τε τῶν ἄλλων! —

Δέησις, χρησίμη τοῖς μεῖζόν τι πρᾶγμα διαπράξεσθαι μέλλυσι, δύσπρακτον ὄν.

Σέθεν ἔκ ποιεῖσθαι ἀρχὴν
Καταθνητὸν ἄνδρα, σὺν Σοί,
Θεός! ὡρμημένον προβαίνειν,
Χρέος, εἰς Σὲ δ' αὖτε λήγειν.

Σέο χωρίς, ἀσθενεῖς γε
Ἰδ' ἀμήχανοι μάλ', ἡμεῖς
Τί δυναίμεθ' ἄν ποθ' ἔρδειν
Ἀνύτειν τε, καὶ θέλοντες;
Σέθεν ἐνδεεῖς ἅπαντες
Καθ' ἅπαντα τύγχανȣσι
Βροτοὶ ὄντες· ἰσχὺς οἷȣ
Ἀπὸ Σȣ῀ πάρεστι θνητοῖς·
Ἀρετῆς δοτὴρ Σὺ πάσης·
Τὸ τέλος τὸ καλὸν ἐκ Σȣ῀. —
Φρένας ȣ῏ν ἔχειν ταπεινὰς
Μερόπων ἅπας ὀφείλει,
Σὲ δ' ἑκάστοθ' οἷς ἐπ' ἔργοις
Καλέειν συνεργὸν αὐτῷ.
Τὸ φυτεῦσαι ȣ᾿δέν ἐστι,
Τὸ ποτίσσαι αὖθις ȣ᾿δέν,
Ὁ πόνος μάταιος, ἂν μὴ
Προκοπὴν Σὺ δῷς καὶ αὖξιν.
Τὸ θέλειν μὲν ἀσθενȣ῀σι
Παράκειται ἧμιν, ἀλλὰ
Τὸ κατεργάσασθαι ȣ᾿χί.
Τὸ θέλειν δὲ καὐτὸ εὑρεῖν
Δίχα Σεῖο πῶς ἂν εἴη;
Ὁ διδȣ὚ς τὰ πάντα πᾶσιν,
Ὁ κατευοδῶν τὰ πράγη,
Ὁ τελῶν τὰ ἔργ' ἑκάστῳ,
Ὅ, τε πάντα πᾶσιν εἶ Σύ·
Σὺ ἐνεργέεις ἐγείρων
Τὸ θέλειν ἐν ἄμμι καὐτό.
Ἐπὶ Σοὶ μόνῳ, ὅς ἐσσι
Ἐνὶ πᾶσι πάντ', ἔολπα.
Ἔσο μȣ Σὺ ἀντιλήπτωρ·

'Επιχειρέοντι πᾶν τὸ
Χαλεπὸν Σὺ ῥᾴδιον θές·
Πόρε πράξιμον τὸ πρᾶγμα
Σύ, δὸς εὐκόπως ἀνυστόν. —
Θεός! ἅπτομαι μὲν ἔργυ,
"Ο με δεῖ τὸ νῦν τελείειν·
Σὺ δὲ συλλάβυ μοι, ἠδὲ
Προβίβασσον εὐμενισθεὶς,
Τὸ ὑφίσταμ' ἐργάσασθαι.
Τελέσαιμι πάντα καλῶς
Τάδε, καὐτὸς ὡς Σὺ βύλει! —
Πάτερ, ὦ Θεός, καὶ Υἱέ,
"Αγιόν τε Πνεῦμά, μευ Σὺ
Λιτάνοιο εἰςάκυσον! —

"Αλλη δέησις, ὑπὲρ τῦ κατορθῦν ἤτοι εὖ πράττειν χαλεπῷ ἐπιχειρῦντα πράγματι.

Μέλλων πραττέμεναι τῦτο, Θεός! πρᾶγμα τὸ δυςχερές,
Σοὶ προςτρεψάμενος λιπαρέω· ἔσσο παραστάτης
Μοι· ἐκ Σῦ δύνασις καὶ ἀρετὴ δεξιότης τ' ἔοι,
'Εκ Σῦ εὐμαρίη, καρτερίη εὐστοχίη τέ μοι!
Καὶ γὰρ μίκρ' ἂν ἔχων ἐκτελέσαι, Σῦ χατέω, Θεός!
Τόσσῳ ἐν μεγάλοις μᾶλλον ἔτι Σῆς δέομαι βοῆς.
Οὐχ ὕτω δ' ἄπορον καὶ χαλεπὸν πρᾶγμα πέφυκέ τι,
Οὐδ' ἔργον τι πέλει τοῖον ὅλῃ ἢ τόσον ἐν κτίσει,
"Ωστε ξύν γε Τεΐν, Παντοκρατήρ! ἔμμεν ἀνήνυτον.—
Εἴης ὖν μετ' ἐμῦ, καὶ προάγοις τἀμὰ συνεργάτης,
Μυ τὴν ἐλπίδ' ὁρῶν τὴν ἐπὶ Σοί, μὴ τὸ ἀνάξιον.
Οἶσθ', ὡς ὐ δύναμαι ὐδὲν ἐγώ, Σεῖό γ' ἔρημος ὤν·

Οὐδὲν Σεῖό γ' ἄτερ ξυντελέσω, ἀλλ' ἀποτεύξομαι
Πάντων, ὧν τ' ἀνύσαι ὧν τε τυχεῖν, πολλὰ μογῶν, θέλω.
Οὕτω δ' αὐτοκρατεῖς καὐτοθελεῖς καὐτοπροαιρέτους,
Οὕτως αὐταγρέτους καὐτοδρόμους θῆκας ἐπὶ χθονί,
Ὡς ἐν πᾶσιν ὅμως ἄμμε Σέθεν χρηζέμεν, ὦ Κτίτα! —
Προςπίπτων ἄρα Σοὶ, ὅς με δύνῃ καὶ μάλ' ἐπωφελεῖν,
Ὧν μέλλω, λίτομαί, μοι συνεφάπτεσθαι ἀμηχάνῳ,
Ἠδ' ὀρθῶς τρεπέμεν κεὐτυχέως, οἷς ἐπιχειρέω·
Σοὶ πυθμήν τε μέλοι καὶ κορυφὴ, οὗτινος ἄρχομαι
Ἔργου· Σὺ πρόβασιν τῷδε πόροις κἀπόβασιν καλήν·
Εὐθύναις Σὺ πρόπαν, ἵλαος ὤν, εἰς ἀγαθὸν τέλος.
Σὴν δ' ἐς δόξαν, ὅσων ἅψομ' ἐγὼ, πάντα γενοίατο!
Καρπός μοι, τὰ Τεῆς εὐδοκίης, καὶ στέφανος πέλοι,
Ποιῆσαι πίσυνον, θαυμασίῃ ὦ Τριάς, ὦ Μονάς!
Γῆθος μὲν Σὺ ἐμοὶ, καὶ ὄφελος ἐλπομένῳ ἔοις·
Σοὶ δ' αἶνος ξυνεχής, Σοὶ τελέθοι κῦδος ἀείναον! —

Ὕμνος λειτουργικός.

Χριστέ, εἰς αἰῶνας ἱρεῦ,
Καὶ ἅμ' ἱρὸν θαυματοῖς
Τοῖς τρόποισιν, ἁγνὸν ἱρόν,
Ἔξοχον, θεήϊον,
Τῷ Γονῆϊ εὐάρεστον,
Τοῦ Γονῆος ἄξιον!
Σταυρὸς εἶδε πρὶν σφαγέντα
Καὶ χέαντα αἷμά Σε,
Λύτρον ἧμιν ἠδὲ τῖμον
Ἀντὶ τῶν ἁμαρτιῶν·
Νῦν δ' ἀναιμωτεὶ ὁ Αὐτὸς
Κἀπαθήτως θύεαι.

Ναί, ὁ ἱρὸν παντέλειον
Τῷ Θεῷ τυθεὶς ἅπαξ,
Οὑτοσὶ καὶ νῦν Τοκῆϊ,
Μυστικῶς δὲ, σφάζεαι,
Τȣ̃ γε ἱρȣ̃ ὄντος ἴσȣ,
Μȣ̃νον ἄλλȣ τȣ̃ τρόπȣ.

Ταὐτὸν εἶ καὶ ὧδε θῦμα,
Εἷς ὁ αὐτὸς καὶ θυτήρ·
Ἐσφάγης ἐκεῖθι σαρκί,
Ἔνθα θύῃ πνεύματι·
Ἡ δὲ αὐτὴ ταῖσι δισσαῖς
Πάγχυ τιμὴ προσφοραῖς.

Ἔστι καὶ ἡ δόξ' ἐΐση
Ἡ ἐȣ̃σ' ἔνθεν Θεῷ·
Ἔστ' ἐΐσος καὶ ὁ καρπὸς,
Ὅστις ἔνθεν φύεται·
Τίεται Θεῦς ἔνθεν ἶσα,
Ἶσα καὶ πραΰνεται. —

Ἔν ῥα Σοὶ καταλλαγεὶς τοῖς
Τῆσδε τῆς γῆς ναιέταις,
Φείδεται ὁ Σὸς Γενήτης,
Καὶ κακῶν περ, ἡμέων.
Ὦ ἐπευκτὲ ἧμιν ἱρεῦ!
Ἱρὸν ὦ ἱλαστικόν!

Θύεαι Σὺ Πατρὶ Σεῖο,
Θύεαι πρὸ ἡμέων,
Καὶ τὸ ἐν σταυρῷ τελεσθὲν
Αὖθις ἐνθαδὶ τελεῖς,
Εἰς ἔπαινον τῷ Γονῆϊ,
Ἧμιν εἰς σωτηρίην.

'Ιροφάντα, Χρίστ' 'Ιησȣ̃!
Καὶ θυητὰ καὶ θύος!
Τῶν ἐς ἡμᾶς Σȣ μεγίστων
Μυρίων τ' ἐσθλωμάτων
'Η Τεὴ ὑπεὶρ ἀνάγνων
'Εκπρέπει ἱρωσύνη.

'Εκ Σὺ πληροῖς, ὦ μεσῖτα!
Τῶν βροτῶν τὰ ἐνδεᾶ,
Καὶ τὸν ȣ̓κ ἐφικτὸν ἡμῖν
Πατρὶ αἶνον προςφέρεις,
'Ημέων τόπῳ γεραίρων
Αὐτόν, ἡμῶν ἐν μέρει. —

Θαῦμα θαυμάτων ἔθηκας,
Σὰρξ γεγὼς δι' ἡμέας·
Θαῦμα καὶ τὰ νῦν ὅμοιον
Πολλάκις ῥέζεις, τρέπων
"Αρτον ἐς τὴν σάρκα τὴν Σήν,
Οἶνον ἐς τὸ αἷμά Σȣ.

"Οσσα ποιεῖς! οἷα δείκνυς
Τῷδε ἐν Μυστηρίῳ!
Καινὰ προςτίθης παλαιοῖς
Θαυμάτεσσι θαύματα!
'Ως δυνηρός, ὡς ἐς ἡμᾶς
Χρηστὸς ἔπλευ κεὐμενής!

Γίγνεται μὲν ταῦτα τῇ τῶν
'Ιρέων λειτȣργίῃ,
Οὓς Σὺ εἰς τὸ αὐτὸ τȣ̃το
'Εκλέλεξαι λάτριας,
Οὐκ ἄνευ κείνων τὸ ἔργον
'Ερδέμεν, κρίνας, τόδε.

'Αλλὰ οἱ ὑπυργέοντες
Μύσται ἠδ' ὑπηρέται
Ὄργαν' εἰσὶ μᾶλλον, ἤπερ
Αἴτιοι τῦ πράγματος·
Εἷς ὁ ἔρκτωρ καὶ τελέστωρ,
Εἷς ὁ δρῶν τὰ πάντα, Σύ. —

Ὥς νυ προςδεκτὸν θύημα
Πατρὶ εἶ κἠξαίρετον!
Ὥς ὁ ἀνθ' ἡμῶν θυάζων
Εἷς 'Εκείνῳ προςφιλής!
Καὶ ὁ προςφορῶν Θέανδρος
Καὶ τὸ προςφορύμενον!

Πᾶσα δὼς ἐκ τῦ διδόντος,
Καὶ καθ' αὐτὴν κρίνεται·
'Αξίην ποιοῖ ποσοῖ τε
Δωτὺς αὐτὴ καὶ ὁ δὺς.
'Αξιώτατος Σὺ δωτὴρ,
Τιμιώτατον δόμα!

'Εκ Θεῦ τ' ἀνδρός θ' ὑποστὰς
Ἓν Πρόςωπον θήϊον,
Προςφέρεις τε προςφέρῃ τε
Τῷ Τοκῆϊ, κἀξίως
Οὑτοσί Σοι προςκυνεῖται,
Τίεται θεοπρεπῶς!

Ἡμέων μὲν πρὸς τὸ Θεῖον
Οὐδαμὸς τὸ πρὶν λόγος.
Νῦν δ' ὁ φὼς ὁ χρηματίζων
Θεῦς ἅμ', Αὐτὸ συμμέτρως
Αἰνέεις· νῦν ἐκ Θεῦ Θεῦς
Προςκυνητὸς γίγνεται!

'Αμφὶ Σȣ̃ ϑύτȣ τ' ἐόντος
Γηϑέω καὶ ϑύματος·
Εἰνὶ Σοί, ὦ Χριστέ! χαίρω,
'Αλλὰ καὶ χαρήσομαι·
Γαῖα, ᾅδης ȣ̓ρανός τε,
Πᾶσα γηϑέοι φύσις! —

Οἷς πάρος γε ἀπρόσικτος
Ἦσϑα καὶ ἀπρόσβατος,
Οἵδε νῦν οἰοίτε ἐσμὲν,
Σοὶ πελάζειν, Θεύπατορ!
Τὸν Θεάνϑρωπον μεσίτην,
Υἱά Σȣ, κεκτημένοι.

Σοὶ κλέος, Γεννῆτορ εὔνȣ!
Πᾶσά τ' εὐχαριστίη,
Ὅττι τόσσον ἠγάπησας
Ἄμμε τȣ̀ς ἀναξίȣς,
Ὥστ' ἔδωκας ἐξίλασμα
Παῖδα τὸν φιλȣ́μενον!

Σȣ̃ δι' Υἱȣ̃ κἄμμι ϑάρσος,
Σοὶ προσελϑεῖν, ἔπλετο·
Αὐτὸς ἀντὶ τῶν ἀχρείων
'Ελλογεῖται ἐνϑάδε,
Εἰς τὰ ἡμῶν πολλὰ πληρῶν
Πȣλέων ἐλλείμματα. —

Τόνδε γȣ̃ν τὸν Υἱα Σαυτȣ̃
Εἰσόρα, ὦ Θεύπατορ!
Τὸν καὶ ἱρέα καὶ ἱρόν,
Τὸν Θεόν τε κἀνέρα·
Προσδέχȣ Τȣ̃γ', ἣν πρὸ ἡμῶν
Νῦν τελεῖ, ἱροργίην.

Σοὶ δ' ἅμ' Αὐτῷ τῦτο κἀγὼ
Προςφέρω ἱρήϊον,
Ἀμνὸν ἁγνὸν θήϊόν τε
Καὶ λυτῆρ' ἁμαρτιῶν.
Τϋτονὶ δι' ἁγνὸν ἀμνόν
Μοι μιαντῷ ἵλαθι! —

Ἀλλὰ Τύνη, Χρίστ' Ἰησῦ!
Ἀμπλάκητόν μ' ἅγνισον,
Ποινίμῳ δ' ἐξιλέωσον
Τὸν Τεὸν Γεννήτορα,
Πρὸς δ' ἔνεγκε τὴν θυηλὴν
Τήνδε Κείνῳ κὴπ' ἐμοί.

Τόσσον ὢν ἐγὼ ἀλιτρός,
Τόσσον ὢν ὑπαίτιος,
Ἐξ ἐμαυτῦ ὔθ' ὑπάρχων
Οὔτ' ἔχων τι, ποῖ τραπῶ;
Τρέψομαι, ὦ Χριστέ! πρὸς Σὲ
Ὡς τὸν οἰκτίσοντά με.

Τῷ Γονῆϊ Σεῖο τῖσαι,
Ὅσσ' ὀφείλω, νηπελῶν,
Πρόςτροπος Σὲ λίσσομ' ἐλθὼν,
Ἐκ ταμείυ τῦ Τεῦ
Λύτρα καὶ ἄποινα δῦναι
Ἠδὲ τιμὴν ἀντ' ἐμῦ.

Πλϋσιος Σὺ τῦ ἀφνῦναι
Τὺς πενιχρὺς ἡμέας·
Συ τὸ ἄφνος πυλὺ μεῖζον
Ἡμέων τῦ ἐνδεῦς·
Ἐς δὲ πάντας εἰς Σὺ ἀρκεῖς,
Ἀρκέεις ἀπειράκις.

Ἄμμι τοῖς ἐῦσι γυμνοῖς
Τῶν καλῶν τε κἀγαθῶν
Ἄφθονος θησαυρὸς εἶ Σύ·
Οὐδὲ ἡ Τεή ποτε
Δόντος ἔσται γάζα μείων,
Οὐ τά Σῦ κειμήλια.

Πᾶν τὸ Σὸν Θεῷ ἀρεστὸν
Εὖ μάλ', ὂν θεανδρικόν·
Σῦ δὲ τὸν Τοκῆα τιμᾷς
Μᾶλλον, ἤπερ οἱ βροτοὶ
Πάντες αἷς ἁμαρτίαισιν
Αὐτὸν ἠτιμήσαμεν. —

Ἔστι μέν, καὶ ταῦτ' ἄπειρον,
Κακὸν ἡ ἁμαρτίη·
Αὐτὰρ Εἷς κακῶν περισσὸς,
Καὶ ἀασπέτων περ, ὁ
Εἷς ἀεὶ ἱρώμενός τε
Ἠδὲ καὶ ἱρύμενος.

Χαίρετ' ὖν, καὶ φαῦλοι ὄντες,
Οἱ Ἀδάμῦ ἔκγονοι,
Ἱρέα λαχόντες, ὑμῶν
Πῦλὺ κρείττω πταισμάτων·
Ἀλλὰ τόσσῳ μᾶλλον Αὐτῷ
Πλημμελῦντες λήξατε! —

Χρίστ', ὁ νικήσας τὸ κακὸν
Καὶ κρατήσας τῶν ὅλων!
Τῦ πονηρῦ, τῦ δυςάγνῦ
Κἄμμε δοίης ἐγκρατεῖν·
Φῶς Σὺ ῥώμη θ' ἧμιν εἴης,
Ὡς τύχωμεν νικέων.

Παῦσον ἄμμε τῶν παρόντων
Οὐλίων ψυχῇ κακῶν·
Τῶν δὲ μελλȣσῶν ὁμοίως
Ῥῦσαι ἧμας ἀτέων·
Ἀντὶ τῶν βλαβῶν πόριζε
Ἐσθλὰ τὰ ψυχωφελῆ.

Δὸς, τὰ μήπω ἔστιν ἄμμι,
Καὶ τὰ ὄντ' ἐπαύξανε·
Εἴ τι καλόν, εἴ τι χρηστὸν
Ἄμμι, Σὺ ξυντήρεε·
Μηδ' ἐάσῃς κείν' ἐς ἡμᾶς
Σȣ τὰ ἱρὰ ταῦτ' ἔμεν.

Σοὶ ὁ Φύσας δῶκε κάρτος·
Πάντα καὶ ὁ Παῖς δύνῃ.
Ὧν ῥα Σοὶ πόρεν Γενήτης,
Καὶ Σὺ ἧμιν αὖ δίδȣ,
Ψυχικὴν πενιχρότητα
Ἀθλίων ἀκȣ́μενος. —

Σῷ δ' ἐν Υἱῷ τῷ τυθέντι
Προσκυνῶ Σέ, ὦ Πάτερ! —
Σὺν δὲ Πατρὶ καὶ Σέ, Πνεῦμα!
Τῷδ' ἐν Υἱῷ προσκυνῶ. —
Ἐν δὲ Ἀμφοῖν ἔν τε Σαυτῷ
Καὶ Σέ, Υἱέ! ἔμπαλιν. —

Σȣ͂ δι' Υἱȣ͂ εὐχαριστῶ
Σοί, Γονεῦ εὐεργέτα! —
Πνεῦμα! Σοὶ χάρις δι' Υἱȣ͂
Ἀντὶ Σῶν χαρισμάτων! —
Σοὶ δι' Ἀμφοῖν καὶ δι' Αὐτȣ͂,
Υἱέ, εὐχαριστίη! —

Ἵλεως γενοῦ δι' Υἱὸν
Τοῖς ἀλιτροῖς, ὦ Πάτερ! —
Ἵλεω δι' Αὐτὸν ἔσσο
Καὶ Σύ, Πνεῦμα, τοῖς βροτοῖς! —
Καὶ δι' Ἄμφω καὶ δι' Αὐτόν,
Υἱέ, ἱλάσθητι Σύ! —

Φεῖσαι, Υἷος ἀξίωμα
Ἐλλογήσας, Θεύπατορ! —
Φεῖσαι ἡμῶν, Πνεῦμα ἁγνόν!
Εἵνεκ' Αὐτοῦ. — Καὶ Σὺ δέ,
Υἱέ! φεῖσαι αὐτὸς ἡμῶν,
Τὰς ἀλιτρίας ἀφείς. —

Ὦ Πάτερ! τὸ πουλὺ ἡμῶν
Κακὸν ἠδ' ἀτάσθαλον
Μισέων, μνήσθητι οἴκτου,
Τὸν Τεὸν βλέψας ὑπὲρ
Τῶν βροτῶν ἱρώμενόν τε
Υἷα καὶ ἱρούμενον!

Εἴσιδ', ὅσσα Οὗτος ἤδη
Σοὶ ἔθυσε θύματα!
Καὶ ὃ νυνὶ δὴ ὑπ' Αὐτοῦ
Θύεταί Σοι, εἴσιδε!
Εἴσιδ', ὅσσα Σοι προσάξει
Ἱρὰ κεῖς τὸ ὕστερον!

Ταῦτα πάντ', ἄβυσσα τιμῇ,
Ἀξίῃ ἄπειριτα,
Εἰσάπαξ Σοι προσφέρω νῦν,
Καὶ γενέσθαι, λιπαρῶ,
Τῆς ἐς αἰὲν ἐκλογῆς τε
Καὶ χαρῆς μοι αἴτια.

Μὴ γένοιτο, Σοῖο Υἱος
Τόσσα πράγη τοῖά τε
Εἰς ἐμεὶ μάταια εἶναι,
Μηδὲν ἐς πλέον ποιεῖν!
Εἶεν, ὡς Σοὶ εὐάρεστα,
Ὧδ' ἐμοὶ σωτήρια!

Ἀμπλακημάτων πλέος μὲν
Εἰμι καὶ ὑπέρπλεος!
Ἀλλ' ὁ αἴρων καὶ καθαίρων
Ἀμνὸς ὧδ' ἀλιτρίας!
Τȣ̃ ἀμώμȣ κἀκάκοιο
Φεῖσαι Ἀμνȣ̃ εἵνεκεν!

Τȣ̃γ' ἕκητι, ἄξιόν περ
Ὄντα ἀρῆς, μ' εὐλόγει·
Τὴν δικαίαν ἐκφύγοιμι
Ζημίαν Τȣ́τȣ χάριν·
Τȣ̉μὸν ἐκπληροῖτο κεινὸν
Τȣ̃δε τῷ πληρώματι! —

Ἐλλιπεῖς μὲν ἄμμες εἰς τὴν
Αἴνεσιν τὴν Σήν, Πάτερ!
Ἀντὶ δ' ἡμέων ἁπάντων
Σοὶ Ἕεις διαρκέσει.
Τȣ̃ Ἑνὸς δέξαι τὸν αἶνον,
Τȣ̃ Σεαυτȣ̃ Υἱέως. —

Υἱέ! τόσσα δόντι ἡμῖν,
Σοὶ τί ἀντιδώσομεν;
Εὐλογητὸς πάντοτ' εἴης,
Πᾶσί τε ὑμνήσιος!
Ἡ χάρις δὲ Σοὶ ἐν Αὐτῷ
Κὴν Τοκεῖ κὴν Πνεύματι!

Πνεῦμα ἁγνόν, ἐκπορευθὲν
Ἶσα κἠκ τȣ̃ Υἱέως,
Καὶ φιλȣ̃ν ἄπειρον ὅσσον
Μιν! κέαρ γηθεῖ ἐμόν,
Ὅττι καὶ Σὺ Τῷγε θείως
Ὧδε ἄμπαλιν φιλῇ! —

Τȣ̃το μὲν πάνθειον ἱρὸν
Σοὶ ἄδοι, μάκαρ Τριάς!
Ἀλλὰ κἠγὼ Σοὶ ἄδοιμι
Εἵνεχ' ἱρȣ̃ θεσκέλȣ!
Τȣ̃τό γ' ἱρὸν, φίλτατόν Σοι,
Κἠμὲ θείη Σοι φίλον!

Δός με χαίρειν εὐχάριστον
Τῷ τοσȣ́τῳ θύματι·
Καὶ Σὺ γὰρ χαίρεις ἐπ' αὐτῷ,
Ὄντι Σȣ̃ παναξίῳ·
Δὸς δ' ἐμὴν ψυχὴν προκόπτειν
Ἔνθεν ὠφελȣμένην. —

Σοὶ δὲ εἰνὶ πᾶσι πᾶσα
Δόξα πάντη πάντοθ', Ὅς
Εἶ Τριὰς μὲν, Εἷς ὑπάρχων,
Τρεῖς δ' ἐών, Μονὰς πάλιν·
Πάντα Σοὶ μόνῳ λατρεύοι
Προςκυνοῖ τε κτίσματα! —

"Αλλος λειτυργικὸς ὕμνος, τετραμερής.

Προπαρασκευή.

Πασέων, ὅσσαι ἔσαν ἠδ' ἔασιν
'Ηδ' ἔτ' ἔσσονται, θυσίη προτίμῳ
Πυλὺ, καὶ θείη πάνυ, ἀξιῦμαι
Αὖθι παρεῖναι!
Τῶν ἐν ἀνθρώποις τόδε παμμέγιστον
Γίγνεται, Χριστὸς τοσάκις τοσύτοις
'Εν τόποις θύων τε ἀνεκλαλήτως
Θυόμενός τε!
Τῆς ἐς ἀνθρώπυς πολυποικίλοιο
Τῦτο κάρτιστον Θεϊκῆς δέδεικται
"Εργον εὐνοίας, Θεὸς Υἱὸς ἔρδων
'Ιρὰ πρὸ ἡμῶν! —
Ταῖςγε δὴ θείαις ἱερυργίαισι
Φρήν τε καὶ θυμὸς προςέχοι ἐμαυτῦ.
"Αξιον δ' ὑδὲν προςοχῆς τοσῦτον
'Ημετερείης.
Χριστέ! συγγνοίης, ὁτίη θαμίζων
Τῷδε θαμβητῷ παναγεῖ τε ἔργῳ,
'Α, μετῆν ψυχρῶς ἀνεπιστάτως τε,
Οὐδε μετ' αἰδῦς!
Δός μ' ἔμεν τοῖον τό γε λοιπὸν, οἷος
'Ανδάνειν μὲν τῇ Τριάδι ἐφ' ἱρῷ,
Τελλέμεν δ' ἄλλοις ἰδὲ καὶ ἑαυτῷ
"Ενθεν ὄνειαρ.
Οὐδὲν ἰσχύει πλέον ἐς Θεοῖο
Δόξαν, ἔς θ' ἡμῶν κρατερὴν ὄνησιν,
"Η τὸ τῦ καινῦ ζάθεον καὶ οἷον
Θῦμα νόμοιο!

Εὖ ῥα καὶ καλῶς παρέοιμι νῦν γε
Θεσκέλῳ πράγει ὁσίοις τε βωμοῖς,
Οἷς Θεὸς φῶς ὢν ἱερεύς τ' ἔπεστι
Καὶ ἱερεῖον! —

Χριστέ! νημερτῶς Σὺ θύημα ὧδε,
'Ατρεκῶς δ' αὖ εἷς ἅμα καὶ θυητής!
Τῆς ἐμῆς μνήμης μέγ' ἐπιστροφῆς τε
'Αξίω ἄμφω!

Εἰς Σὲ ἡ ἰσχὺς μονίμως τετάσθω
Τῆς ἐμῆς ψυχῆς, Λόγε θαυματυργέ!
Πνεῦμα πᾶν τὐμὸν Τεῒν ἐνθάδ' ἔστω
Σῶμά τε δῦλον! —

Καθιέρωσις.

Ὃς πρὸ αἰώνων Θεός ἐσσι πάντων,
Ὃς πέλεις, Εἷς ὢν, Τριπρόσωπος 'Εστώ,
Οὐρανῦ καὶ γῆς ποτίδεξαι ἱρὰ
Κρείττον' ἐόντα!

Σοί, Θεός! μὐνῳ Θεὸς ὢν θυητής,
Σοὶ πρέπει μὐνῳ Θεὸς αὖ θυητός!
Ὦ Τριάς! τιμὴν λαβὲ ἐξ Ἑνὸς τῶν
Σεῖο Προσώπων!

Ὦ Πάτερ! δέξαι Σεο τῦ Γόνοιο
Τὴν Τεῇ δόξῃ θυσίαν ἑτοίμην,
Τὴν ὁμῦ χ' ἵλασμα καθάρσιόν τε
Ἡμιν ἐῦσαν!

Καὶ Σὺ δ', ὦ Πατρὶ ξυναείδι' Υἱέ!
Εἰς Τεὴν δέξαι τόδε θῦμα δόξαν·
Πᾶν, ὃ δρᾷς αὐτὸς, χάρις ἡδονή τε
Καὶ Τεῒν ἔστω!

Τῦτο καὶ Τίνη θυσίασμ' ἀρέσκοι,
Πνεῦμα! οἰκεῖόν Σεο τῦ Προςώπυ
Ὅν, Τεῆς δ' ἴση ἀγάπης ἀμοιβὴ
Τῆς προτὶ Υἱόν!

Δόξα συμβαίνοι Ἁγίοισι πλείων
Καὶ χαρὴ μείζων συνάπασι κοινῇ
Ἐκ θύυς τύτυ, Μαρίη δέ, θείη
Μητρί, μάλιστα!

Ὠφελοῖνθ' οἱ ἐν βασάνοις ἐκεῖθι
Πιστοὶ ἐκ ταύτης τελετῆς, πρὸ δ' ἄλλων,
Οἵ κε πάσχωσιν δι' ἐμεί, χάριν τε
Οἷς κεν ὀφείλω!

Ἀλλὰ καὶ ὅσσοι ἔτι ζῶσι πιστοί,
Οἱ προςήκοντές γ' ἐπιτήδεοί τε,
Χ' οἱ χάριν δόντες, φίλοι ἠδὲ ἐχθροὶ
Ἔνθεν ὄναιντο!

Προςφορὴ δ' αὖ καὶ περὶ πλημμελειῶν
Τῶν ἐμῶν, πολλῶν μεγάλων τ' ἐυσῶν,
Καὶ ὑπὲρ τῦ μηκέτι Σοί μ' ἁμαρτεῖν,
Ἧδε γένοιτο!

Προςφέρω τυτὶ θυσίασμ' ἄκεσμα,
Καὶ ὅσων ἄλλυς ἀλιτεῖν ποίησα,
Οὐδ' ἔτ' ἰᾶσθαι πάλιν αὐτὸς οἶδα,
Οὔτ' ἐπανορθῦν! —

Οὐκ ἐῶν οἰόςτε, φέρειν ἐάων
Ἀξίας τῶν Σῶν χάριτας δοθέντων,
Ὦ Τριάς! τύτυ Τεῒν εὐχαριστῶ
Ἐξ ἱερείυ.

Σοὶ θυηλῦμαι, Θεός! ἐκ δὲ Σεῖο
Εὔχομαι καλῶν ἀγαθῶν τ' ἐπαύξην·
Δός τέ μοι δειλῷ ἅμα καὶ δόθητι
Τῦδ' ἕνεχ' ἱρῦ.

Ἐκ κακῶν τῶν νῦν με ἐλευθέρωσον,
Τῶν δὲ μελλόντων με δὸς ἐξιλασθεὶς
Ἐν σκέπῃ εἶναι, διὰ προσφόρημα
Τȣ̃το τὸ θεῖον.

Βȣ́λομαι δ' ἁπλῶς προςάγειν ὅλως τε
Τήνδε Σοὶ ȣ̎τω, Θεέ μȣ! θυηλήν,
Ὡς Σὺ μὲν μᾶλλον φιλέεις, ἐμοὶ δὲ
Φέρτερον ἔσται. —

Μεταστοιχείωσις.

Οἷα ἡ θείη δύναμις ἐνεργεῖν
Οἶδε! θαυμαστὴ μεγάλως τροπή τις
Καὶ μετασκευή! ἕτερόν τι πάμπαν
Ἐξ ἑτέροιο!

Γίγνεται γὰρ σὰρξ ταχέως ὁ ἄρτος,
Καὶ ὁ οἰνίσκος πάλι γίγνεθ' αἷμα,
Ἀτρεκὲς πίστει τέρας, ἀλλ' ἄθικτον
Ὃν καταλήψει.

Θαῦμα τȣ̃τ' ἤδη πολὺ ἐγγύς ἐστι,
Καὶ ὁ ἄνθρωπος Λόγος εἴς τε σάρκα
Εἴς τε αἷμ' Αὐτȣ̃ τάδε δισσὰ τρέψει
Αὐτίκα νυνί. —

Οὐκέτ' ἐν βωμῷ, προεὼν περ, ἄρτος·
Τὸν πρὶν ȣ̓ κεύθει τι κύλιξ ἔτ' οἶνον·
Σῶμα δ' ἔμψυχον πάρα, Θεῦς τε κἀνήρ,
Πᾶς μάλ' ὁ Χριστός!

Χαίρετον, φαίνοντε τὰ σήματ' οἷον,
Τῇ δ' ἀληθείῃ συνέχοντε Χριστόν,
Ἄρτε τ' ἀρτίζωε καὶ οἶνε, θεῖον
Αἷμα καταστάς!

Χαῖρε, ὦ Σῶτερ! Θεὸς ὃς μὲν ἤδη
Πᾶσι καὶ πρόσθεν παρέησθα πάντη·
Νῦν δὲ κἄνθρωπός γ' ἐπὶ τῦδε βωμῦ
Εἶ παναληθῶς!

Οἷον ἤδ' ὅσσον τεράτωσας ὧδε,
Χριστὲ παμμῆτι! τόσον ἠδὲ τοῖον
Ἔκ τε οἰνίσκυ γεγένηται ἔκ τε
Ἀρτιδίοιο!

Οὐκέτ' ἆρ μῦνοι μακαριστοὶ, ὅσσοι
Ὕψι θευδμήτων ναίεται μονάων·
Κἄμμι γῦν εὔνυς Θεὸς ἦλθε, σύν τε
Οὐρανὸς Αὐτῷ!

Προςκυνῶ ἐνταῦθα Σὲ τὸν νέηλυν
Μυστικῶς, δισσῇ προςεόντα ἡμῖν
Τῇ φύσει ὄντως, ἴσα θηΐῃ τε
Ἀνδρομέῃ τε!

Διχθάδων δ' ὧδὶ ἕνεκ' ἐσσὶ χρειῶν,
Τῦ τε κυδᾶναι θεϊκῶς τὸ Θεῖον,
Τῦ τε καὶ αὐτοῖς ἀπόροισι χραίσμην
Ἄμμι γενέσθαι.

Ἴσθι μεσσωτὴρ ἀγαθυργὸς ἡμῖν,
Καὶ τὸ Πατρῷόν τε Τεόν τε πᾶσι
Τοῖς Σὲ αἰτῦσιν ἔλεος πόριζε
Μυστιπόλοισιν.

Ἐξ ἁμαρτωλῶν θέμεναι δικαίυς
Ἡμας, ἐνταυθοῖ μόλες, ὦ Ἰησῦ!
Ἔργασαι τοίνυν προφρόνως ἐν ἡμῖν,
Εἰς ὃ καὶ ἥκεις.

Σοῖο λύσασίν ποτε Σὺ ξυνέγνως
Σώματος ναόν· ἔχε δ' ἐξαλεῖψαι
Αἱμά Συ καὐτὴν, χυτὸν ᾖ ἔγεντο,
Ἄσπετον ὕβριν.

Σῆς δ' ἐνηείης χάριτας ἐνεργεῖς
Καὶ τὸ νῦν θνητοῖς ἀγανὸς πρόφαινε,
'Ηδ' ἁμαρτωλὰς ὁ ἀφεὶς ἀφίει
Εἰςέτι ἡμῖν.

Κάμέ γ' ἐς καινὸν χ' ἕτερον παλαιȣ̃
Τρέψον ἄνθρωπον, καθὰ καὶ τὰ δοιὰ
Πάμπαν εἰς ἄλλην φύσιν ἄρτι τῆς πρὶν
Ταῦτ' ἀπεβήτην.

Τὴν ἐπὶ σταυρȣ̃ ποτὲ, τήν τε ὧδε
Σεῖο δὸς κάρπωμά μ' ἔχειν θυηλήν·
Πατρὶ δὸς δεκτὸν Σύ με, Πνεύματος δὲ
Δεκτικὸν εἶναι. —

Χριστέ! ἐνταυθὶ συνεὼν ἀνάσχȣ
Μυστικῶς ἡμῖν, συναναστροφῆς περ
Σῆς μεθ' ἡμείων μάλ' ἀναξίοισιν,
Οὖσί γ' ἀλιτροῖς.

"Αγγελοι, κρεῖττον γένος, "Αγγελοι δή,
Σοὶ φίλοι πάντως, καθαρώτεραί γε
Οὐσίαι ἡμῶν, Σέο προςκυνηταὶ
'Ενθάδ' ἵκοιντο!

Ξύν νυ τῇ τȣ́των Σέο προςκυνήσει
Καὶ ὁ ἐξ ἡμῶν ἀρέσειεν αἶνος,
Χειρόνων ὄντων, ἀρέσειεν ὕμνος
'Ηδὲ σεβασμός! —

Κοινωνία.

Τῆς πάλαι ἡ νῦν προέχει θυηλὴ
Πλεῖστον· ἡ μὲν γὰρ τὰ Θεοῖο μȣ̃νον
Τοῖς τότ' ἀνθρώποις πόρεν, ἡ δὲ καὐτὸν
Τὸν Θεὸν ἡμῖν!

Σοὶ μὲν ἐκ θυμȣ̃, Πάτερ! εὐχαριστῶ,
Ὡς ἀπήντησεν γένεσις ἐμαυτȣ̃
Θηΐων δώρων ἀβύθοις χρόνοισι
Τοῖς μετὰ Χριστόν.

Δός δὲ καὶ χρειȣ̃ν με, τά μοι χαρίζῃ,
Μὴ σπανίζονθ᾽, ὧν παρέχεις ἀφειδῶς,
Ἐνδεῶς τ᾽ ἴσχοντ᾽ ἀγαθῶν ἐπ᾽ αὐταῖς
Εὐπορίαισιν.

Παρτεθείσης ἀμβροσίης ἐδωδῆς,
Κειμένης ὄντως πόσιος θεείης,
Μή με δῷς πεινῆν ποτὲ, μηδὲ διψῆν
Ὃν κατὰ πνεῦμα.

Σεῖο μὲν πείνῃ, Σέο δ᾽, ὦ Ἰησȣ̃!
Δίψα νημερτής με ἔχοι ἀπόντος·
Σεῦ δὲ γεύσασθαι παρεόντος εἴη
Ἦδος ἄπληστον!

Σεῖο γ᾽ ἱμείρειν ἐπιθυμίη ᾽στὶ
Φερτάτη πασῶν· Σέο μοι, Ἰησȣ̃!
Ἐμβάλοις ψυχρῷ ἔσιν ἠδ᾽ ὄρεξιν
Ἔμπεδον αἰέν.

Λωΐόν γ᾽ ȣ̉δὲν πέλεται πρόςοισμα,
Κȣ̉̃τι θυμηδὲς ποτὸν ἄλλο μᾶλλον
Σεῖο, ὅς ψυχαῖς δύναμις, ἀκεστὺς,
Εὐφροσύνη τ᾽ εἶς. —

Εἴθ᾽ ἄρ᾽, ὦ Σῶτερ! μετὰ τȣ̃ θύταο
Τȣ̃δε ἑστῶτος λάχεϊ μακαρτῷ
Κἀμὲ δειπνήτην Σὲ δέχεσθαι ἠδὲ
Κρυπτέμεν εἴσω!

Σεῖο δ᾽ ἡ ὄντως κατὰ σῶμα γεῦσις
Νῦν μὲν ȣ̉κ ἔξεστ᾽ ἐμίν· ἀλλὰ καὶ ὣς
Δῦθ᾽ ἀναισθήτως γ᾽ ἐμὲ, μηδ᾽ ἀπράκτως,
Ξεῖνος ἄδερκτος!

Σεῦ μὲν ἀχρεῖον πολὺ κἀκάθαρτον
Τυγχάνω σκεῦος τελέθων· Σὲ δ' ὕπως
Ἡ δοχὴ χραίνει· ἁγνίσαι δὲ χραντὴν
Οἶσθα Σύ γ' αὐτήν.

Οἷος ἰσχύεις κατὰ πάντα πάντως
Ἁγνὸν ἐς δέξιν παρέχειν Τεοῖο·
Σεῦ τόσῳ μᾶλλον γλίχομαι, ὅσῳ δὴ
Οὐ καθαρεύω. —

Ἐλθέ μοι τοίνυν, Ἄνα! ἐκ δὲ καῖε
Σαρκικῶν ὁρμὰς παθέων ἔνοικος·
Ναί, μολών μοι πνευματικῶς γε, Τίνη
Με ξυνέχιζε!

Ἐν δ' ἐμοὶ ἥκων μέν' ἐπωφέλημα,
Ὦ'να! βελτιῶν ἁγιῶν τ' ἐμαυτόν,
Τὴν ἐμὴν καινῶν φύσιν ἐς τὸ κρεῖττον
Καὶ μεταμορφῶν! —

Ἡ δι' Υἱῆος θεραπεία ἡμῶν
Ἠδὲ λατρεία, Τριὰς ὦ μακαρτή!
Εὐαρεστῆσαι Τεΐν· αὐτὰρ ἡμῖν
Κρήγυος εἴη!

Ὧδ' ἔθυσ', ὧδ' αὖ ἐτύθη ὁ Υἱός!
Σοὶ μὲν ὗν ἦδος τόδε θῦμ', ἐμοὶ δὲ
Καὶ ὑπεὶρ ὅσσων προσενήνοχ' αὐτὸ,
Ῥῦμα γένοιτο!

Κηρόθεν δ' ἆρ Σοί, Τριάς! εὐχαριστῶ,
Ἀξιωσάσῃ με τόσȣ μετασχεῖν
Πράγματος· σύγγνωθι δὲ τὐλλιπές μȣ
Κἄκεσαι ἔυνȣς!

Μιμνέτω δ' ἡ Σὴ ἀγάπη ἄληστος
Ἄμμι, γιγνέσθω δὲ ἅμ' ἐκ τοσȣ́των
Ἐργμάτων αὐτῆς καὶ ὄνησις ἡμῖν
Ὠφελίη τε!

'Η φιλῦσ' ἡμᾶς πάλιν αὖ φιλοῖο!
Σῆς χάρις καρπὸς χάριτος φύοιτο!
'Ημέων καλοῖς προκοπὴ ἐπ' ἔργοις
'Αντιδιδοῖτο!
Τῷ ἰῷ κῦδος τριςυποστάτῳ τε
Δεσπότῃ! Αὐτῷ γ' ἐς ἀεὶ διδοῖτο
Αἶνος ἄκμητος συνεχής τε πάντων
"Υμνος ἀπ' ὄντων! —

"Αλλος ἐπὶ τῆς Λειτυργίας ὕμνος, πενταμερής.

"Ιληθι τοῖς μέλλυσί Σοι
Θυσίην πάναγνον προςφέρειν,
"Ιληθι ἡμῖν, Θεύπατορ!
Καὶ μὴ ἁγνοῖς γέ Σοι θύταις!
Σὺ δ' ἠξίωσας ἡμέας
Τὺς χριστεπωνύμυς ἔμεν
'Ιερατικόν τί Σοι γένος,
'Ιερῦ τελεστὰς μυστικῦ.
"Ιδιοι μέν εἰσί Σοι, Πάτερ!
"Οσιοί τε καὶ τεταγμένοι
Τῇ Υἱέως ἐξυσίῃ
'Εκ προκρίτων θυηπόλοι.
'Αλλ' ἔστι Σοι τρόπον τινὰ
Καὶ πᾶς ὁ ὢν χριστώνυμος,
'Αληθέως Χριστῦ θυτὴρ,
Καὶ χριστομύστης ὐ κενῶς.
Χριστὸς μεσιτεύει Σέο
'Ημῶν τε, τοῖς πολλοῖς "Εεις
"Ιλασμα· λῇς δὲ ἄμμε Σοι
"Ενα Τόνδε πάντας προςφορεῖν.

Τῇ Τῦγε μυσταγωγίῃ
Σύμπαντες οἱ πιστοὶ Τεῒν
Θυηκόοι γεγενήμεθα
Οὐκ ἀδρανεῖς ἐν πνεύματι.
'Εν Τῷγε σύν τε Τῷγε Σοι
Λόγον τιν' ὄντες, ὦ Πάτερ!
Κοινῇ πρόπαντες ἱρέες
Θυσίην νοηρὴν θύομεν. —
Θύος δὲ ἡμῶν τῦτό Σοι,
Τὸ ἐν μιᾷ 'Υποστάσει
Θεῖόν τε κἀνθρωπήϊον
Τῦ κυδίμυ Συ Υἱέως.
"Ο κεῖθ' ἀνὰ σταυρῷ παγεὶς
"Εχευεν αἷμα Παῖς ὁ Σός,
Τυτὶ νοητῶς λείβεται
Κἠνταῦθα Σοί τε καὶ βροτοῖς.
Ναὶ, λείβεται καὶ ἐνθαδὶ
Τὸ αἷμ' ἐκεῖνο, Σεῖο μὲν
'Ιλαστικὸν, Πάτερ Θεός!
'Αγνιστικὸν δὲ ἡμέων.
Οἵη δὲ τῦδ' ἡ ἀξίη
'Ιρῆος ἠδ' ἱρηΐυ!
Υἱὸς Τοκεῖ, Θεῷ Θεὸς
Δαπανᾶται ἠδὲ σπένδεται!
'Ημῖν δ' ὅσον τὐντευθενὶ
Κῦδός τε ὠφέλημά τε!
Οὐ μεῖζον ὐδέν, ὐ πλέον,
Καὶ ὔτι σωστικώτερον!
Μάκαρ τὸ τῶν χριστωνύμων
Γένος, τετευχότων θύτυ
Καὶ θύματος, πανίλαον
Τιθέντος τὸν Θεόν σφισιν!

Ὦ Χριστέ, κἄνερ καὶ Θεός,
Μεροπηΐδος φύτλης φάος!
Ὡς ἠγάπησας ἡμέας
Μετὰ Πατρὸς ἠδὲ Πνεύματος!
Ποίην παρέσχες τὴν χάριν!
Πόσην Σὺ τὴν δόξαν πόρες
Θνητοῖς, τόση τοίη τε δὺς
Ἱοργίη παρέμμεναι!
Οὐ τȣ̃το μȣ̃νον· ἀλλὰ καὶ
Μεῖζόν τι ἦμας εἴργασαι,
Ὁμȣ̃ καταστήσας Τεΐν
Καὶ συνθύτας καὶ συνθύτȣς.
Τὰ πάντα, Χριστέ, Σὺ βροτοῖς·
Ἐν Σοὶ δὲ κἄμμες, καὶ διὰ
Σȣ̃, ξύν τε Σαυτῷ θύομεν
Καὶ θυόμεσθα τῷ Πατρί.
Ὡς τὰς χέρας καθαρὰς πρέπει,
Ὡς εἶναι ἁγνὰς τὰς φρένας
Τῶν προσφορȣ́ντων, ἡμέων,
Καὶ προσφορȣμένων Θεῷ!
Καθάγνισον δὴ ἡμέας,
Καὶ λȣ̃σον ἐν Σῷ αἵματι,
Ὦ Χριστέ! ἡμῶν προσφορὰ
Ἵν' ἦσι Πατρὶ προσφιλής.
Ἄσπιλος ἀμνὸς Αὐτὸς ὤν,
Ἀκάκȣς καὶ ἡμέας θέο,
Ὄφρ' ἐξέη, Σὲ τῷ Τοκεῖ
Τὸν ἁγνὸν ἁγνῶς προσφέρειν.
Πᾶσι ξυνείδησιν καλὴν
Γενέσθαι ἄμμι κἀγαθὴν
Σύμπραξον, ὡ̃ς κεν ἀξίως
Ῥέξωμεν ἱρὸν θήϊον. —

Τίς δ' ἀξίως, καὶ ἁγνὸς ὤν;
Τί πρὸς τὸ Θεῖον ὁ βροτός;
Οὐ τοῖς ἑαυτῶν θάρσυνοι,
'Ελέῳ δὲ τῷ Σῷ θύομεν.
'Αναξίȣς μέγ' ἡμέας
Εὑρὼν Σὺ καὶ ἰδών, Πάτερ!
'Εφ' Υἷα τρέψον ὄσσε Σώ,
'Εφ' Υἷα τὸν θεοπρεπῆ.
Τὰ τȣ͂ Τεοῖο Υἱέως
"Ιδ' ἀξιώματ' ἄμβροτα,
Καὶ μυρί' ἀνδραγαθήματα,
Εὐχάς τε τὰς ἡμῶν ὕπερ.
'Εν Υἷι τῷ Σῷ κἄμμιν ἂν
Στέρξαις ἀρεσθείς, ὦ Πάτερ!
'Εν τῷ 'Εκείνȣ θύματι
Δέξαιο ἂν καὶ τȣ̀κ βροτῶν.
Δι' Υἷος ἱρȣ͂ χ' ἱρέος
'Ιερȣ͂μεν ἠδ' ἱερȣ́μεθα
Καὶ αὐτοί· ἡμῶν ἐν τόπῳ
Βλέψον τὸν Υἷα, Θεύπατορ!
Σὺ δὲ τȣ̀ς Σοι ἠλεημένȣς
Καὶ ἠξιωμένȣς τόσης
Τοίης τε τιμῆς, δὸς καλῶς
Τόδ' ἱρὸν ἔργον ἀμφέπειν.
Οὐκ ἄξιόν τι πλείονος,
Οὐ πρᾶγμα ἐκπρεπέστερον
Θείοιο τȣ͂δε θύματος,
Οὐκ ἄλλο τι προφερέστερον.
Πλείστῃ μὲν ȣ̓͂ν σὺν ἐπιστάσει
Κȣ͂ τῇ τυχȣ́σῃ φροντίδι,
Τὸν νȣ͂ν ἔχων αἰδόφρονα,
Τȣ́τῳ παρείην θαύματι.

Σῦ, Χριστέ! ὡδὶ εὐσεβῶς
Ἔχοιτο ἡ ψυχὴ ὅλη·
Ταπεινὸν ὂν καὶ αὐτὸ Σὲ
Τὸ σχῆμα τίοι σώματος.

Πτήσσυσα μὲν Σῦ αἴδεσις
Κἄλλως μ' ἔχοι, μάλιστα δὲ
Ἐν τῷδε τῷ πανεξόχῳ
Στοργῆς Τεῆς τεκμηρίῳ! —

Προςφορά.

Ἐς τὸν Σὸν αἶνον, ὦ Πάτερ!
Ἠδ' ἐς τὸ Σὸν ταύτην κλέος
Σοὶ προςφέρω θυσίην, Τεῆς
Μεγαλωσύνης οἰκηΐην.

Σὲ ἐξ ἐμαυτῦ νηπελῶν
Κατὰ τὴν Σεαυτῦ ἀξίην
Τιμῆσαι, ἐν τῷ Υἱί Συ
Τὴν προςκύνησίν Σοι τελῶ.

Αὐτὸν Τεϊν προςάγει, ἰδὺ,
Πάνθειον ἱρὸν Παῖς ὁ Σός·
Κἀγὼ δὲ τῦτο κηρόθι
Συνευδοκῶν Σοὶ προςφέρω.

Δέξαι νυ καὶ ὑπεὶρ ἐμῦ,
Ὃ Σῦ δι' Υἱῦ καὶ μετὰ
Τῦ Υἱος ἱρόν Σοι φέρω
Ὑπερτέλειον, ἄμβροτον.

Ὃ δ' ἐξ ἐμαυτῦ ὐκ ἔχω
Σοὶ προςκύνημ' ἐπιτήδεον
Δῦναι, τόδ' εἰν ἐμῷ μέρει
Ἐντευθενὶ γένοιτό Σοι! —

Ὦ Υἱὲ τȣ̃ Θεȣ̃, Θεὸς
Καὶ αὐτὸς ὢν, ἀειγενές,
Γεγὼς δ' ἐπ' ἐσχάτων χρόνων
Κἄνθρωπος ἡμῶν εἵνεκεν!
Καὶ Σοὶ τὸ θῦμα προσφέρω
Τȣ̃τ' εἰς ἔπαινον ἄξιον
Κἠς εὐχαριστίην ἅμα,
Ἀνθ' ὧν ὀνήμεθ' ἐκ Σέο.
Τί προσφέρω δέ; Αὐτὸς εἶ
Καὶ θῦμα καὶ θυτὴρ ὁμȣ̃,
Καὶ προσφορὰ καὶ προσφορῶν
Τῷ Πατρί, κȣ̓κ Αὐτῷ Τεῒν.
Ὅμως δὲ Καὐτόν, Υἱέ, Σὲ
Θύος Σεαυτῷ προσφέρω·
Καὶ γὰρ καὶ Αὐτὸς ἄσπετον
Τῷ Σῷ γεραίρῃ θύματι.
Τί δ' ἂν Σεαυτȣ̃ βέλτερον
Ἢ ἀξιώτερον Τεῒν
Θῦσαι δυναίμεθ'; Αὐτὸν ȣ̃ν
Σὲ προσφόρημα Σοὶ ἄγω.
Χαίρει ἀπείριτον χαρὴν
Ἐπὶ τῇ Σεαυτȣ̃ προσφορῇ
Πατήρ· χαρῇ δ' ȣ̓χ ἧττονι
Χαίρεις Σὺ προσφορȣ́μενος.
Χαίρει δὲ καὶ τὸ Πνεῦμα Σοὶ
Θυηκόῳ, θυήματι.
Τὸ χάρμα τȣ̃το προσφέρω
Τίνῃ τὸ τρισσὸν κἄφατον. —
Καὶ Σοὶ δέ, Πνεῦμα! καὐτὸ Θεῦς
Ἶσος Γονεῖ τε καὶ Γόνῳ,
Ἠδ' Υἱέως ἱερȣργίῃ
Δόξαν γένοιτ' ἐς ἄμβροτον.

Τιμᾷ δ' ὁ Υἱὸς καὶ Σέγε
Ἐπίσης Τοκῆϊ ἐνθάδε·
Ἀγάπης δ' ἐς Αὐτὸν τῆς Τεῆς
Ἄμειψις ὧδε γίνεται.

Καὶ Σοί ῥα, Πνεῦμα! προςφέρω
Ταύτην θυηλήν, ᾗ μόνῃ
Ἐκ τῶν προςηκόντων τὰ Σὰ
Μεγαλεῖα δοξασθήσεται. —

Μονὰς μάκαιρα, καὶ Τριάς!
Τρισὶν ἐν Προςώποις εἷς Θεός!
Σοὶ ἥδε μϐνῳ θύεται
Θυσίη, μόνῳ γε κἀξίῳ.

Πρόςδεξαι αὐτὴν ἐκ χερῶν
Μεροπηΐων ἱλασμένος,
Μὴ ἐννοήσας τῶν θυτῶν,
Τϐ θύματος δὲ ἀξίην.

Τῷ Σῷ σεβασμῷ τῷ τε Σῷ
Τάδ' ἱρὰ προςκυνήματι
Ἐκ τῶν δικαίων ἕρδομεν·
Σὺ στέρξον αὐτὰ πραΰνϐς.

Ὃ Σοὶ λάτρευμ' ὀφείλεται,
Ὃ Σοὶ πρέπει γέρας, Θεός!
Πῶς ἂν Τεῒν δοίημεν, εἰ
Μὴ τῷδε τῷ ἱερώματι;

Ἣν ἐξ ἑαυτῶν οἱ βροτοὶ
Τιμήν τε καὶ δόξαν Τεῒν
Ἀποτῖσαι ϐκ ἰσχύομεν,
Ἐντεῦθεν ἥγε Σοι πέλοι!

Ἃς ἀντὶ τοίων καὶ τόσων
Χάριτας καλῶν τε κἀγαθῶν
Ὀφείλομεν, τϐδ' ἐκ θύϐς
Ἀπέχοις λαβὼν θεηΐϐ.

Ὧν εἰς Σὲ ἐξημάρτομεν,
Εἰργασσάμεσθ' ὧν ζημιῶν,
Σύγγνωσιν ἄμμι καὶ λύσιν
Τϐτὶ τὸ ἱρὸν τελλέτω!
Ὁ ἡμέων ὕπερ παθὼν
Θανών τε καὶ ἱκανὸν Τεῖν
Πλεῖόν τε τϐ ἱκανοῖο δϐς,
Σοι εἰςβλέποιτο, ὦ Πάτερ!
Δι' Αὐτὸν ἠθικῶν κακῶν
Ἐλευθέρωσον ἡμέας·
Δι' Αὐτὸν ἡμῶν μεινάτω
Πόῤῥω ἅπαν ψυχοβλαβές!
Δι' Αὐτὸν ἄμμι τἀγαθὰ
Τήρησον, ὅσσ' ἐκτήμεθα·
Ὅσων δ' ἔτι χρηΐζομεν,
Δι' Αὐτὸν ἄμμι πρόςβαλε! —
Ὦ Χριστέ μϐ ψυχοσσόε!
Μεταγνώσεως τὸ θῦμά Σϐ
Γένοιτο τοῖς ἀλιτήμοσιν
Ἠδ' ἀμπλακήτοις αἴτιον!
Γένοιτο αἱρετικοῖσί τε
Καὶ Ἰσραηλίταισι καὶ
Τϐρκοισιν ἠδ' ἅμ' ἐθνικοῖς
Τῆς εἰς Σὲ φῶς ἐπιστροφῆς!
Μετατροπὴ δὲ καὶ ἐμῆς
Γνώμης γένοιτ' ἐς βέλτιον,
Τρόπϐς τέ Σοι κεχαρισμένϐς
Τϐτϐ λάχοιμ' ἐκ θύματος!
Καιρὸν δὲ τϐ σωθήμεναί
Μοι, στερκτὲ Σῶτερ! ἔργασαι·
Ἐκ Σϐ λάβοιμι καμμονὴν
Καὶ καρτέρησιν εἰς τέλος!

Τύχοιεν ἐντεῦθεν χαρῆς
Οἱ Ἄγγελοι Ἅγιοί τέ Σȣ,
Καὶ ἀνθ' ὅσων ἐκ Σȣ̃ λάβον,
Χάρις ἔνθεν εἴη τῷ Θεῷ!
Μέμνησο Σῆς Ἐκκλησίης,
Καὶ τῶν ἐκείνης προστατῶν·
Ἔξαιρε καὶ ἐπαύξανέ
Μιν, τοῖσι δ' εὖ καθηγέο!
Ἐκκλησίῃ δ' ὑπήκοοι
Σαόφρονές τε κεὐσεβεῖς
Γένοιντο ἠδ' ὁμόφρονες
Οἱ χριστιανοὶ κοίρανοι!
Τῷδ' ὠφελοῖντο ἔργματι
Ἱερῷ καὶ οἱ ἐμοὶ γονεῖς,
Ὅσοι τε κἄλλοι εὐνόων
Γονέων παρέσχον μοι χάριν!
Σοὶ τȣ̀ς ἐμȣ̀ς ἀδελφεȣ̀ς
Ἀδελφεάς τε τὰς ἐμὰς
Ὁμῶς συνίστημ' ἐνθάδε,
Καὶ τȣ̀ς προσήκοντας γένει.
Ἑτάροις δ' ἐμοῖσι καὶ φίλοις
Καὶ τοῖσιν εὖ δράσασί με
Ἐπωφελὴς ἡ Σὴ πέλοι
Ὅμοια, Χριστέ, προσφορή!
Ὄναιντο δὲ, τȣ̃ ὧδε Σὺ
Ἔργȣ τελεῖς, καὶ ἔι τινές
Πȣ τυγχάνȣσι δυσμενεῖς
Μοι ὄντες ἠδ' ἀπεχθέες!
Οὓς δ' ἠδίκησα, Σὴν χάριν
Καταλλαγεῖέν μοι πάλιν·
Καὶ ȣ̃ς ἔτρωσα σκανδάλοις,
Ἄκεσαι Σὺ τȣ́των ἕλκεα!

Καὶ τῶν πέραν δὲ τȣ̃ βίȣ
Τοῖς ἐν Θεῷ τεθνηκόσι,
Πονȣμένοις δὲ εἰςέτι,
Τὸ Σὸν θύημα συμφέροι!

Λώφημα τοῖσίγ' ἐκ Σέθεν
'Αλγῶν τ' ἔοι ἀπαλλαγή,
Μάλιστ' ἐκείνοις, ὧν ὑπέρ
Μ' εὔξασθαι ἐντυχόντα χρή!

Φίλ' ὦ Θέανδρε! δέχνυσο
Περὶ ὧν τάδ' ἱρὰ χρηϊῶν
'Υπέρ τε ὧν Σοι προςφέρω
Μερόπων ἐχόντων ἐνδεῶς. —

Μετȣσίωσις.

'Επίσημός ἐστι κἤξοχος
Τῶν νῦν θυτήρων ἀξίη!
'Ο παλαιὸς ȣ̓κ ᾔδει νόμος,
Οἵȣς ὁ καινὸς ἱρέας!

'Εκπληκτικὴ ἐξȣσίη,
῏Ω Χριστέ! θαυματȣ̃σσά τε,
῞Ην τοῖσι τῆς καινῆς πόρες
Διατάξεως θυοσκόοις!

'Ρέζεις, ἀεὶ τȣ̃ τῶν Τεῶν
Μυστῶν λόγȣ ὑπήκοος,
'Ανύεις τε ἔργον θήϊον
Καὶ θαῦμα θαυμαλεώτατον!

Οὐ κάλλαβέν τις τῶν βροτῶν
Σȣ τὸν φιλάνθρωπον νόον,
῏Ω Σῶτερ! ȣ̓δὲ ὕστερον
Καλλήψεταί τις θνητὸς ὤν!

Μεταβάλλεται ἐς θέσκελόν
Τι ἤδὲ τιμιώτατον
Τὰ εἰνὶ βωμῷ βρώσιμα
Στοιχεῖα μικρὰ καὶ ποτά!
Ἄρτον καὶ οἶνον εὐλογεῖ
Ἱρεύς, ἰδ᾽ ἄμφω εἰς τὸ Σὸν
Καὶ σῶμα χ᾽ αἷμα ἔνθεον
Μετȣσιȣ̃νται εὐθέως!
Δύναμις μόνη ἡ τȣ̃ Θεȣ̃,
Ἡ Σή, Θέανδρε! δεινότης,
Ἢ ȣ̓δὲν οἶδ᾽ ἀμήχανον,
Οἵη τοδὶ ἐνεργέει! —
Πάρεσσι, Χριστέ, νῦν ὅλος!
Τό Σȣ πάρεστ᾽ ἐτητύμως
Θεῖόν τε κἀνθρωπήϊον
Ὁμȣ̃, μονοπροσωπέον!
Δεῦτ᾽, ὦ πρόπαν σύστημ᾽ ἅμα
Τῶν Ἀγγέλων τε καὶ βροτῶν!
Μετ᾽ ἐμȣ̃ καὶ ἀντ᾽ ἐμȣ̃ Θεὸν
Τὸν ἐνθαδὶ δοξάζετε!
Τόσων ἐόντων θαυμάτων
Τῶν, Χριστέ, Σοι εἰργασμένων,
Οὐ τȣ̃δε μεῖζον ȣ̓ρανός,
Οὐκ εἶδε γαῖα πώποτε!
Σὲ, κάρτ᾽ ἰδ᾽ ἰσχυρῶς ἐγὼ
Πέπεισμαι, ὧδε ἔμμεναι·
Σὺ δ᾽ ἀεί με πιστȣ̃σθαι Τεὴν
Ἐνταῦθα δὸς παρȣσίην.
Σύ μοι, Ἰησȣ̃! ἐλπὶς εἶ·
Σὺ ἐλπὶς εἴης πάντοτε·
Δοίης δέ μοι τὸ εἰνὶ Σοὶ
Μάλ᾽ εὐσταθῶς ἐολπέναι.

Φιλῶ Σέ, ὦ Σαῶτά μυ!
Σὲ βύλομαί γέ τοι φιλεῖν.
Τὴν ἐλλιπῆ μυ κἀτελῆ
Φίλησιν ἕρδε πλήρεα!
Σὲ προςκυνῶ τὸν ὧδέ μοι
Παρόντ' ἀληθέως Θεόν·
'Αναξίυ περ λάτριος
Λάτρευμα μὴ ἀναίνεο.
"Ιδοι ὁ Φύσας ἔνθα Σὲ
Θύσαντά Οἱ τυθέντα τε·
'Ιδὼν χαρείη, ἠδέ μοι
Σῦ εἵνεκ' εἴη ἵλαος!
Βλέψειε καὶ τὸ Πνεῦμα Σὲ
Τὸ ἁγνὸν, ἡσθείη θ' ὁμῶς
Βλέψαν Τὸν ἀντ' ἐμεῖό Οἱ
Τιμὴν φέροντα σύμμετρον! —
Θέανδρε Χριστέ, ἀμμέσον
Θεῦ μεσῖτα καὶ βροτῶν!
"Εκτισον ἡμέων τόπῳ
Τὰ ἁμὰ πόλλ' ὀφλήματα!
Χρεωλύτησον ἐν μέρει
Θνητῶν Γονεῖ καὶ Πνεύματι·
"Αμφω δὲ καὶ πρὸ ἡμέων
Γέραρον ἀξιοπρεπῶς!
"Οσων δὲ καὐτῷ Σοί, Παϊ!
'Οφείλομεν, τίς ἡ χάρις;
Τίς Σεῖο μισθὸς ἄξιος;
Αὐτὸς Σὺ μισθὸς Σοὶ πέλοις!
"Εοι δ' ἀμοιβὴ κεῖνο Τὶν
Τὸ πρόθυμον, ᾧ θυάζεαι,
Τό τ' εὐδοκῦν τῦ Σῦ Πατρός,
Καὶ χάρμα τὸ τῦ Πνεύματος!

Σοὶ δ' αἶνος ἤτω δόξα τε,
Ὦ Χριστέ! ὅς θυτηρίῳ
Με παργενέσθαι ἐκπρεπεῖ
Κατηξίωσας ἱλέως! —

Σύναξις, ἤτοι Μετάληψις.

Ὁ κλῆρος ἐκλεκτὸν γένος!
Ἐξαίρετοι οἱ κληρικοί!
Μεταδόντες ἄμμι θηΐων
Μετέχουσιν αὐτοὶ ἐξόχως!

Ὡς ἔστιν, ἀρητήρ τις ὤν
Σοι καὶ θυητής, εὐτυχής!
Καθ' ἡμέραν δὲ γεύεται
Σαρκός τε Σεῖο χ' αἵματος!

Τί γάρ κεν ὀλβιώτερον
Τοῦ τὴν τοσαύτην δωρεὰν
Κεκτημένου τῆς καρδίης
Ψυχῆς τε κεύθειν ἔνδοθι;

Εἴθ' οὖν, Ἰησοῦ! εἰς τὸ κῆρ
Σὲ δέχθαι ἐκπέλοι τὰ νῦν,
Ἱκανὸς δὲ τυγχάνοιμ' ἐὼν
Ἐπιτήδεός τε κἄξιος!

Καθαρὸν Σὺ αὐτός, Χριστέ! μου
Τὸν ἐντὸς ἄνθρωπον θέο·
Δοχεὺς γενοίμην εὔσταλὴς
Σέθεν εἰς τὰ ἐνδοτάτω ἐμοῦ!

Τὸ σῶμά Σου, νοερὴ τροφή,
Αὐξητικὴ τῶν πνευμάτων,
Ἐνεργὲς εἰς ἐμεὶ πέλοι,
Καί τοι ἄγευστον ὂν τὸ νῦν!

Τὸ αἷμά Σϑ, πότισμ' ἐόν,
Τὴν ψυχικὴν σῶζον φύσιν,
Λϑτρόν τέ μοι τετυγμένον
Καὶ ῥύμμ', ὀνῆσαι καὐτό με!
Ναὶ, καρτερῶς μ' ὀνησάτω
Τὸ αἷμα Σεῖο κἄποτον·
Δός μοι, πιεῖν ποθϑντί γε,
Τὰ τϑ πιόντος κέρδεα!
Ἀναληπτικὸν ψυχῆς ἄκος
Καὶ ζωπυρητικὸν τὸ Σὸν
Γένοιτο αἷμα, τῶν τέ μϑ
Σπίλων κάθαρσις καὶ ῥύπων! —
Ἐπεὶ δὲ νῦν μὲν ϑ̓κ ἔνι,
Ἔργῳ λαβεῖν τῷ τ' ὄντι Σέ,
Ἔλθοις Σύ πνευματικῶς ἐμὸν
Ἐς ἦτορ ἠδ' ἐς σῶμ' ἅμα!
Ὄτρυνε δ' ἄμφω, εὖ ποιεῖν
Καλῶς θ' ἅπαν, τὴν σάρκα μὲν
Δϑλευέμεν τῷ πνεύματι,
Τὸ πνεῦμα δ' αὖτε τῷ Θεῷ.
Τόσῳ δικαιοῖμεν Τεῒν
Μάλ' ἀσμένως δϑλευέμεν,
Ὅσῳ καὶ ἄμμ' ἀναξίϑς
Ὁ δεσπότης φιλοφρονῇ.
Φιλοφρόνημ' ἀριδείκετον,
Χάρισμ' ἐς ἡμᾶς φέρτατον
Τῆς Εὐχαριστίης πέλει
Τὸ θήϊον μυστήριον.
Ἐν Σοὶ ἐὼν ἐράσμιος
Αὐτῷ Σύ, τῇ πρὸς ἡμέας
Εὐποιΐᾳ τῇ ἐξόχῳ
Ἔτ' ἦσθ' ἐρασμιώτερος!

Κρείττων δ', ἢ ὥστ' ἀντευπαθεῖν
Δύνασθαι ἐξ ἡμῶν, Σὺ ὢν,
'Αντευνοεῖν γε ψυχόθεν
Σοι, κἀντερᾶν Σȣ ἄμμε, δός.

Μὴ ȣ̃σιν ἀντευεργετεῖν
Οἵοιςτε, καλὲ Χριστέ! Σέ
'Ανταςπάσασθαι γȣ̃ν μέλοι,
Χάριν τε τίκτοι ἡ χάρις!

Σοι πνεῦμα τȣ̓μὸν καὶ στόμα
Μάλ' εὐχαριστεῖ ἐκτενῶς,
Τοσȣ̃τον ἠγαπηκότι
Τοσαῦτα ἡμαρτηκότας!

Τὸ δ' ἐνθαδὶ μυστήριον
Τὸ θεῖον, ἡμὲν αἴτιον
Τȣ̃ εὐχαριστεῖν ἠδὲ καὶ
Πόρος τέτυκται ἄφθονος.

Τῷ χρῆσθαι ȣ̃ν τȣ́τῳ καλῶς,
Καὶ τῷ θαμίζειν εὐσεβῶς
'Επ' αὐτό, μ' εὕροις, ὦ Θεός!
Σοι εὐχάριστον καὶ φίλον. —

Τελευταία ἐπευχή.

Σὺ δ' εὐλογητός, ὦ Θεός!
Παρεῖναι ὅς με τοσσάκις
Τοῖς ἐν θυηπολίῳ πόρες
Θεηΐοισι πράγμασιν!

Μὴ θῇς δέ μοι Σὺ ἐν λόγῳ,
Εἰ παῦρον εἶχον εὐσεβῶς,
Εἰ ἧττον ἤμην αἰδόφρων,
Τόσῳ παρὼν μυστηρίῳ.

Παρὰ Σεῖο συγγνώμης τύχοι,
Ἑνικὴ Τριάς! τὸ ἡμέων
Ῥᾳθυμον ἠδ' ἀνεπίστροφον!
Ἡμῶν τὸ πλάσμ' ἐπίστασαι!
Κἂν ᾖ δὲ ἐξ ἐμεῖό γε
Μέγ' ἐλλιπὴς ἡ προςφορή,
Ἀλλ' ἐκ Θεάνδρυ παντελὴς
Φίλη τε πάντως ἐστί Σοι.
Ἓν δὴ τόδ' ἔστ', ἐφ' ᾧ ἐγὼ
Χαίρω τε καὶ χαρήσομαι,
Τὸ αἰὲν ἐκ Χριστοῖό γε
Ἄβροτον γέρας Σε λαμβάνειν.
Ἐν Τῷγε καὶ τὐμόν, Θεός!
Δύλευμά Σοι λάτρευμά τε
Ἐφανδάνοι· ὑπεὶρ ἐμῦ
Ὅγ' εὐαρεστοῖ πάντοτε!
Ναὶ, δεκτὸν εἴη Σοι θύος
Τὸ τῦ βροτείων θευπόλων
Θεηκόλοιο μείζονος,
Ὑπερτερῦντος μυρίῳ!
Εἴη δὲ κήξιλεωτικὴ
Τιμῆσσα αὕτη προςφορὴ
Ἐμοί τε πᾶσί τ', εἰς ὅσων
Σωτηρίην προςῆχά νιν.
Ἐλέοιο τῦ Σῦ ἡ χάρις
Ἔνθεν πέλοι μεθ' ἡμέων·
Ἡμῖν γένοιτ' ὀφέλλιμον
Τὸ Σοὶ ἐὸν θυμάρμενον!
Αἴροι ὁ Χριστὸς καὶ λύοι
Ὁ κατ' ἐξοχὴν Θεηπόλος
Αὐτάς τε τὰς ἁμαρτίας
Ποινάς τε τὰς ἁμαρτιῶν!

Τȣτόν γε δόντες μυστικὸν
Σφάγιον Τεῒν, ϑυμῆρες ὄν,
Καὶ ἄμμες αὐτοὶ προςφιλὴς
Θυσίη γενοίμεϑ', ὦ Θεός!
Θυσίη νόημα λῆμά τε
Λόγοι τε ἡμῶν ἔργα τε
Τῷ Σὲ σκοπεῖν γενοίατο,
Τῷ εἰς Σὲ συντείνειν ἀεί!
Θυσίη δὲ εὐωδεστάτη
Ὁ Θέανδρος εἴη Σοι, Θεός!
Κἠνταῦϑα κἄλλοις ἐν τόποις
Καὶ πανταχȣ̃ καὶ πάντοτε!
Σοὶ δ' ἐκ βροτῶν, Τριὰς—Μονάς!
Σοὶ ἐκ Θεανϑρώπȣ κλέος!
Σοὶ εἰν Ἑαυτῇ ἄφϑιτον
Κῦδός τε καὶ γῆϑος πέλοι! —

Ἔλεγος πρὸ τȣ̃ ἐξομολογεῖσϑαι.

Πνεῦμα Θεός! Σὲ δ' ἐνὶ χρείᾳ ἱκέτην με παρȣ́σῃ
Δεῖ ἐπιβώσασϑαι ἐκτενέεσσι λιταῖς.
Οὐδὲν Σȣ̃ γε δυνήσομ' ἄνευ ὁ πανάϑλιος, ȣ̓δὲν
Οὔτε κακὸν φυγέειν ȣ̈τε λαχεῖν ἀγαϑόν.
Τῷ Σὲ ταπεινόφροσιν καταλιπαρέω πραπίδεσσί,
Μοι δόμεν, ὧν ἀγαϑῶν εἰςέτι εἴμ' ἀτυχής,
Τῶν δ' αὖ τῆς ψυχῆς με ἀπαλλάξαι κοκοτήτων,
Ἠδὲ παλίνζωον πνευματικῶς ϑέμεναι. —
Πνεῦμα φεραυγές! ἐμῷ σελαηγενέτης νοΐ, πρόφρον
Ἧκον, ἔσο, ψυχῇ φωτοβόλησον ἐμῇ·
Πᾶσαν ἀποσκέδασον σκοτίην· ἀπ' ἐμεῖο μάκρυνον
Πᾶν τὸ ψυχοπλανές, πᾶν τὸ φίλαυτον ἐόν. —

Πνεῦμα ψυχοτακές! μεροπηΐϋ εἰς καλὰ θυμϋ
Κινητήρ! δαματὴρ σκληροφυῶν κραδιῶν!
Ἦτορ ἐμὸν πλῆσον στοργῆς τε φόβϋ τε ὁμοίως,
Ἁγνῆς μὲν στοργῆς, κυριακϋ δὲ φόβϋ.
Πνεῦμ' ἅγιον! μολὸν εἰς ἐμὲ σὺν χαρίτεσσι Τεαῖσιν,
Ἁπλϋν καὶ καθαρόν μϋ κτίσον ἂψ τὸ κέαρ·
Ὀρθάς μοι ἀδόλϋς τε φρένας παρασκεύασον ἔνδον,
Θές θ', οἷον φιλέεις Αὐτὸ, μένος τὸ ἐμόν.
Ἐν δὲ Τεῷ φάεϊ ἐπιγνοίην ἠμὲν ἐμαυτὸν
Ἠδὲ καὶ ὅσσα Θεϋ ἤλιτον ἀμφὶ νόμϋς.
Τῇ δὲ Τεῇ χάριτι φύντ' ἐξ ἀδίκοιο δίκαιον
Θεῦς μ' αὖθις στέργοι υἷα παλιγγενέα.
Δὸς δὲ Σὺ καὶ δύναμιν τϋ λοιπὸν μηκέτι κακῶν
Ἡττᾶσθαι παθέων τῶν Τεῖν ἀντιμάχων,
Παύσασθαι δ' ἀνόμων μεταγνόντα με, κὰδ δὲ νιγῆναι
Τὴν κραδίην, ἐφ' ὅσοις καὶ μέχρι νῦν παρέβην.—
Ὦ Θεός, ὅν, φιλέειν δέον, ϋκ ἐφίλησα τὰ πολλά,
Ἀλλ' ἀδίκησα κακῶς, οἷα δέδραχ' ὁ τάλας!
Ὡς μεγάλην, ὅτ' ἐβαπτίσθην, φιλίην τε χάριν τε
Τὴν Σὴν ἡ ψυχή μϋ λάχε πϋλὺ μάκαρ!
Αὐτὸ τὸ σῶμ' ἁγίῳ τότ' ἐτεύχθη Πνεύματι ναός,
Οὐρανίῳ ὕλη ἐν γέραϊ γεγονός.
Ἀμφοτέροιν ζαθέη ἰδ' ὑπὲρ φύσιν ἀξίη ϋσα
Ἔπλετο δωροδότϋ Πνεύματος ἐκ χάριτος.
Νῦν δὲ διαφθείρας ἄμφω ἀλιτήμασιν, αὐτοῖν
Τὴν πάρος αἰσχύνας ὤλεσα καλλοσύνην!
Ἥμαρτον, τὰ Σὰ δῶρα, Θεός! κακοποιὸς ὀλέσσας,
Καὶ καταχρησάμενος τοῖς παρὰ Σεῖο καλοῖς!
Οὐ χρῆν ϋδ' ἔπρεπεν, τόσα τοιά τέ μ' ἐσθλὰ λαβόντα,
Σοὶ, ὃς ταῦτα πόρες, τὼς ἀχάριστον ἔμεν!
Κύριε παντόκρατορ! μετάνοιαν γϋν ἐπὶ κακοῖς
Μοι δός, ἐπεὶ ϋκ ἦν εὐχάριτος ἀγαθοῖς!—

Ὦ Πάτερ, ἀνθρώποις εὐεργέτα πȣλὺ μέγιστε,
Μȣ̃νε δέ, συγγνώμων μȣ τὸ ἄγνωμον ὅρα!
Μὴ τιμωρήσῃ με, Πάτερ, τῷ μηκέτι μοί Σε
Ἢ κάκ' ἀποσκεδάσαι ἢ ὀπάσαι ἀγαθά!
Τῶν δὲ κακῶν τȣτὶ, τὸ ἁμαρτέμεν εἰς Σὲ, κάκιστον,
Καὶ, τὸ ἁμαρτωλῆς μιμνέμεν εἰν ἐνοχῇ!
Κεῖνο δὲ κάρτιστον, τὸ Σὲ μὲν προβεβȣλέναι ἄλλων,
Ἠδ' ἐγκαρτερέειν Σῇ ἀγάπῃ μονίμως. —
Ὦ Θεός, ὦ κάλλος τὸ πάλαι, πάλι καινόν, ἀγήρων,
Ἀΐθαλές, ταὐτὸν πάντοτ', ἀεὶ ἐρατόν,
Ἀρχαῖον, ἀδιάφθορον, ἀνθέον εἰςέτι καὶ νῦν,
Ταῖς λογικαῖς φύσεσιν ἀξιεραστότατον!
Ὀψὲ Σὲ γιγνώσκων, αἰδȣ́μενος ἄρχομαι ὀψὲ
Σχέτλιος, ὀψὲ φιλῶν, ὀψὲ τὰ Σὰ φρονέων!
Μικρὸς τοσσȣ́τȣ Σέθεν, ȣ̓τιδανός τε τοιȣ́τȣ
Ἦν ἀνεπίστρεπτος καὶ ὀλίγωρος ἐγώ!
Κτίστορ ἐμεῦ! σῶστα! ξυνοχεῦ! εὐποιὲ μάλιστα
Καὶ τῷ ὄντι πάτερ! δέσποτα καὶ Θεέ μȣ,
Εἰν Αὐτῷ ἀγαθ' ἀπλήστως καὶ καλὲ καθ' Αὐτόν,
Ὧν ἐτύμως τὸ καλὸν, τὠγαθὸν ὢν φυσικῶς!
Κέντρα γε καὶ προτροπαὶ ἐπὶ τὴν Σὴν μυρίαι ἦσαν
Ἠδ' εἰσὶν φιλίην· ȣ̓δ' ἐφίλȣν Σὲ ὅμως!
Ἥμαρτον δ', ἰδ' ἀπειρεσίȣ ἀγαθοῖο ἁμαρτὼν
Τηλοτέρω γενόμην, εἰς τὰ χέρεια τραπείς!
Πᾶσ', ὀλίγῃ περ ἐȣ̃σα, κακόν τι ἄπειρον ἁμαρτάς,
Τῷ γε ἀπειράντῳ ἀντιλέγȣσ' ἀγαθῷ!
Ἐστὶ δ' ἀποτροπή, ἐστιν ἀπόστασις ἡ ἀπὸ Σεῖο
Ταὐτὸν τῷ ὑπάτȣ ἀποτυχεῖν ἀγαθȣ̃.
Ἄμμι Σὺ θεσμοθέτης πανυπέρτατος ἠδὲ δικαστής·
Τὸν μὲν ἄρ' αἰδεῖσθαι, τὸν δὲ φοβεῖσθαι ἔδει.
Αὐτὰρ ἔμ' ȣ̓́τ' αἰδὼς ȣ̓́τ' ἴσχε φόβος γε Τεοῖο,
Σοῖς δὲ νόμοις φερόμην πολλάκις ἀντίβιος!

Καὶ τὸ θέλημα τὸ Σόν, σεμνόν θ᾽ ἅγιόν τε καὶ εὔνυν,
Ὃν τὸ μέλημ᾽ ἀγαθοῖς, μοι ἀμελεῖτο κακῶς! —
Νῦν δέ γέ μοι μετὰ πάγχυ μέλει παραβάντι θέμιστας
Τὰς Σάς, κήφετμῶν σχόντι Τεῶν ἀμελῶς.
Εἴθε δέ, ὅσσον μὲν τὸ ἁμάρτιον αὐτό, τοσαύτη
Καὶ ἡ ἐξ αὐτῦ μοι μετάνοια πέλοι!
Δὸς τὸ ὑπὲρ φύσιν ὄν, περὶ ὅσσων ἤμβροτον, ἄλγος
Εἰς ἐμέ, δὸς καθαρὸν κεἰλικρινὲς τὸ ἄχος!
Λύπη καὶ πένθος καὶ θρῆνος ὁ ὢν κατὰ Πνεῦμα
Γνήσιος, ἐξ ὅσσων ἤμπλακον εἰς Σέ, μ᾽ ἕλοι!
Πᾶν δὲ τὸ λειπόμενον ἡ Σὴ δύναμίς τε χάρις τέ
Μοι ἐκπληρώσαι, Πνεῦμα Θεοῖο Θεός!
Λυπηθέν πέρ μοι, καὶ ἐξ ἐμέθεν φυγαδευθέν,
Ἵλαθι, κεὐμενέον μοι ἐπάνελθε πάλιν. —
Σεῖο διδάξαντος, Θεὸς Υἱέ! ἁμαρτάδα πᾶσαν
Πιστεύω ἄφετον Σῇ ἔμεν οἰκτοσύνῃ.
Σεῖό γ᾽ ὑποσχομένυ ἄφεσιν μεταγνῦσιν, ἔολπα
Κἀμοὶ συγγνώμης τῆς παρὰ Σεῖο χάριν.
Συγγνώμης δὲ τυχὼν τῶν μυ ἀλιτημοσυνάων
Τῶν προϋπαρξασῶν, μηκέτι ἀμπλακιῶν
Ἔκ γε προαιρέσεως δραστὴρ πάλιν αὖθι γενοίμην,
Ἀλλ᾽ εὕροις με Τεὶν πιστὸν ἐόντα λάτριν!
Ἤδε νύ μοι πρόθεσις καὶ γνώμη καὶ διάνοια,
Εὖ ἀπὸ τῦδε βιῦν ἠδὲ θεοδρομέειν,
Κἠπὶ τὸ βέλτιον σπυδῇ σὺν πλείονι τείνειν,
Καὶ μελετᾶν τό, ὅπως Σὸν κατὰ νῦν ἔσομαι.
Πνεῦμα πρόθυμον· ἀτὰρ σὰρξ ἀσθενέει! Ἐλεήσας
Σοῖς θὲς στηριγμοῖς ἐνδύναμόν με, Θεός! —
Δηλώσαιμι δ᾽ ἐγών, ὅσ᾽ ἐμαυτῷ φαῦλα σύνοιδα,
Ὀρθῶς καὶ τελέως, ὡς Τεὶν, ὐχὶ βροτῷ·
Σὴν γὰρ ἔχει ὁ ἀνὴρ, τὰ ἁμάρτια ᾧ φανερῶσαι
Χρὴ, χώρην ἱερήν, Σὸν τόπον ἠδὲ κράτος.

Θωῦτὸν ἡ ϑεϊκὴ ἐξυσία ἡ ἱερήων,
Καὶ τριπόϑητον ἐμοί, πολλά γ' ἀλιτροβίῳ!
Μέλλω γ', ὧν ἐπὶ γῆς με ἀφήσει ἀμπλακιάων
Ἱρεὺς, γίγνεσϑαί καὶ λυτὸς εἰνὶ πόλῳ. —
Χριστέ, Τεῶν ἔργων παϑέων τε παναρκέα καρπὸν
Καὶ ἐς ἐμεὶ χάρισαι, πήματ' ἀκεσσόμενον!
Δός μοι, ἐφ' οἷς ἀμφοῖν ἅμ' ἐνεργῶς ἀπολυϑείην,
Τῆς τε ἁμαρτωλῆς τῆς τ' ἐπὶ τῇγε δίκης.
Μοι τὸ καταλλάσσον τυτὶ μυστήριον αὐτὸ
Προςϑείῃ, ὅσσων ἐνδέομαι ἀρετῶν.
Ἰσχὺν ἔχει ἰδίην Θεόϑεν τόγε, τῦ ἱκανῶσαι
Ἡμᾶς, πληρῶσαί τ', ἐλλιπὲς εἴ τι ἔτι.
Τῦτό ῥα τὸ ξυνὸν ϑνητοῖς σωτήριον, ὅσσοι
Ἤλιτον εἰς Σέ, Θεός! κἀμοὶ ὄνησις ἔοι! —
Τραύματα τὰ ψυχῆς ἄκεσαι, τὔλλειμμα τὸ πυλὺ
Μυ ἐπανόρϑωσον τῷ μετόπισϑε καλῷ.
Τιμήσας ὀλίγον μέχρι τύτυ Σέ, Κτίτορ! ἀλλὰ
Μᾶλλον ἀτιμήσας, εἴς γε τὸ μέλλον ἔτι
Τιμῴην μάλα τῷ προςέχειν τέ με κηπιτίϑεσϑαι
Σπυδαίοις ἔργοις ἔν τε Σοὶ εὐδοκίμοις.
Τιμῴην δέ Σ' ὁμῦ καὶ τῷ τὰ δεδογμένα δεινὰ
Πρόφρονι τῇ κραδίῃ ἀσμενίσαντα φέρειν·
Χὠ μὴ δὺς ἱκανὸν καλὴν βιότητα βιώσας,
Πρόςτιμον δοίην Σοι τὰ δίκαια παϑών.
Τῦτο δίκαιον ὅλως, τὸν μὴ εὖ μηδὲ νομιστὶ
Χρησάμενον βιοτῇ, μή τι καὶ εὐπαϑέειν.
Ἢ ποιῆσαι ἢ τλῆναί γ' ἱκανόν με, ἀνάγκη·
Τληπαϑέειν δ' εἴη ὧδέ με, μηδέ γ' ἐκεῖ! —
Πῶς δέ κε τῦ ἱκανοῖο γενοίμην ἠὲ ποιητὴς
Σοι, Θεός! ἠὲ δότης αὐτὸς ἐγὼν ὁ τάλας;
Εἰ γὰρ χρὴ τὸ ὀφειλόμενον δόμεν ἐξ ἐμεωυτῦ
Τίσαντ', ὀφλητὴς ἔσσομ' ἀεί ποτέ Σοι!

Ποίησόν με, Θεός! τὸν ὑπὸ χρέος ὄντα μετασχεῖν,
Τȣ̃ ἔδοσαν τόσσοι Σοὶ Ἅγιοι ἱκανȣ̃.
Τȣ́ςγε θεησάμενος, τὸ ἐμὸν Σὺ κατάχρεον ȣ̓κ ἂν
Εἰνὶ λόγῳ θείης, καὶ μάλα πολλὸν ἐόν.
Ἄθρησον δὲ τὰ τῆς Μαρίης καλὰ κἀγαθὰ πάντα,
Κἀμοὶ τῶν τι μέρος τρέψον ἐς ὠφελίην.
Τȣ̃ Χριστȣ̃ δὲ μάλιστα, Πάτερ! ἀρετάς τε καὶ ἔργα
Καὶ τιμὰς ἐςίδοις τὰς ὑπὲρ ἀμπλακιῶν.
Χριστός μοι κρατερὸν σωτήριόν ἐστιν ἀλιτρῷ,
Ἐλπίς μοι Χριστός, ἄρκιος ὢν ἐς ἅπαν. —
Ἐν Χριστῷ Σοὶ μὲν, Γενετὴρ καὶ Πνεῦμα! τὸ κῦδος·
Αὐτὰρ ἐμοὶ ἀφανεῖς εἶεν ἀλιτροσύναι!
Ἶσα γὰρ εὐκλεΐσῃ καὶ τῷ χαρίσασθαι ἀποινεὶ
Καὶ τῷ ἐκδικάσαι ἔργα τὰ κακὰ βροτῶν.
Ἀλλ' ἐπ' ἐμοὶ τῷ μὴ ἀφιλοικτίρμων, Τριάς! εἶναι
Κλειτὴ, καὶ τῇ Σῇ ἠπιότητι γενȣ̃! —

Ὕμνος μετὰ τὸ ἐξομολογήσασθαι.

Μεγάλως Σὺ ἐπαινετὸς ἔσσο,
Πάτερ Υἱέ τε Πνεῦμά τε ἁγνόν!
Ὅτι μοι συνέγνως ἀλιτηρῷ,
Ὅτι μȣ τὸ ἁμάρτιον ἦρας!
Χάρις, ὦ Πάτερ ȣ̓ρανιώνων!
Τεῖν, ȣ̔̃νεκά μ' αὖθις ἐδέξω,
Καὶ υἱοθέτησας Ἑαυτῷ,
Τὸν ἀνάξιον ἠδ' ἀχάριστον!
Χάρις, Υἱέ! Τεῖν τὸ προςῆκον,
Ὑπερεκτίσαντί γ' ἐμεῖο,
Πορίσαντι τὸ πληροφόρημα
Τά τ' ἄποινα τὰ ἀντ' ἀθεμίστȣ!

Τίνη δὲ ὁμῶς χάρις εἴη,
Ὦ Πνεῦμα! τὸ τȣ̃ ἁγιασμȣ̃
Ἀρχηγὸς ἐὸν, χάριτός τε
Τῆς υἱοποιησαμένης με!
Χάρις εὐλογίη τε τετίσθω,
Ἀνθ᾽ ὧν, Τριὰς ȣ̃σα Μονάς τέ,
Μοι ἡ Θεότης πόρες ἐσθλῶν
Τῇδ' ἐν μυστηρίδι χρήσει!
Ἐγκαρτερέειν δέ με εἰς τὸν
Μετέπειτα χρόνον Τεΐν, ἠδὲ
Τὰ Τεȣ̃ ἐλέοιο φυλάττειν
Δός μ' ἔμπεδα, Κύριε! δῶρα.
Σύ, Τεοῖο τοσαυτάκις αἰσχρῶς
Με λελησμένον, ȣ̓κ ἀπετίσω
Ἐπιλησμοσύνης ποτ' ἀμοιβῇ,
Μνησάσκεο δ' εἰς ἀγαθόν μευ.
Φιλέοιμι Σέ γ' ὕστερον ἔμπης·
Ὑβρίων δὲ τόσῳ ἀπεχοίμην
Ἀλιτημοσυνῶν τε, ὅσῳ καὶ
Μεμάθηκα Σὲ εἰς ἐμὲ χρηστόν! —
Οἰκτίρμονα χ' ἵλαον εἰδώς,
Θεός! ὄντα Σέ, πρὸς Σὲ πεποιθὼς
Ἐτράπην, τυχέειν μενεαίνων
Συγγνωμοσύνης παρὰ Σεῖο.
Ταύτης νυν ἐγὼ τετυχηκώς,
Σὲ τὸ λοιπὸν ἀεὶ ἀγαπῴην,
Μηδ' αὖθι κακός γε γενοίμην,
Διότι ἀγαθὸς Σὺ καὶ εὔνȣς!
Καὶ μικρὰ δὲ μηκέτ' ἔπειτα
Παραβῆναι, ἕτοιμος ἔοιμι·
Φιλέει δὲ κάκ' ἐξ ἐλαχίστων
Ἀμελȣ̃σι μέγιστα γενέσθαι.

'Αλλ' ὅτι ποτ' ἔπλετο μικρὸν
Τὸ παραιβαδὸν ἀτραπιτοῖο
Τῶν Σεῖο θεμιστοσυνάων
Γεγονός, Πάτερ! ἐξ ἀνθρώπων.
Βαιόν τι δοκοῦν ἀλίτημα
Συγγνωμονικόν τε, φύγοιμι·
Μάχεταί γ', ὅ,τι κακὸν ὁπωςοῦν,
Σοὶ τῷ ἀγαθῷ ἁγίῳ τε.
Ὅ,τι δὴ Τεῒν οἶδ' ἀπάρεστον,
Βραχύ πέρ τι ἐόν, μελέτω μοι·
Φιλέει δὲ Σὲ μεῖον ὁ μὴ Σεῦ
Κὴν μειοτέροις ἀλεγίζων. —
Πόρε οὖν, θεράποντά με πιστὸν
Τεῒν ἐνδελεχῶς ὑπακούειν,
Τὰ Σὰ ἀζόμενον κλυτὰ θεσμά,
'Επιπειθόμενον μάλα πάντα.
Κατὰ τὰς παρὰ Σεῖο θέμιστας
Τὰ νοήματα τἀμὰ γένοιτο,
Τό τ' ἐμὸν διόλου ἐπιθυμεῖν,
Τά τε ῥήματα πάντα καὶ ἔργα!
Τῦφος, θυμὸς, φθόνος, ὄκνος,
Ἅμ' ἀδηφαγίῃ τε μέθῃ τε,
Πλεονεκτικὰ πάντα καὶ αἰσχρὰ,
'Απ' ἐμεῖο γενοίατο μακράν!
Θὲς σώφρονα κἀκενόδοξον,
Αἰδήμονα νηφάλιόν τε,
Ψυχήν τε δέμας τέ μ' ἁγνεύειν·
Χρόα πνεῦμά τε ἁγνοπόλον λῇς.
Φιλαληθέα καὶ φιλόχρηστον,
Εὐπειθέα, τοῖς Σὺ κελεύεις,
Δὸς ἔμεν με, καὶ ἐμπεδόμητιν,
Πολύωρον, τῶν κε Σὺ βούλῃ.

Μὴ δῷς ποτ' ἄθυμον ἀελπτεῖν,
Μηδ' αὖ θρασέως νοῒ κύφῳ
'Ελπίζειν· πᾶσα δ' ἀπείη
'Η εἰς τὸ Πνεῦμα ἁμαρτάς!

Αὐτός τε κακῶν ἀπεχοίμην,
Μήτ' εἴην ἄιτιος ἄλλοις·
Σὺ τὸ ἀλλότριόν τ' ἴδιόν τε
'Απερύξαις φαῦλον ἐμεῖο!

Αἰσθητικὸν, ὧν ἀγαπάζεις,
Βυλητικὸν, ὧν Σὺ θέλεις, με
Θές, πρακτικὸν, ὧν προςέταξας,
Καὶ φευκτικὸν, ὧν Σύγε μισεῖς.

Σοὶ εἰς τό γε λοιπὸν ἄδοιμι!
Στήριξον δ' ἀσταθέ' ὄντα
Καὶ εἰς τὰ πρὶν εὐμετάβλητον·
"Οντ' ἀσθενέ' ἐνδυνάμωσον! —

'Επὶ Σοὶ ἐνὶ πᾶσι πέποιθα·
Μή μ', ὐδαμινόν περ, ἀπώσῃ,
Τὸν ἐελπόμενον, Θεός! εἰς Σέ,
Ζητῦντά τε Σὴν ἐλεητύν.

Κἀγὼ διὰ Σεῖο γενοίμην
'Εν τοῖς μακάρεσσιν ἐκείνοις
Τοῖς ἐς χρόνον ἀενάοντα
"Ελεος τὸ Σὸν ὑμνήσυσιν!

Σέο τὴν χάριν, ὦ Θεός! ἐσθλήν
Μοι ξυντήρησον ἐς αἰεί.
Σοὶ δ' εἰς αἰῶνας ἀπείρυς
'Η δόξ' ἀγαθυργήσαντι! —

Θρηνῳδημα πρὸ τῆς ἐξομολογήσεως.

Κῦφον ὁ ἄνθρωπος κἀγχίστροφον ἠδ' ἀβέβαιον,
Κινύμενόν τ' ἐλαφρῇ εἰς τὰ χέρεια ῥοπῇ!
Συγγνώμης τοσάκις παρὰ Σῦ, Θεὸς ἐσθλέ! τυχόντες,
Αὖθις ἁμαρτωλοὶ εἰς Σὲ ἐλεγχόμεθα!
Ἣν τ' οἰκτειρήσας ἔπορες χάριν, οἱ ῥᾴθυμοι
Αἷσιν ἀτασθαλίαις αὖ πάλιν ὠλέσαμεν!
Σῦ τ' ὄντος μεγάλως ἀγαθῦ ἅμα καὶ ἀγαθυργῦ,
Ἄμμες ὅμως κακοὶ καὶ κακοεργοὶ ἐμέν!
Φεῦ τῆς ἡμετέρης ἀγνωμοσύνης τῆς πολλῆς!
Φεῦ τῶν ἡμετέρων νωλεμὲς ἀμπλακιῶν!
Φεῦ ἡμῶν! ὐαὶ ἄμμι! τί δράσομεν οἱ δύστηνοι
Ἠδ' ἐναμάρτητοι, νηλεόποινος ἂν ᾖς; —
Ἵλαθί μοι ὁ Θεός, καὶ πραϋνθείς μ' ἐλέησον,
Σεῖο κατ' οἰκτιρμὸν τὸν πολὺν ἠδὲ μέγαν!
Ἐκ δὲ τά μυ φιλόφρων ἀνομήματα ποικίλ' ἄλειψον·
Καλλυντὴρ ψυχῆς αἴσχεα ἆρον ἐμῆς!
Πλῦνον ἐπιπλεῖόν με, ἀφ' ὧν ἐποίησα δυσάγνων,
Καὶ καθαρόν μ', ἀφ' ὅσων ἤλιτον εἰς Σέ, θεό!
Γιγνώσκω γὰρ ἐγὼ τὰ ἁμάρτιά μυ· πρὸ δὲ ὄσσων
Τἀμὰ παριστάμενα πταίσματα λυγρὰ πέλει!
Μὴ κατακρίνῃς μυ· ἀλλ' αἰσθέσθαι με ποίησον
Σὴν ἐλεημοσύνην, μηδὲ δικαιοσύνην!
Σοί, Θεός! ἥμαρτον· Σοὶ δ' ἔκφαμαι ἔκ τ' ὀνομάζω
Πᾶν τὸ πονηρὸν, ὅπερ δῦλος ἔρεξα κακός!
Σοὶ δηλὴ κραδίῃ μυ· Σοὶ γὰρ ἀπόκρυφον ὐδέν·
Αὐτὸ δὲ Σοὶ τρανῶς μυ τὸ θέλημα λαλεῖ.
Οἴκτειρόν με! Ἰδὺ, ἐν ἁμαρτάσι καὶ συνελήφθην,
Οὐδ' ἰδίης ἄκακος μητέρος ἐκγενόμην!
Ῥάντισον ὑσσώπῳ νοερῇ με· γενήσομαι ἁγνός·
Λῦσον καὶ ῥύψον· χιονόχρυς ἔσομαι!

Ὡς πατέρος τῆς Σῆς γλυκερῆς με ἀκϑτισον αὐδῆς,
Ὡς ἱλασθέντος παιδὶ ἑῷ πατέρος!
Ταύτην εὐφροσύνην μοι χαρμοσύνην τε δὸς αὖθις,
Τϑ̃ με κτήσασθαι εὐμενέτην Σὲ πάλιν.
Πρᾶος ἀπόστρεψον τὸ πρόσωπόν Σϑ ἀπ' ἐμάων
Πάμπαν ἀπιστοσυνῶν καὶ ἀλιτημοσυνῶν!
Τὴν κραδίην ἐν ἐμοὶ καθαρὴν κτίσον, ἠδὲ τὸ πνεῦμα
Μοι ἐγκαίνισσον πάντα κατ' ἔγκατά μϑ!
Μή με ἀποῤῥίψῃς ἀπὸ Σϑ̃ γλυκεροῖο προσώπϑ,
Μηδὲ χάριν τὴν Σὴν ἀντανέλῃς ἀπ' ἐμϑ̃!
Δὸς καὶ νῦν αὖθις ἐπὶ Σοὶ σώσαντί με γηθεῖν,
Καί με στήριξον Πνεύματί Σϑ ἁγίῳ!
Σὰς δὲ ὁδϑ̀ς τὰς εὐθείας ἄνομόν με δίδαξον,
Ἠδέ μ' ἐπίστρεψον πρὸς Σὲ ἀκεσσόμενος!
Ῥῦσαί μ' ἐξ ὀλέθροιο, Θεός! φεῖσαί τε ἀλιτρϑ̃!
Αἶνον Σοὶ δώσω ἀντὶ φιλοφροσύνης. —
Κύριε παντόκρατόρ! μϑ τἄντρομα χεῖλε' ἄνοιξον·
Ἐξερέω κακίας ἠδ' ἀδικήματ' ἐμά·
Καὶ στόμα τϑ̀μὸν ἀναγγελέει Σὴν ἠπιότητα,
Χἠ μϑ γλῶσσα Τεὰς τὰς πάνυ οἰκτοσύνας.
Θῦμα τί Σοὶ ἄξω; Ὁλοκαύτωμ' ϑ̓κ ἐθελήσεις,
Οὐ μόσχων κριῶν τ', ϑ̓κ ἐρίφων σφάγια!
Σοὶ θυσίη τὸ ἀλιτρϑ̃ς πνεύματι συντετρῖφθαι,
Καὶ τεταπεινῶσθαι κηρόθι δυςσεβέας.
Οἰκοδόμησόν μϑ τὰ ἐρείψιμα, καί μ' ἀγάθυνον,
Ὦ Πάτερ! ἐν τῇ Σῇ ἵλαος εὐδοκίῃ!
Νεῦσον ὁ Πανδύναμος· γεγενήσομαι αὖθι δίκαιος
Ἐξ ἀδίκϑ, τέκνον τ' εὐσεβὲς ἐξ ἀσεβϑ̃ς!
Εὐροίμην Σὲ ἐγὼν ἐλεήμονα λυσίκακόν τε,
Σῇ μὲν ἐπ' εὐκλεΐῃ, ὠφελίῃ δ' ἐπ' ἐμῇ!
Δοξολογεῖν ἐς ἀεὶ Σέ, Θεός! τοῖς Σοῖσι γενοίμην
Ἄξιος οἰκτιρμοῖς, χῶσσον ἔνεσθ', ἱκανός! —

Εὐχαριστήριος ψαλμὸς μετὰ τὴν ἐξομολόγησιν.

Τόν σοι εὐμενικὸν Κύριον εὐλόγει,
Ἦτόρ μου! τά τ' ἐμοῦς ἐντὸς ἅπαντα τὸ
Σεμνὸν καὶ ἅγιον Κτίστορος οὔνομα
Σπουδαίως μεγαλύνετε!

Ψυχή μου! μεγάλως αἴνεε τὸν Θεόν,
Τὸν ῥυστῆρα τεῒν ἠδ' ἐπαμύντορα·
Τῶν δ' εὐεργεσιῶν μὴ ἐπιλήθεο
Τῶν ἐκ τῆς θεϊκῆς χερός!

Τὸν συγγνώμον' ἄγαν ὕμνεε Δεσπότην,
Πράως σχόντα λίην σοῖς ἀνομήμασι,
Λυγρὰς ἶφι νόσους σοι ἀνιώμενον,
Καὶ σώζοντά σε ἐκ φθορῆς!

Αἰδ' εὐεργετικὸν καὶ στεφανοῦντά Μιν
Πολλῷ σ' εἰν ἐλέει ἠδ' ἀγαθωσύνῃ,
Τὴν σὴν εἰν ἀγαθοῖς ποικιλοτερπέσιν
'Εμπιπλῶντ' ἐπιθυμίην!

Σου τὴν ἐντὸς ἔθη καινότροπον φύσιν·
Εὔνους σοι τὸ Ἑὸν χρηστὸν ἐγνώρισεν·
Οἰκτίρμων, ἀγανὸς καὶ μακρόθυμος ἦν
Καὶ νῦν ἀμφὶ σὲ Κύριος!

Οὐκ ὀργήν, ἔλεον δ' ᾔσθεο σοῦ Θεοῦ·
Συγγνώμην δὲ παρέσχ', οὐδ' ἐποίησέ σοι,
Ὡς καὶ ἀξίη ἦς, σὰς καθ' ἁμαρτίας,
Οὐ κάκ' ἀνταπέδωκέ σοι!

Ταύτης ὅσσον ἀπαὶ γῆς πέλετ' οὐρανός,
Καὶ δυσμῆς ἀπέχει ἀντολίῃ ὅσον,
Τόσσον Παντοκρατὴρ σοῦ ἐμάκρυν' ἄπο
Ὕβρεις κἀνομίας τεάς.

Οἰκτείρει δὲ καθὼς τὺς ἰδίυς πατὴρ
Υἱὺς ἠπιάων, ὧδε ὁ Κύριος
Ὠικτείρησέ σε, καὶ πραΰνοος τὰ σὰ
Ἦρε παίσματ' ἀναξίης.

Ἔγνω γ' ἄμμε Θεὸς πλάσμα τε ἡμέων·
Ἐμνήσθη, ὅτι χὖς ἐσμὲν ἰδὲ σποδός,
Καὶ χόρτοιο δίκην ἤματα τἀνέρων,
Φθαρτοί τ' αὐτοὶ ἅμ' ἄνθεσιν.

Τὺν ἡμῖν ταχέως πνεῦμα διέρχεται,
Καὶ ὐδ' ἓν μόνιμον τῶν μεροπηΐων·
Μῦνος τῶν συνόλων Θεῦς ἀμετάτροπος,
Μῦνον Τὖγ' ἔλεος μένει.

Ναὶ, Τὖτυ γ' ἔλεος πᾶσι φοβυμένοις
Μιν καὶ ἁζομένοις κὴπικαλυμένοις
Ζητὺντεσσί θ' ἁπλῷ ἠδ' ἀδόλῳ νόῳ
Εἰς αἰῶνα φυλάττεται.

Θῆκ' εἰν ὐρανίοις Κύριος Ὃν θρόνον,
Καὶ Ἣν δεσποσύνην ὑψόθεν ἀσκέει
Εἰς θνητὺς, ἐλεῶν, ἢν μεταγνῶσί γε,
Καὐτὺς τὺς ἀλιτήμονας. —

Σύμπαντές ῥα Θεὸν δοξολογεῖτέ μοι,
Καὶ νῷ καὶ δυνατοὶ ἰσχΰϊ Ἄγγελοι,
Οἱ τὸν Τὖγ' ἀόκνως δρῶντες ἀεὶ λόγον,
Καὶ πᾶν λῆμα, τὸ λῇ Ὅγε!

Ὑμεῖς γ', ὦ δυνάμεις αἱ ἐν ἀνωτέροις,
Λειτυργοί τε Θεῦ ἔξοχοι, ᾄδετε!
Καὶ τῶν Κυριακῶν πάντα μάλ' ἔργματα
Χειρῶν, τὸν Κτίτορ' ᾄδετε!

Κἀγὼ δ' ᾄσομ' ἐμῷ ἀὲ Δυνάστορι·
Ναὶ, καὐτὸς ψαλέω μέχρι μόρυ Θεῷ.
Προσδεκτὸς δὲ πέλοι ὕμνος ὁ ἐξ ἐμῦ
Αὐτῷ, καὶ ὀλίγος περ ὤν! —

'Εν Σοὶ εὐφροσύνη ἔσσεται ἡ ἐμή,
Καὶ τήν μυ ἐπὶ Σοὶ θήσομαι ἐλπίδα·
Τύνη ἐλπὶς ἐμοί, Κοίρανε παγκρατές!
Καὶ φῶς καὶ παραμύθιον.

Σῦ μὲν δόντος, ὅλων Δέσποτα! συλλέγω·
Σῆς δ' ἐξ ἐσθλὰ χερὸς χρηστά τε λαμβάνω·
'Εκ τῦ Σῦ ὁ πένης πλύσιος ἔμπαλιν
Ὄλβυ γίγνομ' ἀνεκλιπῦς.

Σῦ δ' αὖ μὴ πρόφρονος, πάντα ταράσσεται,
'Εκλείπει τε πρόπαν πνεῦμα βροτήσιον·
Εἰς χῦν τὸν πρότερον πάντ' ἐπαναστρέφει,
Σῦ κτισθεῖσιν ἀνίλεω.

'Εκ δ' αὖθις τὸ Τεὸν Πνεῦμα ἀποστελεῖς·
Θήσεις ὀρθὰ τὰ πάντ' ἠδ' ἀνακαινιεῖς-.
Ἡ κτιστὺς κρατερῶς κτίζεται ἐκ νέυ
Κἀκμάζυσα καθίσταται. —

Ἤτω δόξα Τεϊν ἄφθιτος, ὦ Ἄνα!
Καὶ ψυχὴ Σὲ ἐμὴ πάντοτε κλειέτω,
Μηδ' ᾄδυσά γ' ἐμὴ γλῶττα Σὲ ληγέτω
Τὸν χρηστόν τε καὶ ἵλεων!

'Εκλείποι ἀπ' ἐμῦ πᾶσα ἁμαρτία!
'Εκλείποιμι ποιῶν πᾶν τὸ θεοστυγές!
'Εκλείποι ἀπὸ γῆς τἄνομα παντελῶς,
Ὡς καὶ μηκέθ' ὑπαρχέμεν!

Εἴη μυ μόνιμος ἡ μετάνοια, καὶ
'Ισχυρὴ μάλ' ἐμὴ πρὸς Σὲ ἐπιστροφή!
Γιγνοίμην μεταγνὺς γῆθος ἐν 'Αγγέλοις
Σῷ, Κτιστήρ! ἐπὶ κύδεϊ! —

Ὕμνος πρὸ τȣ̃ κυριακȣ̃ δείπνȣ.

Ὦ Χριστέ, Υἱὲ καὶ Θεȣ̃ καὶ Παρθένȣ,
Ἄμφω ὑπάρχων ἀτρεκῶς
Θεός τε φώς τε ἐν μιᾷ Ὑποστάσει,
Γένοιό μοι ἱλασμένος!
Μὴ φεῦγ', Ἰησȣ̃! μηδ' ἄρ ἐλλόγει τό μȣ
Ἀλιτρὸν ἠδ' ἀνάξιον!
Τίς γάρ κε τȣ̃ προςελθέμεν καὶ Ἀγγέλων
Σοί γ' εὑρεθείη ἄξιος;
Πόσῳ τοι ἧττον τῆς Τεῆς οἰκήϊος
Ὁ γηγενὴς ξυνȣσίης!
Προςέρχομαι δ' ὅμως· πέποιθα γȣ̃ν Σέο
Τῇ χρηστότητι κἀγάπῃ.
Σὺ δ' αὐτὸς ἐλθεῖν πρὸς Σὲ ἡμέας κέλῃ,
Τȣ̀ς μοχθέοντας καὶ βαρεῖς
Ἁμαρτίαισι ποικίλοισί τ' ἄχθεσι
Φὰς κȣφίσειν κἀμπαυσέμεν. —
Κληθεὶς, ἰδȣ̀, Τεΐν πρόςειμι, πείθομαι
Τῷ Σῷ γλυκεῖ κελεύσματι.
Οὐκ ἔστι τόλμη τȣ̃το, ȣ̓δ' ἰταμὸν θράσος,
Ἀλλ' ἐστὶ θάρσος εὐσεβές.
Τοῖς γὰρ κακῶς ἔχȣσι καὶ νȣσαχθέσιν
Ἀκεςφόρος Σὺ ἤλυθες. —
Σέ, Χριστέ! πιστεύω παρόντ' ἐνταῦθά μοι
Τρόποις ἰητρὸν θωϋτοῖς.
Σὺ δ' ἐλπίς ἐσσί μοι, Σὺ ἡ πρόπασά μȣ
Τῆς καρδίης πεποιθίη,
Τὴν ἔνθεόν Σȣ σάρκα ὅς μοι πνεύματος
Τροφὴν δίδως καὶ φάρμακον.
Ὡς χρηστὸς εἶς! ὡς ἤπιος κοινός τε Σύ!
Ὡς εἶς, Ἰησȣ̃! εὔχαρις!

Φιλοῖμι Σέ, ἱμερτὲ Σῶστα! κηρόθι,
Φιλοῖμι μᾶλλον τῶν ὅλων!
'Ερασταὶ ἁγνέ, Χριστέ, τȣ̃ βροτῶν γένȣς!
Χάρισαι τὸ Σȣ̃ με ἀντερᾶν! —
'Ως μέχρι τȣ̃δ' ὀλίγον φίλησα! ὡς βραδὺς,
Φιλεῖν καὶ ὀψέ γ', εἰμὶ, Σέ!
Εὑρίσκομαι ψυχρὸς τὸ κῆρ καὶ νῦν ἔτι,
'Απαθής τε κἀναίσθητος ὤν!
Πȣ̃ ἡ πρέπȣσα εἰς Σὲ εὐσέβειά μȣ;
Σύγγνωθι δ', ὦ Παγκοίρανε!
Μετὰ γὰρ μέλει μοι τῆς ἐμῆς ἀστοργίης
Καὶ ψυχρότητος ἀμφὶ Σέ.
Σπȣδαιότητα δ' ὕστερόν γε πλείονα
"Εχοιμι τȣ̃ Σὲ στεργέμεν!
Λίην γὰρ αἰσχρὸν, εἰ, τόσον φιλῶν ἐμέ,
'Αφίλητος ἐξ ἐμȣ̃ ἔσῃ!
'Αγάπη μὲν ȣ̉δὲν ἡ ἐμὴ πρὸς τὴν Τεήν,
'Ως καὐτὸς ȣ̉δὲν πρός γε Σέ.
'Απείριτον δ' ὅσον φιλητὸς ὤν, τὸ γȣ̃ν
'Επ' ἐμοὶ φιλοῖο γνησίως.
Οὐ Σοίγ' ἐμεῖο χρῆσις ȣ̉δεμί', ἀλλ' ἐμοὶ
Τεοῖο νωλεμὴς χρεώ.
Καὶ ȣ̉ δέον δὲ Σοὶ ἐμȣ̃, καλεῖς ὅμως
Με πρὸς Σὲ μύθοις φιλίοις. —
'Επιθυμέω, ποθῶ, καραδοκῶ σφόδρα,
Σοὶ ἐντυχὼν ὁμιλέειν,
Σὲ εἰς ἐμὴν λαβεῖν, Γλύκιστε! καρδίην
Κατέχειν τε, παγκτήμων τις ὤν.
Ποίησον, ὥς γ' ἄνυστον ἄνδρα γηγενῆ,
'Ικανὸν, Σὲ δέχθαι ἀξίως. —
Παρὰ Σοὶ γενήσομαι τύχῃ μακαρτάτῃ,
"Εσω τε κῆρος λήψομαι

Σέ, δȣ̃λος ὢν τὸν δεσπότην, τὸν ἄμβροτον
Βροτός, ταπεινὸς τὸν λίην
Ὕψιστον, ἄνθρωπός τε μικρὸς τὸν Θεόν,
Ὢν κτίσμα τὸν κτίσαντά με,
Τὸν ἀκέστορ' ἄῤῥωστος, πένης τὸν πλȣ́σιον,
Τὸν πάντ' ἐόνθ' ὁ ȣ̓δὲν ὤν. —
Ὦ τȣ̃ φιλόφρονος καὶ ἱλάȣ Σεο
Καὶ πραϋμήτιος νόȣ,
Σαῶτα Χριστέ! Σοὶ τί ἀντιδώσομεν,
Τοίων τόσων τε δώτορι;
Ἀπερείσιον δίδως, ἅτ' Αὐτὸς ὢν δόμα,
Αὐτὸν Σέ μοι δωρȣ́μενος!
Ὡς εὐκλεὴς ψυχὴ γενήσεθ' ἡ ἐμή!
Ἔντιμος ὡς τεθήσεται
Κοινωνίῃ τῇ Σεῖο κἠπιμιξίῃ
Γεύσει τε κἀπολαύσεϊ!
Ὡς σῶμα τȣ̓μὸν καὐτὸ τιμηθήσεται,
Γεγονὸς Σὸν οἰκητήριον!
Τὸ ἐμὸν κέαρ γέγηθεν ἠδ' ἰηδόνι
Ἀγάλλεται, μεμνημένον
Σῆς πραΰτητος κἀγαθωσύνης τόσης,
Χάριτός τε τῆς ὑπερλίαν! —
Οὐ δηθυνῶ δ' ἔθ' ὡς Σὲ εὐθύμως τρέχων·
Πεινῶ γε καὶ διψῶ Σέθεν.
Μή μȣ κενὸν τὸ κῆρ ἐάσῃς, μηδ' ἐμῶν
Μνήσῃ τόσων ἁμαρτιῶν·
Ἀλλ' εἰς τὸ ἦτόρ μȣ μολών, ὅλον τέ νιν
Πλήσας Σεαυτȣ̃, Σὰρξ-Λόγε!
Κάθαιρε καὶ ἅγνιζε, μηδ' ἀναίνεο
Οἰκεῖν ἐκεῖθι πάντοτε!
Σοὶ μὲν ξυνίστημ' ἠδ' ἐπιτρέπω μ' ὅλον·
Μέλοι δ' ἐμεῖο Σοὶ ἀεί! —

Σοὶ κῦδος, αἶνος, εὐχαριστίης γέρας,
Ὦ Χριστέ, κἆνερ καὶ Θεός!
Χάρις δὲ, ἣν ὀφείλομεν, τίνοιτό Σοι
Ἐν Πατρὶ ἠδὲ Πνεύματι! —

Ὕμνος μετὰ τὸ κυριακὸν δεῖπνον.

Κύδιμ' ὦ Θέανδρε! χάρμα μοι μέγιστον εἰργάσω,
Αὖθις ἐμβὰς θαυματοῖς τρόποις ἐμὴν ἐς καρδίην,
Ὄμμασιν μὲν ἐμφανεὶς κατ' εἶδος ἄρτυ πυρίνυ,
Τήν τε γεῦσιν εὑρεθεὶς ὡς ἀρτοσιτηθέν τί μοι,
Τῷ δ' ἐόντι σῶμά τε ψυχή τε, σάρξ τε αἷμά τε,
Θεῦς τε καὶ ἀνὴρ ἅμ' ἦλθες εἰς ἐμεὶ, Χριστός θ' ὅλος.
Εἰν ἐμοὶ κεύσας Σὲ νῦν ἔχω μάκαρ, πανόλβιος!
Τίς γὰρ εὐτυχέστερος κεκτημένυ αὐτὸν Θεόν;
Τῦ ἔχοντος τὸν Θεὸν τίς πλυσιώτερός ποτε;
Κτῆσις ἡ Τεοῖο, Χριστέ! ἐστί μοι παγκτησίη. —
Προςκυνῶ Σέ, Σῶτερ ἄρτι εἰν ἐμοὶ ἀπόκρυφε!
Ἐν δ' ἐμοὶ Ἐκεῖνος εἷς, ἐν ᾧ συνίσταται τὸ πᾶν.
Ναίχι, προςκυνῶ Σέ, καὶ μέγ' εὐχαριστέω Τεῖν,
Οὕνεκ' ἄψ, τόσος τε καὶ τοῖός, μ' ἐπεσκέψω, ἐών,
Κὴν ἐμοὶ ὁ τίμιος σκηνῶσαι ὑκ ἠνήναο!
Σῦ ξενισθέντος, δόμῳ ἔγεντ' ἐμῷ σωτηρίη! —
Μίμνε, φέρτατε ξέν', ἔνδον, μηδ' ἀπαλλαγῆς, ἐμῦ·
Μίμνε μοι, ἀναξίῳ περ καὶ δοχείῳ καὶ δοχεῖ!
Ἀξιώτερον Σύγ' ἠδ' οἰκηϊώτερόν με θὲς
Τῦ δέχεσθαι τὸν τοσῦτον εἰς τά μυ ἐντόσθια.
Τῦτό μοι μέλοι μόνον, τὸ Σοὶ ἁδεῖν λοιπὸν μόνῳ,
Θηΐης με τοσσάκις καταξιώσαντι τροφῆς. —

Τȣ̓μὸν ἐς στόμ’, ὦ σεβαστέ! βρῶμ’ ἔδυς ὑπερφυές!
Μηκέτ’ ἐξ αὐτȣ̃ προέλθοι μηθὲν, ὅ,ττι μὴ πρέποι.
Σαρκὸς, αὐτȣ̃ ȣ̓ρανȣ̃, ἐγευσάμην, ἀνταξίης·
Τιμίῳ λίην ἐφοινίχθη ἐμὴ γλῶσσ’ αἵματι!
Τῆςδέ τοι τιμῆς λαχȣ̃σα γλῶσσά μȣ καὶ ἀξίης,
Παντὸς αἰσχρȣ̃ καὶ κακȣ̃ μύθοιο πάμπαν ληγέτω.
Ἁγνότητος εἰς ἐμὴν ἀρχηγὸς ἦλθες καρδίην!
Σοί ῥα τὠπὸ τȣ̃δε πιστὴ καρδίη πέλοι ἐμή,
Σοὶ μένοι μνηστή τε καὶ δȣλὶς τὸ λοιπὸν νωλεμές·
Οἷος εἴης τῇ ἐμῇ ψυχῇ, Ἰησȣ̃! νυμφίος·
Μνῆστις οἵη μέχρι παντὸς ἰσχέτω με, ἡ Σέθεν!
Εἰς δ’ ὃν Αὐτὸς λῆς τε καὶ δύνῃ, μετασκεύαζέ με.
Σειό γ’ ἐκτὸς κτῆμα μηδέν μοι ποίησον ἁνδάνειν.—
Λῆψις ἠδὲ γεῦσις ἡ τȣ̃ σώματός Σȣ χ’ αἵματος
Σοὶ θέτω με, Χριστέ! σύςσωμόν τε καὶ συναίμονα,
Ταὐτόβȣλον ἠδ’ ὁμόσπȣδον, τά τ’ ἶσα, ὡς γ’ ἔνι,
Τῷ Πατρὸς μάλ’ ἀσμένως ὑπήκοον θελήματι.
Ἐξ ἁμαρτωλοῖο Σοί τε καὶ Τοκεῖ καὶ Πνεύματι
Προςφιλὲς πάρασχε τέκνον, τȣ̃ πονηρȣ̃ φευκτικόν.—
Δαιτὸς ἠξιωμένος θείης τε καὶ ψυχοτρόφȣ;
Τῆς ἐκεῖθεν ἀξιωθείην ὁμῇ καὶ ἰσχύος·
Φάρμακον γενȣ̃ ἄκος τέ μοι μέγ’ ἀῤῥωστήμονι·
Ζωόδωρος ἴσθι μοι ὁ ȣ̓σιωδῶς ὢν ζόη.
Μȣ Σὺ τάς τε πλημμελείας καὶ τὰ ἐκ τȣ́των κακὰ
Ἆρον εὐνόως, ἑκάς τ’ ἐμεῖο καὶ πόῤῥωθι θές.
Μοι καταπράϋνον ἠδὲ παῦσον ἀσταθῆ πάθη·
Πᾶσ’ ὄρεξις, ὧν Σὺ μισέεις, ἐμȣ̃ φύγοι ἄπο·
Πᾶσαν ὁρμὴν τὴν ἐπ’ ἔργα μὴ καλ’ ὄντα κώλυε.
Εἰνὶ Σοὶ κακῶν γενοίμην ἐγκρατὴς ψυχοφθόρων,
Ἠδὲ πειρασμῶν, ὅσοι με μέχρι τȣ̃ νῦν ἠδίκȣν.
Ἐκ Τεοῖό μοι πέλοιτο καρτέρησις εὐσεβής·
Σώματι ψυχῇ τε ἀσθενεῖ σθένος γένοιο Σύ! —

Οἷος εἰς οἷον Σὺ ἦσθα, Χριστέ! τίς ποτ' εἶμ' ἐγών;
Οἷα δ' οἴῳ, τῇ Τεῇ στοργῇ δαμείς, δῶρ' ὤπασας!
Ἡ δοθεῖσα εἰνὶ τῷδέ μοι χάρις μυστηρίῳ
Ἔργον ἔστ' ἀπειρίτως φιλῦντος ἡμέας Θεῦ.
Μεῖζον Αὐτῦ ὐδ' ἂν Αὐτὸς ὐδὲν ἄμμι, κεἰ θέλοι,
Πανσθενής περ ὢν ἔχων τε πάντ', ἔχοι δόμεν Θεός.
Ὧδε πυλύδωρον ἠδὲ δαψιλῆ φανέντα Σέ,
Εἰκὸς ἄξιόν τε καὶ δίκαιόν ἐστί, μ' ἀντεραν.
Μοι μεγίστη εἰνὶ τύτῳ ἐξόχῳ μυστηρίῳ
Αἰτίη τε προτροπή τε, τῦ φιλεῖν, κεῖται, πάλιν.
Ψυχρὸς ὥσπερ οἱ μάλιστα καὶ ἀναίσθητος πάνυ,
Μὴ Σέ γ' ἀντιδεξιύμενος, κλύοιμ' ἂν εἰκότως. —
Ἀλλὰ πῶς Σὴν εὐμένειαν κἀγάπην ἀμείψομαι;
Σοὶ Θεῷ βροτὸς καὶ ἀκτήμων τί δῶ παμπάμονι;
Ὅ,ττι γῦν περ εἰμ' ἔχω τε, ὅ,ττι ἰσχύω, Τεόν.
Εἴθε δ' εἰς ἀεὶ Τεὸς μένοιμι καὶ ὁλοσχερῶς!
Οὐδαμὸς κεκτήσεται μᾶλλον δικαίως πάντα με.
Μοι δ' ὅλον Σὲ δῶκας, ἠμὲν ἄνδρα ἠδὲ καὶ Θεόν.
Σοί ῥα καὶ ἐγὼν ὅλως δοίην ἐμαυτὸν εἰς τέλος·
Πνεῦμα τὐμὸν ἠδὲ σῶμα Σοὶ μόνῳ δυλευέτων,
Κἀγαπῴην ἄμπαλιν Σὲ τὸν φιλῦντά μ' ἄσπετον!
Σῆμ' ἐς ἡμᾶς πάμμεγ' ὂν Θεῦ φιλοστόργυ τὸ τῆς
Παντοσέμνυ Εὐχαριστίης κλυτὸν μυστήριον,
Ὃν φιλανθρώπευμα καὶ εὐεργέτημ' ὑπέρτατον,
Ἔν τε μνήμῃ ἔν τε κῆρι ἔν τε τιμῇ μοι πέλοι,
Καὶ τὸ Σὸν στέργειν με, αὖ τὴν Σὴν ἐπὶ στοργήν μ' ἄγοι!
Θῆκας ἐν μετυσίῃ μοι τῇδε τῇ μυστηρίδι
Αἰτίην τε μηχανήν τε, τῦ φιλεῖν Σὲ, καρτερήν·
Ἡ γὰρ Εὐχαριστίη κέντρον μέγ' εἰν αὐτῇ ἔχει·
Ἡ δὲ αὐτὴ καὶ ὁδὸς μέσον τε τῦ φιλήμεναι. —
Γεῦσις ἡ Τεοῖο, Χριστέ! μοι ἐνεργὲς φάρμακον
Τῦ νοηρῦ ἐστὶ λιμῦ κἠπίκυρον δίψεος,

Ἠδ' ἀλέξημ' ἐστὶ νέσων τε̃ ἐμοῖο πνεύματος.
Σάρκα Σὴν ὁ ἐσθίων εὖ καὶ ὁ πίνων αἷμά Σε,
Εἰνὶ Σοὶ μένει, μένεις δὲ καὶ Σὺ εἰνὶ τῷγ' ὁμε̃.
Ἐσθίειν Σέ, καὶ φαγόντα, Σε̃ δὸς αὖ με πεινέειν.
Μάννα ἡ τρέφεσα τἐμὸν πνεῦμ' ἄνωθεν ἵκεο.
Εἰ ζόη ψυχῆς φίλη μοι, εἰ φίλη ἀνάστασις
Ἡμέρῃ τῇ ἐσχάτῃ, Σὲ ληπτέον μοι μυστικῶς. —

Τῇ δὲ λήψει ἠδὲ γεύσει Σεῖο τῇ μυστηρικῇ
Σε̃ φίλησιν ἀσκέω, Σε τὠγαπᾶν ἀμείβομαι.
Τὠγαπᾶν Σὲ ταὐτὸ τῷ ποιεῖν τά Σε κελεύσματα.
Ἄμμ' ἄνωγας, πρὸς τὸ θεῖον τε̃το δεῖπνον ἐλθέμεν,
Οὔτ' ἄσαρκον ἔτ' ἄναιμον ἔτ', Ἰησε̃! Σεῦ κενόν.
Τέρπεαι συνὼν ὁ τόσσος παισὶ τοῖσι τῶν βροτῶν!
Τέρπεαι πόσις καταστὰς καὶ ἐδητὺς γηπόνοις!
Τέρπομαι δὲ καὶ ἐγὼ τε̃δ' ἀξιωθεὶς γεύματος. —

Εἰ Σὲ μὴ φιλοῖμ', ἐμεῖό γ' ἐδὲν ἂν τότ' αἴσχιον!
Ἀλλά, Χριστέ! καὶ φιλῶ Σὲ καὶ φιλεῖν ἔτι πλέον
Ἔλδομαι· ὁ δὲς ἐέλδωρ, δὸς καί, τε̃ ἐέλδομαι.
Εἰς Σὲ πιστεύω τε κάρτα καὶ ἐέλπομαι ὅλως·
Προςγένοιτο δ' ἐς πλέον μοι ἁγνοποιὸς Σε̃ ἔρως! —

Τῷ Τεῷ με Πατρὶ παρθε̃ τῷ τε ἁγνῷ Πνεύματι,
Τοῖν καὶ Αὐτοῖν εἰνὶ Σοί γέ μοι κεκοινωνηκότοιν.
Ἵλεω Σέθεν γενοίσθην εἵνεκεν Πατήρ τέ μοι
Καὶ σεβαστὸν Πνεῦμα· τε̃το λίσσομαι Σὲ πραττέμεν. —

Ὧν λογίζομαι, Σὺ ἀρχή, ὧν δὲ βέλομαι, τέλος·
Ὧν ποθῶ λέγω τε καὶ δρῶ, μηδὲν εἴη Σε̃ κενόν·
Πᾶν νόημα, πᾶν φρόνημα πᾶν τε ἐνθύμημά με,
Πᾶν τέ με αἴσθημα, ῥῆμα, πρᾶγμα Σοὶ λατρευέτω·
Σεῦ μάλ' ἐξ ἄρχοιτο τἀμὰ πάντα, κεἰς Σὲ ληγέτω·
Πρὸς χάριν τὴν Σὴν βιοῖμι λοιπόν, ἐς κλέος τὸ Σόν. —

Χριστέ! μίμνε καὶ ἐνέργει, ἐμμένων μοι, σωστικῶς·
Μίμνε, Σῶτερ! μηδ' ἐμῦ ποτ' εἰς ἀεί γ' ἀφαιρεθῇς!
Δόξα δ' εὐχαριστίῃ τε Πατρὶ, Σοὶ, καὶ Πνεύματι! —

"Αλλος ὕμνος πρὸ τῦ δείπνυ τῦ κυριακῦ.

Υἱὲ Θεῦ, Θέανδρε!
Οἷος εἰς οἷον κατάγῃ! ὅσσος ἐς ὅσσον ἔρχῃ!
Ὧν κόνις, ὧν μάλ' ὐδέν,
Σῦ δοχὸς μέλλω ἔμεν, αὐτῦ Σέθεν ἀξιῦντος!
Ὧν δὲ φύσις βρότειος,
Πῶς Σὲ χωρήσω τὸν ἄπειρον πάνυ ἄμβροτόν τε;
Πῶς δ' ἐθέλεις ἔμοι γε,
Τῷ κενῷ πασῶν ἀρετῶν ἠδ' ἀγαθῶν, μιγῆναι;
'Αλλ' ὅ γε τὴν καθ' ἡμᾶς
Τῇ Ἑῇ ζεύξας φύσεϊ κρείττονι, φῶς θ' ὑποστὰς
Καὶ Θεὸς ἓν Πρόσωπον,
Οὐδὲν ἔσσῃ ἀδύνατος, κὐδὲν ἀμηχανήσεις·
Πάντα δὲ Σοίγ' ἀνυστά.
Ναὶ, ὁ κοινώσας ἰδ' ἑνώσας τὸ Σὸν ἀνδρὶ Θεῖον
Θαυματόεντι δεσμῷ,
Οὗτος, ἄνθρωπός θ' ἅμ' ἐὼν καὶ Θεός, εἰς ἐμαυτὸν
'Αμφοτέρω ἐλεύσῃ,
Καὶ συνάψῃ σωματικῶς πνευματικῶς τ' ἐμοὶ, τῷ
Χείρονι Σεῖο λίαν! —
"Ερχεαι δ' ὐ ληψόμενος Σοί, χαριῦμενος δὲ,
Ὧν κεν ἐγὼ δέωμαι.
Πτωχὸν ὄντ' εἰδώς, με ἐπισκέπτεαι ὠφελήσων·
Πολλὰ νοσηρὸν εἰδὼς
Κἀσθενῆ ψυχὴν μάλα, ἥκεις ὑγιῆ ποιήσων.

Τίς χάρις, ἢ τίς ἔσται
Ἀντὶ Σῶν δωτὺς δομάτων, τίς θ' ἱκανὴ ἀμοιβή;
Πάντεχνε δημιυργέ!
Αὐτὸς, ὃ στέργοις κεν ἰδὼν, Σὺ κτίσον εἰν ἐμαυτῷ·
Δὺς Σύγ' ἐμοὶ φθάνοις ἂν,
Σοὶ ὃ δοίην δῶρον ἐγὼ, καὶ ὃ λαβὼν Σὺ χαίροις.
Ἐκ Σέο πᾶν τὸ καλόν.
Οὐδὲν ὤνθρωποι ἔχομεν Σοί γ' ἀτάλαντον, ὐδὲν
Σοὶ φίλον ἐξ ἑαυτῶν.
Ἁνδάνει Σοὶ εἰνὶ βροτοῖσιν τὰ Σὰ δῶρα μῦνον·
Πᾶν δὲ τὸ ἁμὸν ὐδέν! —
Ἐμποίησον δὴ καθαρὴν μοι ἀγάπην Τεοῖο
Εὐσεβίην τ' ἀληθῆ.
Νῦς τε καὶ βὐλημ' ἐμόν, ὦ Σὰρξ-Λόγε σωσίκοσμε!
Ἀμφὶ Σὲ ἀσχολείσθων·
Πᾶσα δ' αἴσθησις, προςοχὴ πᾶσα Τεῒν σχολάζοι,
Ἐμπαθέϊ τε ὁρμῇ
Πᾶσά μυ σπεύδοι δύναμις — ἢ μάλ' ἔοικεν — εἰς Σὲ
Ἔνδοθεν ἐκχυθεῖσα! —
Χριστέ, ὃν μέλλω ἐς ἐμὲ ξεινοδοχεῖν μακαρτός,
Σοὶ πολὺ εὐχαριστῶ,
Εὐχαριστῶ Σοὶ πολὺ γνώμην διὰ πραΰμητιν,
Ἥτινι προςφέρῃ μοι.
Εὖχος ἡμῶν, ἱμερόνυ κἀσπάσι' ὦ Ἰησῦ!
Ὅς με φιλῶν προέφθης,
Καί με ἀσπάζῃ ἔτι νῦν, ἔμπαλιν ὕστερόν γε
Ὀψέ τε Σῦ ἐρῴην!
Σοὶ τὸ αὐτεξύσιον ἠδ' αὐτοπροαίρετόν μυ
Δῦλον ἔοι ἑκοντί·
Τῷ δὲ καλῷ, καὶ ἀβιάστῳ περ, ὅμως ἀνάγκῃ
Σῆς ἀγάπης ἐποίμην.
Μοι διὰ μνήμης συνεχῶς δόξα πέλοιτο ἡ Σή.

Τῆςδέ γε ἡ δίωξις
Ἔργον εἴη μῦνον ἐμῇ καὶ φρενὶ καὶ μενοινῇ
Καὶ μελέτῃ προπάσῃ!
Ἐννοεῖν αἰεὶ, φρονέειν ἠδὲ θέλειν με οἷα
Δὸς τὰ Σά, καλὲ Χριστέ!
Μηδὲν, εἰ μὴ ὅ,ττι κε γνῶ Σοὶ ἔμεν εὐάρεστον,
Λοιπὸν ἐμοὶ ἀρέσκοι!
Πᾶν δ', ὅπερ, Σῦ δόντος, ἐμὸν γέντο, πάλιν γένοιτο,
Δόντος ἐμῦ, Σὸν αὖθις.
Ναίχι, ὅσσ' ἔιληφ' ἀπὸ Σῦ, πάντα μάλ' εἰςφέροιμι
Ἐς Τεὸν αἰὲς αἶνον.
Ἡ ἐμὴ Σοὶ πᾶσα φύσις, πᾶσα διδοῖτο ἰσχύς,
Κἀναφέροιτο εἰς Σέ!
Γνώρισόν μοι, ταῖς παρὰ Σῦ δωτύσι, πῶς τε κεἰς τί
Χρηστέον, ὄφρ' ᾄδω Σοί.
Χριστέ! ὡς Σοὶ βυλομένῳ ἔστι, μ' ἀεὶ κυβέρνα·
Οἶδα φιλύμενος Τίν.
Εὔχομαι μῦνον, φιλίης Σῆς πρὸς ἐμεὶ ἀμοιβήν,
Κἀντιφιλεῖν φιλῦντα.
Δὸς Τεῦς κεδνὴν ἀγάπησιν, τότε πάντα ἕξω·
Γρηγορέοντα δός με
Καὶ ἔνυπνον μνήστορά Συ τῆς φιλότητος εἶναι
Κἀγαθότητος ἔμπας. —
Ὦ Θεός! στέργοιμι Σέ, καὶ ταῦθ' ἕνεκεν Σεαυτῦ,
Σὴν ἐρατὺν θεωρῶν·
Μηδὲ Σὲ στέργοιμι ὑπὲρ τῦ με σόον γενέσθαι,
Μηδ' ἵνα μὴ ὄλωμαι.
Αἴτιον προτρεπτικὸν ὂν τῦ Σὲ φιλεῖν, Ἰησῦ!
Αὐτὸς ἐμοὶ κατέστης.
Τῦ φιλοστοργεῖν με Σὲ πῶς ὐκ ἂν ἔοις ἔναυσμα,
Θεῦς ἐνὶ σαρκὶ ἐλθών;
Τοῖος ὢν, ἃ, σταυρὸν ἐμεῦς εἵνεκεν ἐξελέξω,

Καὶ τόθι ἠσπάσω με.
Τλὰς τόσυς μόχθυς, χαλεπὺς συχνὰ παθὼν διωγμὺς,
Κἀπόδοσιν κακίστην
Ἀντὶ Σῶν εὐεργεσιῶν, θλιμμὸν ἀγωνίην τε
Καὶ βροτόεντα ἱδρῶ,
Ὕβριας, μάστιγας, ἀκανθῶν περὶ κρᾶτα κέντρα,
Χερσί τε ποσσί θ' ἥλυς,
Καὶ ὀνειδισμὺς ἀφάτυς, σκώμματα πικρά, ἄλγη
Μυρία κὐ φατειά,
Αὐτὸν ἠνέσχυ θάνατον καὶ ὑπέμεινας αἰνόν·
Ταῦτα δὲ πάντα ἡμῶν
Τῶν ἁμαρτωλῶν ὑπένεγκας χάριν αὐτόβυλος! —
  Πῶς νυ Σὲ ὐ φιλήσω;
Πῶς ἔτ' ἀστόργῳ ἔμεναι ἐξέσεταί μοι εἰς Σέ;
Πῶς ἀμελεῖ Τεοῖο;
Πῶς δέ, καίπερ μήτε ἄνω μήτε κάτω ἐὐσης
Μηδεμιᾶς ἀμοιβῆς,
Μηδ' ὑπαρχὐσης τινὸς ἢ ἐλπίδος ἢ φόβοιο
Τὸ ξύνολον βροτοῖσι,
Τῆς μὲν ἀῤῥήτων ἀγαθῶν, τῦ δὲ κακῶν ἀλήκτων,—
Πῶς ῥα Σέ, ὦ Ἰησῦ!
Οὐχ ὅμως τιμητέον ἡμῖν ἀγαπητέον τε,
Εὔνοον ἐς τοσῦτον;
Τὐνεκ' ὐν, Σῶτερ! Σὲ ἐγὼν, ὕνεκα κἀμὲ Τύνη,
Κῆρι ὅλῳ φιλοῖμι.
Εἰς τὸ Σὲ στέργειν τόδε μοι καὶ μόνον ἀρκέοι, τὸ
Σοί με πρὶν ἠγαπῆσθαι·
Ἀρκέοις μοι, κύριος ὢν καὶ βασιλεὺς πάναρχος,
Καὶ Θεὸς ἠδ' ὁ πάντα! —
  Χριστέ! ὑψωθείς ποτ' ἐπὶ τὸ ξύλον, ὐκ ἀνάγκῃ,
Καὶ σφάγιον κρεμασθείς,
Οὔ τι ἄκων, αὐτοθελὴς δ' ἠδ' ἀγάπῃ βιασθεὶς

Τῇ προτὶ ἦμας οἴῃ,
Πῶς ἀμείψωμαι Σὲ ἴσοις; Σοὶ τί παλίντιτον δῶ,
Δόντι μοι ἔσθλ' ἐπ' ἐσθλοῖς;
Λανθάνεις ἄρτυ ὑπὸ μικρῇ ὁ μέγιστος ἠδὲ
Πάνδοκος ὢν καλύπτρῃ,
Καὶ Σεαυτὸν ψυχοτρόφον μοι παρέχεις ἐδωδήν!
Βόσκομαι ἐκ Σεαυτῦ,
Καλὲ ποιμάντορ! θεϊκῆς ὄντι βροτῷ ταπεινῷ
Μοι φύσεως μέτεστι!
Σῆς ὑπὲρ δόξης, ἐμόν, ὦ Χριστὲ φιλόμβροθ'! αἷμα
Μυριάκις ζόην τε,
Κἀμὲ καὶ τἀμ' ἢν δαπανήσω προφρόνως, τί ἔσται
Πρὸς τὸ Σύ μοι ἔδωκας;
Οὐκ ἔχω πως Σοὶ ἀπονεῖμαι χάριν, ἢν ἔνειμες·
Μῦνον ἔχω ὀφείλειν!
'Αλλ' ὅσον γῦν ἔστ' ἐπ' ἐμοὶ, Σοὶ ἐθέλων διδοίην
Λοιπόν, ἄναξ γλύκιστε!
Σοί τε πειρῴμην πονέειν, Σοὶ παρέχειν ἐμαυτὸν
Πειθόμενον τὰ πάντα,
'Ως Τεῇ ζῆν ἠδὲ θανεῖν ἐν φιλίῃ μένοντα! —
  Ὦ Μαρίη, θευδὲς
'Εξόχως, πλεῖον θεοτερπὲς, θεόμοιρε κύρη,
Καὶ θεολαμπὲς ἄλλων!
Συλλαβῦ μοι, Σῦ δέομαι, εἰς τὸ φιλεῖν Σὸν Υἱόν. —
Κτίσματα ἐκπρέποντα,
Ἄγγελοι! ξυμπράττετέ μοι, καὶ Ἅγιοι πρόπαντες,
Τὴν ὁσίην 'Ιησῦ
Τῦ ἐμῦ Σώστυ ἀγάπην, κἀποτελεῖτε μᾶλλον
Τῦ ἀγαπᾶσθαι Αὐτῷ
Ἄξιον· ποιεῖτε πλέον χριστόφιλόν με αἰεί! —
  Οὐρανίωνες ἐσθλοί!
Εἰςίδοι ὑμῶν ἀρετὰς εἰς ἀγαθὸν πένητι

Μοι, λογίσαιτό θ' ὑμῶν
'Αξιώσεις, εὐσεβίας, ἀνδραγαθήματ', ἔργα,
Οἷς γεγένησθε δεκτοὶ
'Ηδ' ἐνεργῶς μεσσίδιοι, δὴ τότε κἀμοὶ ἔσται
Εὐμενέτης ὁ Χριστός,
Ὧν φίλων στέρξας τὸ καλόν, μȣ ὑπερεντυχόντων. —
"Ιλεος ἴσθ', 'Ιησȣ̃!
Εἰ, Σὲ εἰδὼς εὐνοϊκὸν καὶ ἐς ἀναξίȣς περ,
Πρὸς Σὲ ὁ φαῦλος ἥξω,
Τῇ μεσιτείᾳ ἑτάρων τῶν κεχαρισμένων Τίν,
Τῇ δὲ Τεῇ μάλιστα,
'Ασπέτῳ ȣ̓́σῃ, χάριτι γηθοσύνως πεποιθώς. —
"Ερχομαι ȣ̃ν, 'Ιησȣ̃!
"Ερχομαι· Σȣ̃ γὰρ γλίχομαι πάγχυ λιλαίομαί τε·
Σοὶ ποθέω ἑνȣ̃σθαι,
Σȣ̃ δ' ἀχώριστος μενέμεν νῦν τ' ἐπὶ γῆς ἔτ' ἀθλῶν,
Καὶ μετέπειτ' ἀλήκτȣ
Κἀκονίτȣ κἀταράχȣ γευσόμενος διαίτης. —
'Ελθὲ δή, 'Ιησȣ̃!
Πρᾶος ἵλεός τε
'Ελθέ, μηδὲ ταῖσί
Μȣ ἁμαρτάδεσσιν
'Ελθὲ δυςχερήνας!
"Οντα περ ῥύποιο
Ποικίλοιο μεστόν,
Κἀκαθαρσιάων
Νηρίτων γέμοντα
"Ενδοθεν νοήσας,
Μὴ φύγῃς ὅμως με·
'Ελθέ μοι τοσȣ́τῳ
Μᾶλλον, οἰκτίσας τε
'Εκκάθαιρέ μ' ἐλθών. —

Μὴ ἀποστρέφυ με
Σφαλμάτων ἕκητι
Ἠδ᾽ ἀλιτριάων
Τῶν ἐμῶν, θαμειῶν
Καὶ τὰ νῦν ἔτ᾽ ὑσῶν·
Τάςδε γὰρ δι᾽ αὐτὰς
Ῥύτορος χατεύω
Σεῖο καὶ μεσίτυ
Πλεῖον, ἤ τις ἁγνός.
Μή ῥ᾽ ἀποτρέπυ μευ,
Ἀλλά μοι ἁγνιστὴς
Ἐλθὲ καὶ ἀκεστής. —
Ἐλθέ τοι φιλόφρων,
Ὦ ποθητ᾽ Ἰησῦ!
Ἐλθέ, Σῶτερ! ἐλθέ! —

Εὐχαριστήριον ᾆσμα μετὰ τὸ δεῖπνον τὸ κυριακόν.

Ἡμὴ δοξολογεῖ τὸν πάνυ Κύριον
Ψυχή, πνεῦμα Θεῷ τὐμὸν ἀγάλλεται,
Τῷ δωτῆρί μοι ἐσθλῶν,
Τῷ σωτῆρι μέγ᾽ εὐνόῳ.
Ναὶ, ἐγκωμιάσας τὸν Θεὸν ἥδομαι·
Καὶ γὰρ δὴ ἐλέησ᾽ ἠδ᾽ ἐπέβλεψέ με,
Τὸν σφόδρ᾽ ὄντα ταπεινόν,
Μᾶλλον δ᾽ ὐτιδανὸν τὸ πᾶν.
Ὡς ζηλωτὸς ἔφυν, ὡς μακαριστὸς, οἷς
Εἰληφὼς θεϊκοῖς εἰμὶ χαρίσμασιν!
Οὐ πάντεσσί γε τοίως
Ἤντησ᾽ εὐνοϊκὸς Θεός!

"Ον μȣ̃νον δυνατὸν καὶ ἅγιον σέβω,
"Ον τ' ἔγνωκα μέγαν καὶ ἱκανὸν μόνον,
Οὗτος καὶ μεγαλεῖα
Καὶ θαυμαστ' ἐποίησέ μοι!
Αὐτȣ̃ ἐκ γενεῶν ἐς γενεὰς κρατεῖ
Καὶ μίμνει ἔλεος· κεἰς ἐμὲ δ' ἀφθόνως
Ἡ Κείνȣ πλεόνασσεν
Εὐκταίη χάρις ἀνδράσιν.
Ὑψίστȣ τελέθει κάρτος ὑπέρμεγα,
Ὑψίστȣ ἐδάμη πάντα βραχίονι·
Μεῦ δ' ȣ̓κ εἰς ἀπολείαν,
Ἀλλ' εἰς ῥῦσιν ὑπέρβαλεν.
Οὐ μικροῖς ὁ Θεὸς ταῖς ἰδίαις φρεσίν,
Ἀλλ' ὑψηλόφροσιν καὶ ὑπερηφάνοις
Τῇ αὐτῶν διανοίᾳ
"Ανδρεσσ' ἀντεμαχήσατο.
Κὰμ μὲν τȣ̀ς δυνατȣ̀ς εἷλεν ἀπὸ θρόνων,
Αὐθάδεις στυγέων και μεγαλόφρονας,
"Υψωσεν δὲ ταπεινȣ̀ς
Τȣ̀ς εἰς Αὐτὸν ἐολπότας.
Πεινῶντας ἐνέπλησ' Ὧν ἀγαθῶν μάλα,
Ἐκκλείσας ζαθέων ἠδὲ κενȣ̀ς ἀφεὶς
Τȣ̀ς πλȣτȣ̃ντας ἐάων
Τȣ̀ς σικχαινομένȣς τάδε.
Μευ τȣ̃ παιδὸς Ἑοῖ, καίπερ ἀχρηΐȣ,
Μνησθεὶς Ἧς ἀγάπης ἠδ' ἐλεητύος,
Οὐκ ἤην ὀλίγωρος,
Οὐκ ἤην ἀνεπιστρεφής.
Τοῖς ἡμῶν προγόνοις ὧν καθυπέσχετο,
Ὧν ἤδη τὸ πάλαι ὡμολογήσατο
Κἠπηγγείλατο, τȣ́των
Πάντων ἔσκε τελεσφόρος.

῏Ων Θεῦς αὐτόνομος καὶ πανελεύθερος,
Αὐτεξϐσιος ὢν, γέντο ὑπόχρεως·
Καίπερ μηδὲν ὀφείλων,
Ἡμῖν ἔπλετ᾽ ὀφειλέτης.
᾽Αψευδὴς δ᾽ ὁ Πατὴρ καὶ μάλα πιστὸς ἦν·
῎Επραξεν τὸ βροτοῖς ὡμολογημένον·
Υἱὸν γϐν ἀπέδωκε,
Τὴν ἀρχῆθεν ὑπόσχεσιν. —
Οἵης εὐτυχίης ἔμμορα γηγενής!
Τϐ ἐνταῦθα βίϐ νῦν ἀπολύσομαι
Τῇ ψυχῇ ἐθελημῷ,
Καὶ τεθνήξομαι ἀσμένως.
Εἰρηναῖος ἀπαὶ τϐδε μόρος, βίος
Μοι εὐθυμότερος ἔσται, ἐπεί γ᾽ ἴδον
Τὸν κόσμοιο Σαώτην,
Καί Μιν κῆρι ἐδεξάμην.
Πῶς δ᾽ ἂρ τὸν θάνατον καὶ ἔτι δείσομαι,
᾽Αρχηγόν γ᾽ ἐν ἐμοὶ βελτίονος ζόης
Μελλϐσης τε βέβαιον
Τέκμωρ ἀνστάσεως ἔχων;
Στηριχθέντα, Θεός! τῇδέ με ἐλπίδι
᾽Εντεῦθεν καλέσαις, δεκτὸς ἐπὰν ἔω·
᾽Εκλείψοντά ποθ᾽ ϐτος
῎Αρτος μ᾽ ἐνδυναμωσάτω.
Οὐ ψιλὸν τόδε βρῶμ᾽, ἀλλ᾽ ἐνυπόστατον·
Ψυχῆς ϐτος ἐμῆς ἄρτος ἔφυ τροφός·
Οὗτός μοι τριπόθητος
Εἴη καὶ ἐπιϐσιος!
Αὐτὸς Χριστὸς ἔδυ μϐ βροτέην φύσιν,
῎Αρτϐ κρυπτόμενος τόσσος ὑπ᾽ εἴδεϊ,
Ταῖς αἰσθήσεσιν ἄλλο
Δειχθείς, τὦτρεκὲς ἄλλ᾽ ἐών.

Ὃν λαοῖς ἔρυμα πᾶσιν ἑτοίμασας,
Καὶ τυφλοῖσι φάος λαμπρὸν ἐν ἔθνεσι,
Καὶ δόξαν περίαλλον
Φύτλῃ τῇ μεροπηΐδι,

Τόν γ', ἔντιμον ἄγαν, μοι πόρες, ὦ Πάτερ!
Τόν γ', ὦ Πνεῦμ' ἅγιόν! μοι ἐχαρίσσαο·
Καὶ αὐτὸς δ' Ὅγ' Ἑαυτὸν
Θνητῷ μοι Θεὸν ὤπασεν! —

Ψυχή μȣ! τί νοεῖς ἔνθα; τί αἰσθάνῃ;
Οὐ θερμαίνῃ ὅλῃ; ȣ̓ διακαίεαι;
Ἢ ψυχρὴ ἔτι καὶ νῦν,
Τόσσον στεργομένη, μένεις;

Συγχώρησον Ἑῷ, Χριστὲ ἄναξ! δοχεῖ,
Μηδ', εἰ ἀδυνατῶ ἶσα δόμεν Τεῒν,
Μέμψῃ· ὄντα δ' ἐπίστῃ
Θνητόν μ' ἥσσονά γ' Ἀμβρότȣ.

Χαίρειν μὴν ἐπὶ Σοὶ καὶ δομάτεσσί Σȣ,
Ἠδ' εἰπεῖν χάριτας, τȣ̃τ' ἐπ' ἐμοί· ἀτὰρ
Τῶν Σῶν ἀνταποδȣ̃ναι
Δώρων ἄξιον ȣ̓κ ἔχω.

Στέρξω γȣ̃ν Σέ, Τεὴν αἰσθόμενος λίαν
Στοργήν· στέρξω, ἐμῇ ὅσσον ἐν ἰσχύϊ·
Ναὶ, στέρξω Σέ, τοσάων
Μοι δωρήτορα δωτύων.

Πτωχὸς μὲν τὸ πάρος, νῦν δὲ μέγ' ἀφνεός
Εἰμι, κτητὸν ἔχων ἠδ' ἀποκείμενον
Ἐν τοῖς ἐντὸς ἐμεῖό
Μȣ τὸν κτίστορα καὶ Θεόν.

Σοὶ δ', ἄρτȣ ἐς ἐμεὶ βάντι ὑπ' ἐμφάσει,
Θαυμαστῇ τ' ἐν ἐμοὶ ὄντι μετοικίῃ,
Πιστεύσασα ὑπείκει
Καὶ φρὴν καὶ κραδίη ἐμή.

Ὄψει μὲν, τόπερ ἦς, ὐκ ἐφάνης ὅλως,
Οὐδ' ὄσφρη Σὲ μάθεν τὔτυμον, ὐδ' ἀφή,
Οὐδ' αὖτ' ᾔσθετο γεῦσις
Κεῖνόν γ' ὄντα, ὃς ἔπλεο.
Ἀλλ' ὖν τῇ ἀκοῇ γ' οἶδα τὸ νητρεκές,
Οἶδ' ἄνδρ' ἠδὲ Θεὸν δύντα Σὲ εἰς ἐμέ·
Τῇ πίστει μεμάθηκα
Τὴν Σὴν ἔνθα παρυσίην.
Πιστεύω, ὅσ' ἔφης Υἱὸς ὁ τῦ Θεῦ
Ἀψεύστοισι λόγοις· τοῖσι μάλ' ἐμμένω·
Ὧν δ' Αὐτὸς Σὺ ἔφησθα,
Οὐδὲν μᾶλλον ἐτήτυμον.
Ἐν σταυρῷ γ' ἔλαθεν, Σῦ ὃ θέειον ἦν·
Τὠνθρώπειον ὁμῦ ὧδε λέληθε Σῦ·
Οὐχ ἧττον δὲ πέπεισμαι
Ἄμφω ὄντε καὶ ἐνθαδί.
Πληγὰς ὐχ ὁρόων, ὥσπερ ὁ διστάσας
Πρὶν φώς, ἄνδρα ὅμως καὶ Θεὸν οἶδα Σέ·
Ὃν δ' ἔγνωκα Σὲ, δοίης
Ἐλπίζοντά με καὶ φιλεῖν. —
Ὦ τῦ Κυριακῦ ἀποτέλεσμά τε
Ζωαρκῦς θανάτυ μνημόσυνόν θ' ἅμα,
Ἄρτε ζῶν παρέχων τε
Ζωὴν τὴν νοερὴν βροτοῖς!
Δός μοι ζῆν ἀπὸ Σῦ, δὸς δέ μ' ἀεὶ πλέω
Αὖξιν πνευματικὴν ἐκ Σέο λαμβάνειν·
Σῦ μοι μήτε γλύκιον
Μήτ' εἴη τι φιλαίτερον!
Ψυχήν μυ τόδ' ἁγνὸν σῶμ' ὑγιεστέρην
Θείη, χ' αἷμα πλυτήν, ὖ μία περ ψεκὰς
Ἰσχύσει καταλῦσαι
Τὰς πάντων ἀκαθαρσίας. —

Ὦ Ῥυστήρ! Σὲ, τὸ νῦν μοι κεκαλυμμένον,
Δῆλον καὶ φανερὸν δός ποτ' ἰδεῖν μ' ἐκεῖ,
Σῆς τυχθέντα μακαρτὸν
Δόξης αἲ θεωρίῃ!

Ἡ ὄντως Σοφίη Κἀγαθότης φύσει!
Γνοίην καὶ Σὲ ὁμȣ̃ κἀμὲ ἐπιπλέον·
Μηδὲν δ' ἄλλο ποθοῖμι,
Πλὴν Σȣ̃, πᾶσαν ἀνὰ χθόνα!

Αὐτȣ̃ μῖσος ἐμȣ̃, Σȣ̃ δ' ἀγάπη μ' ἕλοι·
Ὧν πράττω, ἕνεκεν Σεῖο ποιοῖμι πᾶν·
Ἐξυψοῖμι μόνον Σὲ,
Αὐτὸς πάντα ταπεινόφρων.

Ἁπλῷ καὶ καθαρῷ κῆρι φρονοῖμι Σέ·
Δεξαίμην παρὰ Σȣ̃, ὅ,ττι κεν ᾖς πορών·
Καὶ ὡς νεκρὸς ἐμαυτῷ,
Ζώην εἰνὶ μόνῳ Τεΐν!

Ὀργίζεσθαι ἐμοί, πραϋπαθῆ δὲ Σοὶ
Ποίησόν μ', ἐν ὅσοις λῇς, ἀκολȣθέειν·
Σπȣδαίως μάλ' ἐποίμην,
Ὅπποι ἂν Σύ μ' ἄγῃς ποτέ.

Κἠμαυτόν γε φυγών, πρὸς δὲ Σὲ καπφυγών,
Σȣ τὴν ξυμμαχίην ἠδ' ἐπικȣρίην
Ἰσχυρήν τε ἄμυναν
Αἰσθοίμην κατ' ἐναντίων.

Κἠμȣ̃ μὲν δεδιὼς ἀμφί, Σὲ δειδίμεν,
Κἀπιστῶν μάλ' ἐμοί, πάγχυ πεποιθέναι
Σοί, ὦ Χριστέ! μάθοιμι
Πάσῃ εἰνὶ περιστάσει.

Βȣλοίμην ἀόκνως πάνθ' ὑπακȣέμεν
Πᾶσιν Σήν γε χάριν· Σοῖς ἐναρίθμιος
Ἐκλεκτοῖσι γενοίμην
Πείθαρχος καὶ ὑπήκοος.

Τέρψις μοι Σὺ ἔοις καὶ μόνος ἡδονή·
Φαυλίζοιτο δέ μοι πᾶν, ὃ μὴ Αὐτὸς εἶς·
Σοῦ δ' οἷοιο ποθητὺς,
Οἷυ Σεῖό μ' ἔρως ἔχοι!
Ὧδί μ' ἀσφάλισον, καὶ κάλεσόν ποτε
Ἐς τὴν Σὴν ἐρατὴν ὦπά τε καὶ μονήν,
Ζωῆς κτήτορ' ἀπαύστυ,
Κάλλυς Σοῖο θεήτορα.
Εἴης ἐν καμάτοις μοι ἀνάπαυμα Σύ,
Εἴης καρτερίη καμμονίη τέ μοι
Μοχθηροῖς ἐν ἀγῶσιν,
Ἄθλοις ἐν χαλεπήρεσιν.
Ἐκ Σοῦ λῦπαι ἐμαὶ ἠδὲ μεληδόνες
Εἶεν κυφότεραι, εἶεν ἐπωφελεῖς·
Ἐκ Σοῦ αὖτ' ἀμέριμνος
Εἴη πᾶσα μέριμνά μοι.
Οἰστόν μοι ὀδύνη ἠδ' ἀβαρὲς βάρος
Ἐκ Σοῦ, χ' ἡδὺ πέλοι καὶ τὸ ἀηδὲς ὄν·
Σχοίην ἐκ Σοῦ ἀναλγῶς
Πως καὐτοῖσιν ἐν ἄλγεσιν.
Γίγνυ παυσανίας δακρυχέοντί μοι,
Γίγνυ θλιβομένῳ μοι παραμύθιον,
Πραΰνων παρακλήτωρ
Γίγνυ δεινοπαθοῦντί μοι.
Τύνη μοι προβολὴ ἠδ' ὀχύρωμ' ἔσο
Πρὸς τὺς ἀντιβίην· ἡ σκεπάσυσά με
Τύνη μοι ἔσ' ἔπαλξις
Κάσυλον τὸ ἀπρόσβατον. —
Ζωὴ πᾶσι, φάος, Χριστέ! Σὺ, καὶ χάρις,
Ἄπληστος λογικαῖς πλησμονὴ ὑσίαις·
Ἀνθρώπων δ' ἐς Ἑαυτὸν
Καὶ διττῶς προσαγωγός εἶ.

Ξυμπάντων περιόνϑ', ὧν ἐπιϑυμίη
Ζητεῖ ἠδὲ ποϑὴ ἡμετερηΐη,
Οὐ χωρεῖ Σὲ ὁ ϑυμὸς
Ἡμῶν, καὶ πλεονεκτέων.
Μȣ̃νος δὴ κορέσαι ἠδὲ ὑπερκόρως
Ἐμπλῆσαι δύνασαί μȣ τὸ πόϑημ' ὅλον·
Μȣ̃νον δ' ἀντὶ προπάντων
Εἰς αἰῶνας ἔχοιμι Σέ.
Μηδὲν τῶν ἐπὶ γῆς καλὸν ἔτ' ἢ γλυκὺ
Φαίην ἢ ἀγαϑόν· Εἷς καλὸς, Εἷς γλυκὺς,
Εἷς μȣ̃νος πάνυ ἐσϑλός,
Τȣ̃ καὶ ἄρτι ἐγευσάμην!
Παυσαίμην νυ ῥοῶν ἐκ ϑολερῶν πιών,
Μȣ τὸ πνευματικὸν δίψος ἀκȣ́μενος·
Αὐτὴν τὴν ἀκέραιον
Πηγὴν τέτμον ὁ εὐτυχής!
Εὑρηκὼς ὁ μάκαρ, φῖλε Θέανδρε! Σέ,
Κέκτημαι, ὅσ' ἔχειν ἐνδέχεται βροτόν!
Τύνη δ' ἐσσί τ' ἔοις τε
Καὶ Θεῦς καὶ τὰ ἅπαντά μοι! —

Εὐχὴ ὁρμητικὴ πρὸς τὸν Ἰησȣ̃ν, ἄλλως τε χρησίμη καὶ μεταλαβȣ̃σι τȣ̃ κυριακȣ̃ δείπνȣ.

Ἀγαπῷμι, φῖλ' Ἰησȣ̃!
Ἀγαπῷμι κηρόϑεν Σέ·
Ἀγαπῷμι, μὴ ἵν' εἶτα
Αἰώνιόν με σώσῃς,
Μηδ' ὄφρα μὴ ἐς αἰεὶ
Κατάκριτος γένωμαι·

Μὴ δειδιώς τι δεῖμα,
Μισθόν τε μὴ ἐολπὼς
Ἀγαπῶμί Σ', ὦ Ἰησῦ!
Ἰδιωφελὴς πόθησις,
Φιλοκερδέϋσα ὁρμὴ
Πλεονεκτικός τ' ἀπείη
Ἀγαπησμὸς ὡς χερείων.
Ἀγαπῶμι Σ'αὐτὸν οἷον,
Ἀγαπῶμι Σ'αὐτὸν ἁπλῶς,
Ἀνυποκρίτως, ἀληθῶς.
Ἀγαπητός, ὦ Ἰησῦ!
Σὺ γένοιό μοι μάλιστα
Δι' Ἑαυτὸν ἕν θ' Ἑαυτῷ·
Ἀγαπητὸς ἕνθεν, ὅττι
Ἐμὲ καὶ Σὺ ἠγάπησας. —
Προλιπὼν τὰ ὐρανοῖο,
Ἀγάπῃ πρὸς ἧμας ἀχθείς,
Κατέβης βροτῶν ἐπ' ἤθη·
Ὁ Θεὸς βρέφος φαανθείς,
Δυλήϊην τε μορφὴν
Ἐπενδυθεὶς δι' ἡμᾶς,
Συνανεστράφης βροτοῖσι,
Τά τε γηγενῶν διέτλης,
Τὰ ὅμοια πάντα ἡμῖν,
Παρὲξ ἁμαρτίοιο.
Ἔπαθες δὲ πλεῦνα πολλῷ,
Ἔπαθες κακώτερ' ἡμῶν,
Μέγ' ὑπαιτίων ἐόντων,
Ὁ ἀναίτιος Θέανδρος.
Σωτηρίην δι' ἁμὴν
Ἐθελυσίως ἔνεγκας
Πόνυς κόπυς τε συχνύς,

Πενίην ἀτιμίην τε,
Πολυτρόπυς διωγμύς,
Ἀγωνίας, ἱδρῶτας,
Πρόδοσίν τε καὶ ἅλωσιν,
Ῥαπισμάτων τε τυμμάς,
Μάστιγας ἠδ᾽ ἀκάνθας,
Ἐμπαίγματ᾽ ἠδ᾽ ὑβρισμύς,
Τὰ μεταξὺ τῦ ἄγεσθαι
Ἐπὶ τὴν φονὴν βίαια,
Σταυρόν τε τύς τε ἥλυς,
Ἀνάριθμα πάγχυ ἄλγη,
Θάνατον δ᾽ ἔπειτα πικρόν,
Αἱμοσταγῆ τε λόγχην!
Τάδε πάντ᾽ ἔτλης Σύ, τῶνδε
Ἔτι πυλὺ δεινὰ πλείω,
Καὶ ταῦθ᾽ ὑπεὶρ ἐμεῖο,
Μέγ᾽ ἀναξίυ, ἀλιτρῦ,
Ὑπενέγκαι ἠξίωσας
Ἀνυπαίτιος, δίκαιος,
Ἁμαρτιῶν ἀθῶος,
Τοῖος τόσος θ᾽ ὑπάρχων,
Θέειον ὢν Πρόσωπον! —
Ἀγαπῷμί τοί νυ κἀγὼ
Σὲ τὸν ἠγαπηκόθ᾽ ἡμᾶς
Μέγα, καλέ μυ Ἰησῦ!
Πολυήρατ᾽ ὦ Σαωτήρ!
Μηδ᾽ ἐκ πόθυ ἀμοιβῆς
Ἀγαπῷμι τὸν τοιῦτον,
Μηδ᾽ ἐκ φόβοιο ποινῆς,
Αὐτὸν δὲ καὶ μόνον Σέ,
Μηδ᾽ ἄλλο γ᾽ ἀντὶ Σεῖο·
Ἀγαπῷμι, κἀγαπῶντι

Πᾶς καρπὸς ἠδὲ μισθὸς
Καὶ ὧδε καὶ ἐκεῖθι
Αὐτὸς Σύ μοι γένοιο,
Σὺ Αὐτὸς ὡγαπητός,
Μόνος Σὺ τὠγάπημα. —
Σέ ῥα τὕνεκ', ὦ 'Ιησῦ!
'Αγαπῷμι, ὕνεκ' Αὐτὸς
'Εμὲ τόσσον ἠγάπησας
Πρότερος τὸν ὐδὲν ὄντα,
'Αγαπᾷς τε κἤτι νυνί,
'Αμήχανόν τε ὅσσον
Χαρίεις ἐράσμιός τε
'Ιδὲ θαυματός μοί ἐσσι.
'Αγαπῷμι Σὲ προθύμως
Διὰ τῦτο, φὶλ' 'Ιησῦ!
"Οτι εἶς ἐμὸς Σὺ σωτήρ,
"Οτι μυ Σὺ εἶς ἀνάκτωρ,
"Οτι Θεῦς Σύ μυ ὑπάρχεις.
'Αγαπῷμι, κάλ' 'Ιησῦ!
'Αγαπῷμ' ἀείδιον Σέ! —

Εὐχὴ, τῆς πρὸς τὸν Χριστὸν φιλίας ἐφιεμένη, ἥ τις χρήσαιτ' ἂν καὶ ἄλλοτε καὶ μάλιστα μετὰ τὴν τῦ κυριακῦ σώματος καὶ αἵματος ἀπόλαυσιν.

Ὦ Χριστέ, μυ σαωτήρ,
Θεῦ τε Παρθένυ τέ
'Αμφοῖν ἀληθὲς Υἱέ!
"Ολῃ Σὲ τῇ μενοινῇ
Κἠξ ἰσχύος προπάσης
Φιλοῖμι τὸν Θέανδρον.

Ἔφθης Σὺ γὰρ φιλήσας,
Πρότερός τ' ἔμ', ὦ Γλύκιστε!
Προσηγάγυ φιλόφρων,
Ἠδ' ἠσπάσω θεείῃ
Στοργῇ, ἀχρήϊόν περ,
Ἀνάξιόν τε Σεῖο,
Κἀγνώμονα προειδώς,
Χάριν μὲν ὐκ ἔχοντα
Ἐκτῖσαι, ἣν παρέσχυ,
Μέλλοντα δ' ἀντ' ἐκείνης
Κακὴν Τεΐν ἀμοιβὴν
Ἀποδῦναι ἀμπλακόντα! —
Φιλοῖμι δὴ Σὲ καὐτός,
Ὦ Χριστέ! ναὶ, φιλοῖμι,
Ἐξυσίης τ' ἐμαυτῦ
Τῆς τῦ φιλεῖν καὶ ἄλλα
Σῦ εἵνεκα στεροίμην,
Ἑκυσίῳ τε δεσμῷ
Δεθεὶς Τεΐν ἐποίμην,
Ἁλὺς τε Σῦ μόνοιο
Ἁγνευτικῷ ἔρωτι,
Ζητοῖμι μηδὲν ἐκτὸς
Τεοῖο, τῦ ἁπάντων
Ἀσυγκρίτως προτίμυ·
Σὲ ψυχόθεν ποθοῖμι,
Κτητόν τέ μοι γενέσθαι
Σὲ, μῦνον εὖχος εἴη! —
Σοὶ τῇ ὅλῃ ἐμαυτῦ
Ἴδιος φύσει δοθείην,
Σῦ νωλεμῶς ἐχοίμην·
Ἡ μνῆστις ἀσκέοιτο
Ἠδ' ἀσχολοῖτο πιστὴ

'Εν Σοί τε καὶ ἐκείνοις,
Τῆς Σῆς ἅ ἔστι δόξης·
'Εμὸς δὲ νȣ̃ς Σὲ ἀκμῆς
'Ενθυμέοιτ', ἐρευνῶν
'Αεὶ τὸ Σοὶ ἀρεστόν·
Δȣ̃λον δέ μȣ θέλημα
Σοὶ δεσπότῃ ὑπείκοι,
Καὶ ἀντὶ τῶν δοκȣ́ντων
Καλῶν Σὲ αἱρετίζοι·
Τὸ Σὸν γένοιτο κἀμὸν
Βȣ́λημα, Χριστέ! καὶ Σὲ
῞Οσ' ἂν θέλειν ἐπιγνῶ,
Θέλοιμι ταὐτὰ κἀγὼ,
Καὶ προφρόνως ποιοῖμι.
Τὰ ἐκ Τεοῖο δῶρα
Πάλιν Σὰ ἐξ ἐμεῖο
Γένοιτο· πᾶν ὅ εἰμι,
῞Ο ἰσχύω τε κἤχω
'Εκ Σεῖο, τȣ̃το σύμπαν
Αὖτ' εἰς Σὲ ἀμφέροιμι
Τῷ χρῆσθαι, οἷς ἔδωκας,
Καθ' ὃν τρόπον Σὺ βȣ́λει.
Ψυχή τε σῶμά τ' ἄμφω,
Δυνάμεις ἐμαὶ ἅπασαι
Δȣλευέτωσαν ἔμπης
Σοὶ παντάνακτι, Χριστέ! —
Τὴν πρὸς Σέ, μηκέτ' ȣ̃σαν
Ψεύστειραν εἰσέπειτα,
Φιλότητα, μὴ φίλαυτον,
Καὶ στερκτικὴν πρόσεξιν
'Εμῷ Σὺ κῆρι ἔνθες·
Κατὰ πάνθ' ὑπέρ τε πάντα

Φιλῶν Σὲ πάντοτ' εἴην,
Νύκτωρ τε καὶ παρ' ἦμαρ,
Ὕπαρ τ' ὄναρ θ' ὁμοίως,
Σῶός τε εὖ τε πράττων,
Τὐναντίον τε πάσχων,
Ζώων τε κἀποθνήσκων,
Ἐν τῷδε καὶ ἐκείνῳ
Αἰῶνι, ἠδ' ἐς αἰεί! —
Τȣ̃τ' εὔχομαι· γενȣ̃ δέ
Μοι εὐμενὴς Σύ, Χριστέ!
Τȣ̃ εὔγματος τελέστωρ·
Ἀειφλεγῆ με Σεῖο
Ἀειθερȣ̃ς ἐόντος
Ἐξέργασαι ἐραστήν·
Ναὶ, γνήσιόν με Σαὐτȣ̃
Κἀληθινὸν φιλητὴν
Πιστόν τε δὸς γενέσθαι
Ἀεινάȣς ἐς ὥρας,
Τόσῳ τε μᾶλλον ἐς τὰς
Ἀεννάȣς ποθ' ὥρας,
Ὅσῳ μοι αἵ γε πλεῖσται
Τȣ̃ μέχρι τȣ̃δε καιρȣ̃,
Τȣ̃ νῦν βίοιο ἤδη
Ὤλοντο ὧραι, εἰς Σὲ
Ἄστοργοι, ἆ, ῥυεῖσαι!
Μήθ' ὧδε τȣ̃ γε λοιπȣ̃
Πέλοιτό μ' ὑστερεῖν Σὲ
Φιλȣ̃ντα, μήτ' ἐκεῖθι
Ἀπαμβροτεῖν Τεοῖο,
Τȣ̃ ἀξίοιο λίην
Στοργῆς ἀειδίοιο!
Γένοιτό μȣ τὸ εὖχος! —

Λιτανεία ἄφεσιν μετιῦσα, ἤγυν δέησις τὰς τῶν ἁμαρτιῶν ποινὰς παραιτυμένη.

Τῦ κόσμοιο, Τριάς! παντὸς ὑποστάτι,
Κῦ μισῦσα, ὅσων ἔκτικας, ὐδαμόν,
Κεδνὴ δ' ἠδὲ φίλοικτε,
Καὶ πραεῖα καὶ εὐμενές!
Ἡμὶν ἵλαθι, Σοῖς γ' ὖσι ποιήμασι,
Τῶν καλὴ μάλ' ἀπαὶ Σεῖο προήλυθε
Τὴν ἀρχὴν, διὰ δ' αὐτῶν
Κακὴ γείνετο ἡ φύσις! —
Οἰκτιρμῶν Γενέτορ ἠδ' ἐλέυς, ὃς εἶ
Καὶ φαύλοισι Πατὴρ ἠδὲ διαστρόφοις
Τέκνοις ἄμμι φιλόφρων,
Καὶ Σῦς ἄμμε λογίζεαι!
Ἀρχὴ ἠδὲ τέλος πίστιος ἡμέων,
Καὶ ἁμῆς θέμεθλον πάγχυ πεποιθίης!
Τὴν Σὴν γνώρισον ἡμῖν
Εὔνοιαν λυσιπήμονα! —
Ἐλπὶς πᾶσι, λυτὴρ, Υἱέ, ἁμαρτάδων,
Τιμὴν τὴν ἱκανὴν ἠδ' ἀπερείσιον
Ἐκτίσας ὑπὲρ ἡμῶν
Τῷ Σῷ, λυτροχαρεῖ, Πατρί!
Ἐκ Σῦ ἄμμι πέλει ῥύσια ἤματα,
Καὶ δεσμῶν μέροπας καιρὸς ἐλευθερῶν,
Τῶν ψυχὰς κατεχόντων·
Ἐκ Σῦ προσδοκίη καλή. —
Πιστεύυσι βροτοῖς ἐλπομένοισί τε
Ἀρχὴ σὺν Πατέρι, Πνεῦμα, καὶ Υἱέϊ,
Πηγὴ ῥίζα τε καλῶν,
Κτιστὴρ καὶ τροφὲ τῶν ὅλων!

Σὺ πρωτεργὸς ὁμᾶ τῆς ἀγάπης, ἁγνῆς
Σὺ στοργῆς ὅσιος στήθεσιν εἶ σπορεὺς
Ἀρχῆθεν, Σὺ βάσις τε
Καὶ στήριγμα καὶ αὖξις εἶ.
Τῇ Σῇ λυσικάκῳ, Πνεῦμα, κάτελθέ μοι,
Τῇ Σῇ λυσιπόνῳ, λυσιπόθῳ φύσει·
Πλῆσον τᾶ ἀγαθοῖο,
Τᾶ κακοῖό με ἐξελᾶ! —
Ὦ καὶ μανοφυὲς καὶ τριςυπόστατε,
Πανθαύμαστε Θεός! μή μ' ἀπαναίνεο,
Ἀλλ' εὔνας ἐπάκασον
Εὐχωλῆς λιτάνοιό μευ!
Πολλὰς μὲν μεγάλας τ' εἰς Σὲ ἁμαρτίας
Ἡμάρτηκα, δι' ἃς ἀκέτι ἄξιος
Οἰκτιρμᾶ καθύπερθεν
Ἐσθλῶν τ' εἰμὶ χαρισμάτων!
Καὶ ἄτως δὲ γενᾶ ἵλεος, ὦ Θεός!
Καὶ συγγνωμοσύνης δός με Τεῆς τυχεῖν·
Πολλῶν πέρ μοι ὀφλητῇ
Πραΰνθητι λιτησίῳ! —
Δηλῶσαι δὲ κέλη πταίσματ' ἐπ' ἄλγεϊ
Ἡμᾶς· τάμά γ', ἰδὰ, ἐκ μὲν ἐγὼ Τεῒν,
Ἐκ δ' αὖ καὶ ἱερῆϊ
Τῷ Σῷ ὡμολογησάμην.
Τὰς ἆν Σῶν νομίμων, Ὦνα! παραιβάσεις
Αὐτὰς, τῶν τ' ἀτόπων τἄνδότερον κακὸν
Ἐξηλεῖφθαι ὀΐω,
Ψυχαία τ' ἐνοχὴν χρέας.
Ναὶ, τῶν ἀμπλακιῶν τὴν κακίην τέ μοι
Ποινήν θ', ἥγ' ὑπόχῳ τῶνδε ὀφείλεται
Ἄλληκτος, Σὲ ἀφεῖναι
Ἐλπίζω ξυνεγνωκότα.

'Αμ πὰρ Σεῖο χάριν πάγχυ ἐέλπομαι
Κτήσασθαι μεταγνὲς, καὶ Σὲ τὰ νῦν πάλιν
Εὔνεν ἔμμεναι αὖθίς
Μοι, κἀξ ἐκδίκε ἤπιον.

'Ελπίζω — πολύ Σε, πελὺ τὸ ἵλεον,
Καὶ πάντως ἐλέῃ πὰρ Τεῒν ἄπλετα —
'Ελπίζω γ' ἐν ἀριθμῷ
Τῶν σωθησομένων ἔμεν!

Αὐτὸς Σοὶ ἱκανὴ τε̃ ἐς ἐμεί Σεο
Τε̃ πολλε̃ ἐλέες ἔσσο χάρις, Θεός!
Κἀγὼ δ' οἶδά γε Τίνῃ
Κἀκ θυμοῖο φέρω χάριν.

Ἴσθι, χρηστὲ Θεός! πᾶσιν ἐπαινετὸς
Τε̃ συγγνωμονικε̃ εἵνεκα τε̃ λίαν·
Αἰνε̃ντες Σὲ μεθ' ἡμῶν
Σπεδάζοιεν ἄμ' Ἄγγελοι! —

Μὴ μέμψῃ δέ, Πάτερ! μηδὲ ἀναιδέσιν
'Οργισθῇς, τόσον εἰ Σοὶ ἐνικείμεθα,
Σπεδῇ λιπαρέοντες,
Δε̃ναί Σ' ἄμμιν ἔτι πλέον.

Σοὶ μὲν τυγχάνομεν πολλὰ κατάχρεοι
Ὄντες, σύν τε τοδὶ οἴδαμεν· ἀλλὰ Σὺ
Ξυγγνώμην ἀπόνειμον
Καὶ ταῦτ' εὐχομένοισι Σέ.

Τῇ Σῇ θαῤῥαλέοι οἰκτοσύνῃ, Πάτερ!
Σε̃ πολλὸν δεόμεσθ', ἠδ' ἱκετεύομεν,
'Ως φείσῃ, καὶ ἀποινεὶ
'Ημαρτηκέναι ἄμμε δῷς.

Οὐ τε̃ξεῖναι, ἔτι πλεῦνα ἁμαρτάνειν,
Αἰτε̃μεσθα λιτοί, ἀλλ' ὅσα Σοὶ ἅπαξ
'Ημαρτήκαμεν ἤδη,
Ταυτὶ ἧμιν ἀθῷ' ἐᾶν.

Εὑροίμεσθα χάριν, χ' ἢ χρονίη ἔτι
Ἡμῖν ἐξ ἀφέτων ἀστοχιῶν δίκη
Τλῆσίς τ' ἔστ' ἐπίλοιπος,
Καὶ αὐτὴν ἄφες, ὦ Πάτερ!
Κάννευσον! παρὰ Σοί γ' ὐδὲν ἀμήχανον,
Ἰσχύεις δ', ὃ θέλεις· εἶα δή, ὦ Ἄνα!
Τὺς δειλὺς ἐλεήσας
Ἡμᾶς λῦσον ἀπαὶ κακῶν.
Εὐνώσας μεγάλως, καὶ τὰ ἁμάρτια
Συγγνὺς, κἀφανίσας πνευματικὰ χρέα,
Τύτων ὅσσ' ἀκόλυθα,
Καὶ αὖτ' ἔρξον ἀφ' ἡμέων.
Ἄρας, ὧν παρέβην, αὐτὸ τὸ δύςνομον,
Ἄρας τὴν κακίην καὶ τὸ κατάξιον
Τιμώρημ' ἀλιτόντος,
Ἆρον καὶ τὰ λελειμμένα.
Μυ τὴν ἀφροσύνην καὶ κακοηθίην
Αὐτὴν κἀδικίην, ὥσπερ ἔολπά γέ,
Μοι ἀμνησικάκητον
Ἱλασθεὶς ἐποιήσαο.
Ἐν τῷ τῆς χάριτός Συ πλεονάσματι
Δὺς τῶν Σῶν δομάτων ἄμμι τὰ μείζονα,
Πρόφρων αὖ χαρίσαι' ἂν
Τύτων καὶ τὰ ἐλάσσονα.
Μνησθεὶς τῦ ἐλέυς τῦ ἀβύθοιό Συ,
Φεῖσαι τῶν ταλάνων, ὦ Πάτερ! ἡμέων,
Καὶ ὧν εἰργασάμεσθα,
Ἡμᾶς ἔξελε ζημιῶν.
Τιμώρησαι, ἃ Σοὶ ἠμβρότομεν κακῶς,
Εἰν ἡμῖν μετρίως· πραϋμενὴς δ' ἔσο,
Εἰ καὶ ἀξιοποίνυς
Εὑρίσκεις δι' ἀλιτρίας.

Σοὶ καὶ δόντι μένει ἄφνος ἀνεκλιπές,
Κ'ὐδὲν Σοὶ μινύθει τῷ παναπειρίτῳ·
Καὶ δωρησαμένῳ περ
Σοὶ, ὐδ' ὥς τι ἀπόλλυται. —
Στέργων δ' ἔσσο, Πάτερ! καὶ ἱκανύμενος
Κείνῳ γ', Ὃς διέλυσ' ἡμέτερον χρέος,
Κἀξ Οὗ Σοὶ ἀπόκειται
Τιμὴ, τῶνπερ ὀφείλομεν.
Ὃς κἀν ἀνδρὶ Θεὸς κἀνὶ Θεῷ ἀνὴρ
Θαυμαστῶς τελέθει, Σός, Πάτερ! Ἔκγονος,
Ἀνθρώποιό θ' ἅμ' Υἱός,
Σοὶ χ' ἡμῖν ὁμοὐσιος, —
Οὗτός τοι ἀρέσει ἠδὲ διαρκέσει
Ἀνθ' ἡμῶν, Ὅγε Σοὶ τῦ ἱκανῦ δότης
Ἔσται εἰς λύσιν αἰνῶν,
Ὅσσων γεινόμεθ' ἄξιοι·
Οὗτος πανάρετος καὶ ἀνυπαίτιος,
Οὗτος πάντ' ἀγαθὸς, πάντα δίκαιος ὤν,
Οὗτος πᾶν τὸ καθ' Αὐτὸν
Καλὸς, μηδὲν ὀφειλέτης,
Πραΰνοι Σὲ βροτοῖς, χρηστὲ δίκαιέ τε
Καὶ πάνσεμνε Πάτερ! Τῦδε πανάξια
Εὔφρων δέξαι ἄποινα,
Δέξαι λύτρ' ὑπερεντελῆ.
Τῦδ' ἐν πᾶσι Τεῒν προσφιλέα βίον,
Τῦδ' ἱδρῶ καὶ ἀγῶν' αὐτοθελῦς μόρυ,
Τῦδ' ἱρὰς ἰδὲ πληγάς,
Καὶ φεῖσαι ἐνόχων δίκῃ.
Τῦδ' ἡμῖν λόγισαι εἰς καλὸν ἔργματα,
Καὶ τῆς Τῦγε ὁμῶς Μητρὸς ὑπερφυᾶ·
Πάντες τῆς περιάλλυ
Πάρθνυ Μητρὸς ὀναίμεθα!

Ναὶ, Μητρὸς λόγισαι ἧμιν ἀμύμονος
Τοίας ἠδὲ τόσας τὰς ἀρετὰς, Πάτερ!
Καὶ πᾶν τῆςγε πάθημα,
Οὔσης πάμπαν ἀναιτίϐ.
Καὶ τῶν Σῶν Ἁγίων δ' ἠδὲ φίλων, ὅσων
Ὧδ' εἰσὶν, καὶ ὅσων εἰσὶν ἐπ' ϐρανϐ̃,
Ἤδη ἀντιασάντων
Μοίρης τῆς πολὺ φερτάτης,
Ἡμὲν πράγματ' ἴδοις ἠδὲ παθήματα,
Καὶ τϐ́των τὰ περισσ' ἐσθλά τε καὶ καλὰ,
Πᾶν τε σφὸν πλεόνασμα,
Τρέψαις ἄμμι τάδ' εἰς χάριν.
Τὴν ἐν τοῖς Ἁγίοις εὐπορίην καλῶν
Παντοίων τ' ἀρετῶν ἀφθονίην δίδϐ
Τϐ̀ς ἔνδειαν ἔχοντας
Καρπώσασθαι ὀνημένϐς. —
Τιμῶν ϐρανίων ἠδὲ ὑπερφυῶν
Τϐ̃ Χριστϐ̃ ὁ δόμος νωλεμὲς εὐπορεῖ,
Ἀφνειῆς ἀποθήκης
Ἡ Ἐκκλησία ἔλλαχεν.
Χριστϐ̃ ἐν μεγάροις πλϐ̃τος ὑπερβρύει,
Πλϐ̃τος πνευματικός· πολλά τε ἐσθλά τέ
Μοι κειμήλια κεῖται,
Ψυχῇ χρήματ' ὀφέλλιμα.
Ἐντεῦθέν νυ πόροις λύσια κέρδεα
Κἀμοί, χρηστὲ Πάτερ! τῷ μέγ' ἀχρήμονι
Ἠδ' οἰκτρῷ κατὰ πνεῦμα,
Χήτει τ' ὄντι ἐν ἐσχάτῳ! —
Τῆς Ῥώμης ὁ μέγας ἀρχιερεὺς ἀεὶ,
Ῥώμης πρεσβυτέρης ἠδὲ Θεῷ φίλης,
Ποιμὴν κοινὸς ἅπασιν,
Ἠδ' οἰκϐμενικὸς πατὴρ,

Ὧν Πέτροιο μάκαρ διάδοχος, τόπον
Κλειδȣ́χοιο λαχὼν Ἀρχιαποστόλȣ,
Κἀνταῦθ' ἀντὶ καὶ αὐτȣ͂
Τȣ͂ Χριστοῖο τεταγμένος,
Ὧν θησαυροφύλαξ, καὶ ταμίας ὅλης
Γάζης τῆς νοερῆς ἠδ' ἱερῆς τεθείς,
Ὧι Χριστȣ͂ ὁλόφυλος
Ἡ ἐξȣσία ἐν χερί, —
Ἂς ποινῶν ἀνέσεις καὶ ἀφέσεις ὄγε
Ὀφληταῖς, ἃ δίδωσ' ἄμμι χαρίσματα,
Τὸν θησαυρὸν ἀνοίξας,
Ὅν μιν Θεῦς ἐνεχείρισε,
Ταῦτ' ἆρ πνευματικῶς καὶ ἔμε γ' ὠφελοῖ,
Χρεῖον, πτωχὸν ἄγαν, σφόδρα κατενδεᾶ·
Πάντων τῶνδε μετεῖναι
Δοίη κἀμοὶ ὁ Κύριος!
Ναὶ, δοίης με τυχεῖν τῶνγε ὁ Θευπάτωρ
Τιμησσῶν χαρίτων, λυσιτελῶν μάλα,
Διττὸν καρπὸν ἐχȣσῶν,
Ψυχῇ μȣ ἰδὲ σώματι.
Τȣ́των δὴ λαχέειν εὔχομ', ἵν' ὧδε μέν
Μοι πειρασμὸς ὁ ἐκ τῶν ἐπὶ γῆς κακῶν
Ῥᾴων ᾖσιν, ἐκεῖ δὲ
Σὴν ὄψιν τάχιόν γ' ἴδω. —
Τῶν πιστῶν δὲ ὅσοι ἐς τὰ πέρην ἔβαν
Καὶ πάσχȣσιν ἔτι τὴν καθαριστικὴν
Τῶν τȣ͂ ὧδε βίοιο
Σπίλων κεῖθι κατάστασιν,
Καὐτοὶ ἔνθεν ὄναιντ', ὄντες ἐπ' ἐλπίδι
Νημερτȣ͂ς λύσεως τῆς ἐς ἀεί ποτε,
Καὐτοῖς φῶς ἐπιφαίνοι
Χριστὸς πᾶς θ' Ἁγίων χόρος!

Χριστȣ̃ καὶ Μαρίης ἔργα τε κἀρεταὶ,
Συμπάντων ϑ' Ἁγίων ἀνδραγαϑήματα
Γενναῖαί τε παϑήσεις
Εἶεν ῥύμματα ἀπλύτοις!

Τήνων τὰς κολάσεις ἅς τ' ἔτι τλήμονες
Ἐκτίνȣσι δίκας, κȣφοτέρας Θεὸς
Δοίη ἠδὲ βραχίȣς·
Θᾶσσον παῦλα πόνοις ἔοι! —

Οἰκτείρησον ἐμεί, Κύριε! τȣ̀ς τ' ἐκεῖ
Πιστȣ̀ς ϑλιβομένȣς, ἅς τε ὑπεὶρ ἐμȣ̃
Αὐτȣ̃ χ' ἃς ὑπὲρ ἄλλων
Εὐχὰς εὔχομ', ἐνώτισαι!

Δοξάσϑητι, Θεός! τῷ ἐλέῳ Σεο
Πολλῷ καὶ μεγάλῳ· φεισάμενος γενȣ̃
Κλειτὸς καὶ νετὸς ἡμὶν
Καὶ νῦν κεὶς τὸ διηνεκές!

Ἤτω ἐκ μερόπων, Δέσποτα! δόξα Σοὶ,
Οἵη καὶ τρισσὴ δόξ', ὃς ὑφίστασαι
Ἁπλȣ̃ς καὶ Τριπρόςωπος,
Τρεῖς, καὶ ὢν Τριὰς, αὖϑ' Ἕεις!

Εἰν Υἱῷ Πατέρι, ἐν Πατέρι πάλιν
Υἱῷ, εἰν ἁγίῳ Ἀμφοτέροιν ἀεὶ
Ἔστω Πνεύματι, Τῷ δὲ
Αὖτ' εἰν Ἀμφοτέροιν κλέος! —

Δέησις ὁδοιπορική.

Ὦ ἀντιλῆπτόρ μȣ, Θεός!
Βοηϑέ μοι εὐνȣ̃στατε,
Ἰσχυρὲ δ' εἰνὶ πᾶσί με
Καὶ πανταχȣ̃ καὶ πάντοτε

Φυλαττέμεν καὶ σωζέμεν!
Ἐπὶ Σὸν καλȣ͂μαι ὄνομα,
Μέλλων βαδίζειν τήνδ' ὁδόν,
Καί μοι γενέσθαι λίσσομαι
Συνοδοιπόρον τὴν Σὴν χάριν. —

Τὰ τῆς τύχης ἄδηλα, τὰ
Μέλλοντα ȣ̓χ ὁρατά μοι·
Ἀλλ' ὅτι Σȣ͂ δυνατώτερον·
Σὺ κύριος καὶ τῆς τύχης,
Βροτῶν τε πᾶσα συμφορὰ
Ἐν χειρί Σȣ κἀξȣσίᾳ.
Σύ μοι συναίρȣ ἵλεως·
Εὔθυνέ μȣ τὰ βήματα,
Ψυχῆς τε πῆμα καὶ βλάβος,
Ἄτην τε πᾶσαν σώματος
Ἀπέλαυνε πόῤῥω, καὶ καλόν
Μȣ τὴν πορείαν εἰς τέλος
Κατευόδωσον, ὦ Πάτερ! —

Σὸς Ἄγγελος σκεπαζέτω
Με, τὸν Τεΐν ἐκτισμένον
Σεσωσμένον τε Υἱέϊ
Κεχρισμένον τε Πνεύματι·
Σὸς Ἄγγελός μοι ἡγεμὼν
Ἔστω δυνηρὸς, εὐμενής·
Πράξαντα δ' εὖ χαίροντά τε
Ἀνασωζέτω με οἴκαδε! —
Γένοιτο ȣ̔́τως, ὦ Θεός!
Χριστȣ͂ δι' ἀξιώματα! —

Ἄλλη δέησις ὁδοιπορική.

Πάντα Σεῖό γ' ἐνδεῶς
Ἔχων, Σὲ λίσσομαι, Θεὸς κράτιστε!
Εὔνοον παρασχέθειν
Ἑαυτὸν ἠδ' ἀλέξιμον κακοῖο
Νῦν ὁδοιπορȣ̃ντί μοι,
Ἐπευδοκȣ̃ντα τῇδε τῇ πορεύσει,
Εὐλογȣ̃ντα προφρόνως
Τό μοι προκείμενον δέον τε πρᾶγμα,
Καὶ ἅπαν τό μοι μέλον
Συνωφελȣ̃ντα κεὐτυχῶς τρέποντα.
Μὴ λίπῃς με, ὦ Θεός!
Μονωτόν, ἐλπίδ' εἰνὶ Σοὶ ἔχοντα. —
Σοὶ δὲ κῦδος, ὦ Τριάς,
Πάτερ τε Παῖ τε Πνεῦμά τ', εἰς τὸ αἰέν! —

Μικρὸς ὕμνος, φθεγγομένȣ τȣ̃ ὡρολογίȣ.

Ὦ Θεός! αἰώνων ποιητὰ χρόνων τε ἄνακτορ,
Καιρῶν τε καὶ ὡρῶν βροτοῖς
Δῶτορ ἐπιχθονίοις!
Σοὶ χάριν ἔνθεν ἔχω τελέω τε πρέπȣσαν, ὅθεν δὴ
Καὶ αὖθις ὥρην τῷ βίῳ
Μȣ προςέθηκας ἴην.
Δὸς δ' ὥρῃ πάσῃ εὖ χρῆσθαι τῇ καταλοίπῳ·
Ὥρη δέ μοι ἡ ἐσχάτη
Πάντα μάκαιρα μόλοι! —

Ὕμνος τοιῦτος ἐλάσσων.

Ἔστω Σοὶ ταύτης μάλ' ὕπερ χάρις ἠδ' ὑπὲρ ἄλλων,
Ὧν μοι εἰς τὸ ζῆν πόρες ὡρῶν!
Τὴν δὲ τελευταίην ἐπίνευσόν μοι, Θεός! ἀρχὴν
Ζωῆς ἀθανάτοιο γενέσθαι. —

Ἔτι συντομώτερος ἄλλος.

Παρελήλυθ' αὖθις ὥρη
Μία· ὤφελεν δὲ καλῶς!
Τὰ δὲ πρόσθε πλεῖστα κακῶς! —
Τεΐν, ὦ Θεός! νέμοιμι
Τά γε λοιπὰ τοῦ βίοιο! —

Ἐλεγεῖον ὡρολογικόν.

Ῥεῖ ὁ χρόνος, ῥεῖ ὥνθρωπος καὶ πάντα σὺν αὐτῷ!
Πρὸς Σὲ τὸν Ἄῤῥευστόν μ' ἄλλαβε, ὦ Ἄχρονε! —

Ὕμνος, ὅταν τοῦ κώδωνος ἀκούωμεν τοῦ τὸν δι' Ἀγγέλου πρὸς Μαρίαν σωτήριον ἡμῖν χαιρετισμὸν σημαίνοντος.

Πὰρ Θεοῖο πρὸς Μαρίαν
Γαβριὴλ ἀποσταλεὶς
Ἄγγελος, κατεῖπεν αὐτῇ,
Ὅττι ἐκ τοῦ Πνεύματος
Τοῦ ἁγνοῖο συλλαβοῦσα,
Θεῖον Υἷα τέξεται.

Ἡ δ', ἀκυτισθεῖσα ταῦτα,
Εἶπε δῖα παρθένων·
Εἰμὶ δȣ́λη Κυρίοιο·
Πᾶν τὸ Αὐτῷ εὐδοκȣ̃ν
Μοι συνευδοκεῖ ὁμοίως·
Πᾶν, ὃ λῇ, γένοιτό μοι!

Γίγνεται δὴ, ταῦτα φάσης
Παρθένȣ πειθήμονος,
Σὰρξ ὁ τȣ̃ Θεοῖο Υἱὸς
Ἐξ ἐκείνης αἱμάτων,
Ἥ τε τȣ̃ Λόγοιο σκηνὴ
Πήγνυται μεθ' ἡμέων! —

Ἡ Θέανδρον ἄμμι δȣ̃σα,
Χαῖρε, Μητροπάρθενε!
Θαῦμα ἐν κόραις, γένȣς τε
Κῦδος ἀνθρωπηΐȣ!
Γῆς φάος! βροτησιάων
Ἐλπίδων πανήγυρι!

Πότνα κȣ́ρη, τȣ̃ καλοῖο
Ἠξιωμένη μέρȣς,
Κἄμμε θηΐων πάρισχε
Ἀξίȣς δωρημάτων·
Σαῖς λιταῖς ὀναίμεθ', ȣ̃περ
Σῷ τόκῳ εἰλήφαμεν!

Ναὶ, τὰ Υἱέως ὀνῆσαι
Ἡμέας μυστήρια,
Σαρκὸς ἔνδυσις, γενέθλη,
Ἔργα καὶ διδάγματα,
Μόχθοι, ἆθλοι αἰκίαι τε,
Πότμος ἠδ' ἀνάστασις!

Πάντα, πρᾶττε πὰρ Θεοῖο,
Συμφέρειν τάδ' ἄμμι τε
Πνεύμασίν τε κατθανόντων
Τληπαθεῦσι τηνόθι,
Τοῖσιν ἐς τὰ ὐρανοῖο
Οὐκ ἔην πω προσβατόν! —
Δόξα Πατρί, δόντι Υἱόν
Μοι τὸν ἠγαπημένον·
Υἱι δόξ ἰδ' Ἐκπορευτῷ,
Τῷ μὲν ἠνθρωπισμένῳ,
Τῷ δ' Ἐκείνῳ θαυματουργῷ
Τῆς ἐνανθρωπήσεως! —

Προσευχὴ μνημονευτικὴ τῆς κυριακῆς ἀγωνίας,
τῇ πέμπτῃ τῆς ἑβδομάδος.

Οἷα ὑφεστηκὼς ἔτλης, φίλε Χριστέ! δι' ἡμᾶς!
Τὸ τῶν ἐλαιῶν οὖρος — οἷον εἶδε Σέ!
Ἠδυνάτεις ὁ ἐὼν δύναμις πάντεσσι βροτοῖσι!
Κατησθενοῦ ὁ ἀσθενοῦσιν ἰσχὺς ὤν!
Σῶμά τε καὶ ψυχὴν ἐμόγεις ἀφάτως, περίλυπος,
Ἀδημονῶν, ἀγωνιῶν, ἔκθαμβος ὤν!
Τειρόμενος, τὰ Σὰ θεὶς γόνατ' ἔκλυτα, κἠπὶ πρόσωπον
Χαμαὶ πεσὼν κόπῳ, ἀήθως ἀδρανῶν,
Ταὐτὰ θέλων τῷ Σῷ, στενοχωρῶν, Πατρὶ προσηύχου,
Μάλ' ἐκτενῶς καὶ λιπαρῶς λιτήσιος!
Σοὶ δ' ἐπὶ γῆν κατέβαινεν, θρόμβοι αἵματος, ἱδρώς,
Αἰνῶς ἀμηχάνῳ ἀέθλῳ ἐκθλιβείς!
Ἠιτοῦ μὲν λώφημα παθῶν, ἀτὰρ οὔτι παρῃτοῦ,
Βουλῇ δ' ὁμογνώμων ἔῃς Πατρωΐῃ·

Δεινότατον δ' ἐφάνη, Πατρόθεν προσενεχθὲν ἑλέσθαι,
Ποτήριον, πιεῖν τε Σοὶ πρȣτείνετο!
Γευσάμενος δ' ἄρ' ἀπειρεσίων τȣτ' ᾔσθεο πικρῶν
Μεστὸν μάλ' ὄν, κατάπλεω, ὑπέργομον!
'Αλλ' ἔπιες τὸ ὀφειλόμενον πῶμ' ἄμμιν ἀλιτροῖς·
'Ημῶν ὕπερ, πικρόν περ ὄν, νιν ἔκπιες! —
'Η δὲ Τεὴ ξυνοχὴ, ὁ Τεὸς πόθεν ἤλυθε θλιμμός;
Πόθεν, Θεάνδρῳ γ' ὄντι, Σοὶ τάδ' ἄχθεα;
Κακὰ τὰ μυρία κεῖνα κατ' ὄμματα Σοὶ πύκν' ἐφοίτων,
"Α μέλλες ἐκ βροτῶν ὑπὲρ βροτῶν παθεῖν!
Αἴσχεα δ' αὖ μερόπων πάντων τε ἑνός τε ἑκάστȣ,
'Αμαρτίας σαφῶς ἔλευσσες ἐμφανεῖς!
'Α, κἀγὼ προσέθηκα Τεοῖς βάρος ἄλγεσι πολλόν!
'Εμαῖς γ' ἀλιτρίαις πλέον τι ἤχθεο!
'Αμφαδὰ τῆς ἐν ἐμοὶ γνώμης τὸ διάστροφον ἄθρεις,
Τάς τ' ἐξ ἐμȣ̃ αἰσχρὰς, πονηρὰς πρήξιας!
Πᾶσα παρίστατο Σοὶ κακίη, φανερὴν μάλ' ἑώρας
Μοχθηρίην τε κἀχαριστίην βροτῶν!
'Ασθενίας θνητῶν συνέπασχες ὁμῶς, ὀδύνας τε
Πάντων ταλαιπωρȣ́μενος συνησθάνȣ!
Ποικίλ' ἐβάσταζες τὰ ἁπάντων δεινὰ ὑποστάς,
"Ολων τ' ἐγεύȣ τῶν ἐν ἀνθρώποις κακῶν! —
Ταῦτα δὲ πάνθ' ὑπέχων τλήθυμος, ὁρῶν, μέγ' ἐλυπȣ̃,
Σωτηρίης καὶ ὣς τοσȣ́τȣς ἐκπεσεῖν,
Καὶ πλεοναζȣσῶν τῶν τȣ̃ ῥυσθῆναι ἀφορμῶν
'Οδῶν τε, εἰς ὄλεθρον αἰπὺν ἐμπεσεῖν!
'Αλλ' ἐς ἐμεὶ ἡ Σὴ μὴ κεινὴ, Χριστὲ μεσῖτα,
'Αγωνίη γένοιτο, μηδ' ἀνωφελής!
Μή με ἴδοις, ἔνοχόν περ ἐόντ', ἐν ἀπολλυμένοισι!
Μή μοι τοσαῦτα εἰς μάτην ἔοις παθών!
'Εν κείνοις δέ μ' ἴδοις, τοῖς, καὶ ἀλιτȣ̃σί περ, εἶτα
'Εκ Σῶν παθῶν χάρις μεταγνȣ̃σιν φύη! —

Σοὶ χάριτας, ὑπὲρ ὧν ἐμέθεν τε ἕκητι καὶ ἄλλων
Ἐκαρτέρεις, λέγω, Σαῶτα! μυρίας·
Ἐξ ἦ Σοὶ πόνος ἦν ἰδ' ἀγὼν χ' αἱμόῤῥυτος ἱδρώς,
Ἀφιέρωκας ἡμέων μοχθήματα.
Οὐκέτ' ἀλυσιτελὴς θνητῶν κόπος, ὐκέτ' ἄμισθος·
Ὀνήσιμον δ' ἔθης Σὺ κἄξιόν τινος. —
Αἰσθόμενον δὲ Σὲ γνὺς οἰκτίστων ἀθλιοτήτων,
Μὴ μεμψιμοιρέοιμι μηδαμῇ τύχῃ,
Ἀλλὰ βλέποιμι Σὲ τὸν πολυτλήμον' ὄρει ἐπ' ἐλαιῶν·
Σῦ δ' εἵνεκεν φέροιμι σύν τε Σοὶ ἅπαν! —
Δόξα Τεΐν, Ῥυστήρ! ὅς Ἑοῖς παθέεσσι Τοκῆα
Καὶ Πνεῦμ' ἐφ' ἀμῷ τὼς ἐδόξασας καλῷ! —

Προσευχὴ μνημονευτικὴ τῦ κυριακῦ θανάτυ,
τῇ ἕκτῃ τῆς ἑβδομάδος.

Εἶναι μνήμονας, εἴ τινος
Καὶ ἄλλοιο, Σέθεν, Χριστὲ Θέανδρε! χρὴ
Πάντως κἄλλοτε καὶ τῷδε μάλισθ' ἡμέας ἤματι.
Ἕκτῳ γ' ἠελίυ φάει,
Ἕκτῃ ἑβδομάδος λύσιος ἡμέρῃ
Ἐσβέσθης, τὸ φάος τῶν μερόπων, αὐτοθελεῖ σβέσει!
Οὐδὲν τῶν γεγενημένων
Οὕτω θαυμάσιον, ὡς Σύγ', ὑπερθανὼν
Ἡμῶν, φὼς Θεὸς ὤν, κἄμμι μόρῳ εὐμενίσας Θεόν!
Ἤτην ἀμφιχύτω Θεῷ
Ἀῤῥήκτῳ συναφῇ καὶ προσενυμένω
Ἄμφω, σῶμά τε Σῦ πνεῦμά τ', ἰῇ ὄντ' ἐν Ὑποστάσει.
Οἴω ῥ' ἀμφοτέρω οἴην
Ἀλλήλοιν παθέτην τὴν ἀποχώρισιν!
Ὡς τιμῆσσα βίῃ αὐτοθελεῖ ἦγ' ἐλύθη ζόη!

Σῦ τῇ ἀνδρομέῃ φύσει
Νηρίθμυς καμάτυς τλὰς ἰδὲ ὕβριας,
Ὠδίνων ὀδύναις ἐξέλιπες, ἐν σκόλοπι παγείς!
Συγγνώμην δὲ πρὸ τῦ θανεῖν
Αἰτήσας ἀδίκοις, συντελέσας ἅπαν,
Εἰς Πατρὸς παρέθυ πνεῦμα Τεὸν πανδυνάμυς χέρας. —
Ἐς κόσμον δι' ἁμαρτίης
Διττὸς βῆ θάνατος· τῷ δὲ Τεῷ μόρῳ
Διττὸς πότμος ἀπῆλθ', ἠδ' ἐδάμη ἶφι ἁμαρτίη.
Καὶ ψυχαῖσι γὰρ ἡμέων
Τὸ ζῆν ἀΐδιον, καὶ φθιμένοισί περ
Ἡ μέλλυσα Τεῦ ἐκ θανάτυ σώμασιν ἄνστασις.
Σή νυ, Χριστέ! καταστροφὴ,
Ὃς θνητῶν ἐθελοντὴς ὑπὲρώλεο,
Ἡμῖν πνευματικὴν σωματικήν τ' εἰργάσατο ζόην.
Σοὶ ἡ κτιστὺς ὀφειλέτις
Κοινῇ πᾶσα· ὅλη γῦν κατέθυ χάριν·
Πρὸς Σῦ καινὰ τὰ ὄντ' ἐκ βλαβέων ἀποκατεστάθη.
Οἵυ Σεῖό γ', ὑπὲρ φίλυ
Εἰ καὶ προφρονέως ἀντιθανύμεθα,
Πρὸς τὴν Σὴν χάρις ἡ ἡμετέρη ὡς ὀλιγήριος!
Οὐκ ἴσοις Σέγ' ἀμείψεται
Οὐδεὶς ὑδὲ θανών· τῶρα βιῦν γ' ὑπὲρ
Σῦ, καἰῶνα τρόποις δὸς διάγειν Σοὶ καταθυμίοις. —
Σὲ ξύμπασα φύσις σέβοι
Ῥύστην ἐξ ὀλέθρυ, καὶ περὶ ἡμέων,
Ὀφλητῶν ἀπόρων, τῇ Τριάδι τῦ ἱκανῦ δότην!
Ὦ Σῶτερ! θανάτυ Τεῦ
Ἡμῖν ζῶσί τ' ἔοι καὶ ἐπὶ τέρματι
Τῦ ζῆν γεινομένοις ἠδ' ἐς ἀεὶ καρπὸς ὀφέλλιμος!

Ἐκ Σῦ, Ἀμνὲ Θεῦ τυθείς!
Κυδαίνοιτο Πατὴρ Πνεῦμά θ' ὁμῷ κλέει!
Καὐτὸς δ' ἰσόμορον κῦδος ἔχοις ἐς τὸ διηνεκές! —

Ὕμνος ἐπὶ τῦ Θεῦ.

Ὦ ὁ Ὢν, μῦνος Θεός, ὦ ἄναρχε
Κἀτέλευθ', ἡμῶν ἀλάλητε γλώσσῃ!
Παμπάτορ, πάντων προνοητὰ φύντων,
Παμβασιλεῦ τε!

Τῶν ὅλων γνωστὴρ τελέως, πανόπτα,
Πανταχῦ ἡμῖν παρεὼν ὅλος μέν,
Οὐδ' ὅλον χωρεῖ τόπος ὐδαμὸς Σέ,
Πάγχυ γ' ἄπειρον!

Ὦ Πάτερ καὶ Παῖ ἅγιόν τε Πνεῦμα,
Ὃν μάλ' ἀφράστως τρισὶν ἐν Προςώποις
Ἄγγελοι θνητοί θ' Ἕνα προςκυνῦντες
Δοξολογῦσιν!

Εἷς μὲν, ὢ, οἱ Τρεῖς, ὁ δὲ Εἷς πάλιν Τρεῖς!
Τὴν φύσιν γ' Εἷς, τὰς δὲ Ὑποστάσεις Τρεῖς
Ὢν, Θεός! χαίρεις μόνος, ἀλλὰ τρισσὸν
Χάρμα, μακαρτός!

Καὶ ἐγὼ χαίρω ἐπὶ τῷ τοσῦτον
Ἠδὲ τοιῦτον Σὲ ἀεὶ ὑπάρχειν·
Γηθέω καὐτὸς, διότ' εἶ Θεὸς Σοὶ,
Ἠδὲ Πατήρ μοι! —

Προςκυνεῖν δὴ Σοί, Τριπρόςωπ', ἔασον
Τόνδ' ἁμαρτωλόν, κονίην τ' ἐόντα
Καὶ σποδὸν καὶ χῦν, με καταξίωσον
Σοὶ ὀαρίζειν!

Εἷς Σὲ πιστεύω, Παναληθές! ἐν Σοὶ
Πείρατ' ἐλπωρῆς τίθεμαι, Κράτιστε!
Κἀγαπᾶν μοι δός Σ', ἐῦ ὄντ' ἐάων,
Ἄφθιτον, οἷον!

Σεῖο θαυμάζειν φύσιν ἠδὲ κάρτος,
Σοί τε λατρεύειν, Τρισυπόστατ' Ἄρχων!
Βούλομαι, θνητὸς Σέο μνημονεύειν
Ἀθανάτοιο.

Κτίσμα ποιητὴν σέβομ' εὐλογῶ τε,
Δεσπότην τιμῶ ἅμα καὶ φοβοῦμαι
Δοῦλος, ἄνθρωπος Θεὸν ἅζομαι Σὲ
Παντοδυνάστην.

Αἰὲς ὢν πάμπαν μάκαρ ἐν Σεαυτῷ,
Ἠδ', ἀνάλλακτός γε, μένων ὁ αὐτός,
Ἀγνοεῖς ἀρχὴν, ἀγνοεῖς τελευτὴν,
Θαῦμα νοῆσαι!

Ἀλλὰ τοῖς ἄλλοις, ὅποσ' ἐστὶν ἔξω
Σεῖο, τὴν ἀρχὴν Σύ, ἄναρχος Αὐτὸς
Κἄχρονος, δῶκας· διὰ Σοῦ φύημεν
Πάντα καὶ ἐσμέν.

Ξὺν Σὺ καὶ τηρεῖς ὅλα καὶ φυλάττεις·
Πάντα δ' ἐκ μούνου Σέο τὴν ὕπαρξιν
Λαμβάνει αἰεὶ, συνεχῶς τε ἶφι
Κτίζεται ἐκ Σοῦ.

Εὖ δὲ καὶ τάττεις ὅλα καὶ κυβερνᾷς
Πανσόφῳ βουλῇ, μέσα ὥστε πρώτοις
Καὶ συναρμόζειν πύματ' αὖ μέσοισι,
Πάντα τε πᾶσιν. —

Ἀλλὰ θαυμαστή γε μάλιστα πάντων
Ἡ ὑπὲρ θνητῶν μεγάλη πρόνοια,
Ἥ τ' ἐς ἀνθρώπους ἀγαθωσύνη Σου
Κεὐνοϊκὴ φρήν.

Γῆν μὲν ἀνθρώπϐ χάριν ἐκτελέσσας,
Αὐτὸν ἄνθρωπον διὰ Σὲ κτίσασκες·
Πρὸς Σὲ, ναὶ, τϐτόν γ' ἐποίησας, ἠδὲ
Εἵνεκα Σεῖο.

Τὸν γὰρ ἄνθρωπον καθ' ὁμοιότητα
Ἔπλασας τὴν Σὴν, κατὰ τὴν Σεαυτϐ
Εἰκόνα, ψυχὴν νοερήν οἱ ἐνθεὶς
Ἀθάνατόν τε.

Ζωΐων μϐνῳ Σέο γνωστικήν τε
Δῶκας ἀνθρώπῳ ἀγαπητικήν τε
Τὴν φύσιν, μϐνον λογικὸν καὶ αὐτεξ-
ϐσιον ἔρξας. —

Ἀλλ' ὅσοι καὶ ὧς Σ' ἀγνοϐσ'! ὅσοι Σὲ
Οὐδὲ βϐλονται, Τριςάριστε, γνῶναι!
Τῶν δὲ Σὲ γνόντων ὅσοι ϐ τίϐσιν,
Ὃν μάλ' ἴσασιν!

Εἰδέναι Σ' ὀρθῶς, ἐπεγνωκέναι τε
Σὸν θέλημ', αὕτη σοφίη κρατίστη·
Ἡ δὲ καλλίστη ἀρετὴ, τὸ Σεῖο
Εἶναι ἐραστήν.

Κῆρος ἐκ παντὸς Τεῒν εὐχαριστῶ,
Ὅττι μοι Σαὐτὸν φανέρωσας, ὅττι
Μοι ἐδωρήσω περὶ Σεῖο πίστιν
Τὴν ἐναλήθως.

Ὀρθοδοξϐσης μέγα τίμιόν τε
Πίστεως δῶρον πάνυ, ᾗ Σέ τ' οἶδα,
Οἷος εἶ, χ' οἷόν με θέλεις γενέσθαι,
Σοὶ ἵν' ἀρέσσω.

Τήνδε μοι πίστιν, δέομαι, φυλάξας
Αἰὲν αὔξησον· χ' ἵνα μὴ γένηται
Πίστις ὡς νεκρὴ κενεή τε, δός μοι
Καὶ φιλέειν Σέ.

Πᾶς δ' ὁ μὴ, ὥσπερ μὲν ἔην καθῆκον,
Σοὶ δοθεὶς, ἡμῖν ἀπόλωλε καιρός·
Πᾶν τὸ μὴ πραχθὲν διὰ Σὲ, βδελυκτὸν
Γέντο κενόν τε.

Μὴ διὰ μνήμης Σὲ ἔχων τις αὐτȣ̃,
Ἠδ' ἀφροντίστως διάγων Τεοῖο,
Φαίνεται ζώων ἀλόγων ὑπάρχων
Οὐδὲν ἀμείνων.

Ἀλλ' ἐλέγχονται ἔτι καὶ κακίȣς,
Οἵτινες μὴ Σȣ̃, λογικῶς ἔχοντες,
Τȣ̃ Λόγȣ καὶ Νȣ̃ ἀλέγοντές εἰσι
Τȣ̃ ὑπάτοιο.

Ζῶα μὲν γὰρ τἄλογα κἀνόητα
Εἰ Σὲ ȣ̓κ οἶδεν, φυσικὸν τόδ' ἐστίν·
Ἡ δ' ἐȣ̃σ' ἔμφρων φύσις, εἴγ' ἀγνῶς Σεῦ,
Γίγνεται ἄφρων.

Μνήμονες τοίνυν Σέθεν, εὐχαρίστοις
Ἐν λόγοις αἰνȣ̃ντες ἐφυμνέωμεν
Τὸν φύσει τ' ἐσθλὸν πανάπειρον ὅσσον
Κἠσθλὸν ἐς ἡμᾶς! —

Ἀλλὰ τολμηρὸν μάλα καὶ ἀναιδὲς,
Εἰ κακȣ̀ς ȣ̃τως, ἀγαθῷ τοσȣ̃τον,
Εἰ ἔχει, Σοὶ τῷ ἁγίῳ, ἀνάγνȣς
Θάρσος, ὁμιλεῖν!

Καὶ γὰρ οἱ πρῶτοι ἀπίθησαν ἤδη
Κεὶς Σὲ ἥμαρτον μέροπες· τί δ' ἡμεῖς;
Οὔτι βελτίȣς, παρέβημεν ἶσα,
Οἱ μετ' ἐκείνȣς!

Εὔνοος δ' ἡμῖν Σὺ, καὶ ὑβρίσασιν,
Ἀντὶ τῶν κακῶν ἀπέδωκας ἐσθλά,
Οὐ χάριν τοίην ὑπερηφάνοισι
Πνεύμασι νείμας.

Πτῶσιν ἀνθρώπων ἐλεῶν καὶ ἄτην,
Ἄμμι συγγνώμην παρέχεις, ἱλασθεὶς,
Ἢν ἁμαρτῦσιν ἀκόλυθος ᾖσιν
Ἡ μετάνοια. —

Εἰμὶ μὲν κἀγὼ κατὰ πολλὰ πολλὸς
Σοὶ ἁμαρτωλὺς· μέγα δ', ὦ Μέγιστε!
Μικρὸς ὢν κῦδεἰς, Σὲ ἀτιμάσας, Σὲ
Οἶδ' ἀδικήσας!

Αὐτὰρ οἴκτειρον! μετὰ γὰρ μέλει μοι
Πλημμελήσαντι τόσα κἀμπλακόντι·
Σοὶ θέλω εἶναι ἀπὸ τῦδε πιστός,
Κύριε! δῦλος.

Τῶν ἐμῶν φαύλων τὸ ἴαμα ἐν Σοί,
Καὶ ὁ ἰσχύων ὀλέσαι δικαίως,
Ἢν θέλῃς πρόφρων, δύνασαι ὁμοίως
Καί με σαῶσαι.

Ἔλπομαι δ', ὡς ὐκ ἔσεται, Φίλοικτε!
Νηλεὴς ἡ Σὴ κατ' ἐμῦ δίκησις,
Ἀλλά μοι συγγνὺς ἄφεσιν ποιήσῃ,
Ὧν ἀλίτησα. —

Ὦ Θεός, λάμπυσα νόεσσιν αὐγή,
Πῦρ τὸ θερμαῖνον κραδίην ἐν ἡμῖν,
Ὄφρα Σὲ γνῶμέν θ' ἅμα κἀγαπῶμεν
Τὸν Πατέρ' ἡμῶν!

Μηκέθ', ὡς πρόσθεν, τόδε μοι γενέσθαι,
Ὥστε με πρᾶξαι δυσάρεσκα Σοὶ τῷ
Ὄντι τῶν ὄντων, φιλέοντι τόσσῳ
Χείρονας ἡμᾶς!

Φώτισόν μυ τὴν διάνοιαν εὔφρων,
Ἠδὲ κίνησον τὸ θέλημα τὐμόν,
Ὡς τὰ καλ' εἰδῶ, κρατερῷ τε θυμῷ
Αὐτὰ ἕλωμαι.

Οὐρανῷ πάτρῃ, ἐπὶ γῆς περ ὄντα
Νῦν, με ἔκτισσας, Θεός! ὡς καὶ ἄλλυς·
Οὐρανὸν ζητεῖν, φρονέειν, πνέειν με
Ἐγχθόνιον λῇς.

Καὶ ἐς αἰῶνας, τέλος ὐκέτ' ὐδὲν
Λοιπὸν ἕξοντας, παρὰ Σοὶ μακαρτὸς
Ἔσσομαι, καλῶς βιοτὴν βιώσας
Τὴν ἐπὶ γαίης.

Αὐτὰρ, ἆ, φαύλως βιοτήσιός μοι
Ἐῤῥύη καιρὸς μέχρι τῦδε, κὐκὶ
Σὴν κατὰ γνώμην· Σὺ δέ, μιν, πόροις, με
Εὖ τελέσαι γε! —

Λαμβάνει πάντως μεγάλη χαρή με,
Καὶ φόβος δ' αἱρεῖ ἅμα με τρόμος τε,
Ἐν βραχεῖ μέλλοντα ἱκέσθαι ὡς Σὲ
Καὶ Σὲ ἰδέσθαι!

Ἔσσομαι Σοὶ, ὡς μὲν ἔολπ', ὅμοιος·
Ὄψομαι Σαὐτόν ποτ' ἐγὼ, καθὼς εἶ·
Γνώσομαι Σαὐτὸν, Τεΐν ὡς ἐγὼν ἐ-
γνωσμένος εἰμί!

Ὦ Θεός! δοίης τὸ Σέθεν τυχεῖν με,
Καὶ τὸ Σὲ γνῶναι σάφα κἀκαλύπτως,
Καὶ τὸ εἰς αἰεὶ μετὰ Σῦ τὰ πάντα
Ὄλβιον εἶναι!

Μή μ' ἀποῤῥίψῃς, καὶ ἀνάξιόν περ
Ἠδ' ἀνοίκειον, Πάτερ! ἀλλὰ φωτὸς
Ὄψεως τῆς Σῆς μέτοχον ποίησον
Τῆς ἐρατεινῆς!

Καὶ τότ' αἰνήσω, τότε προσκυνήσω
Μᾶλλον, ἤ μοι ἦν ἐπὶ γῆς ἐφικτόν·
Ναὶ, τότε στέργων ἔσομαι Σὲ πλεῖον
Ὑμνολογῶν τε! —

Ὦ Τριὰς καὶ Εἷς, Θεός! εἰςακούσας
Ἵλεως τονδὶ ἀπόδεξαι ὕμνον,
Καίπερ, ἃ, Σου τῆς μεγαλωσύνης ἀπ-
άξιον ὄντα!

Ἀξίως τίς γὰρ Σὲ δύναιτ' ἂν αἰνεῖν;
Δοξάσαι, ὡς δεῖ, τίς ἂν ἀρκέσειε
Τὸν βροτοῖς οὔπως ἴσον ἠδὲ παντὸς
Μεῖζον' ἐπαίνου;

Ἀλλ' ὅμως εἰκὸς πάνυ καὶ δίκαιον,
Σεῖο μνήσασθαι, τελέσαντας ὕμνους,
Ἄμμε, τιμαλφεῖν τε Σὲ καὶ κλεΐζειν,
Ὅσσον ἐφ' ἡμῖν.

Κεὶ γὰρ οὐ χρήζεις, ἱκανώτατός γε
Σοὶ ἐὼν Αὐτός, βροτέων λατρευτῶν,
Ἀλλὰ Σοῦ ἡμεῖς δεόμεσθα πάμπαν,
Ὦ Θεὸς ἡμῶν!

Κεὶ δὲ μὴ χρεία μερόπων σεβασμοῦ
Σοί γ', ὅμως αὐτοὺς κέλεαί γε πάντας,
Σοῦ ἔχειν μνείαν ἀγαπῶντας ἠδὲ
Εὐλογέοντας.

Μνήσομαι τοίνυν Σέο, Σοί τ' ἀνοίσω
Χειλέων καρπόν, θυσίην ἐπαίνου,
Τῷ ὑπὲρ πάντας ἀγαθῷ λίην τε
Ἀξιοτίμῳ. —

Δόξα Σοὶ αἰέν, Πάτερ ὑψίθωκε!
Δόξ' ὁμὴ Σοί, Παῖ ἅγιόν τε Πνεῦμα!
Δόξα Σοὶ κἀινῇ Τριάδι νεμέσθω
Καὶ Ἑνότητι! —

Ὕμνος πρὸς τὸν Θεὸν Πατέρα.

Ὦ Πάτερ αὐτόπατορ, γενετήρ, ἀγένητος ὑπάρχων
Αὐτός, ἀειγενέος Υἱȣ̃ ἑνὸς ἠδὲ μόνοιο,
Τȣ̃ δ' ἁγίȣ προβολεῦ, μετὰ τȣ̃ Σȣ̃, Πνεύματος, Υἱȣ̃,
Πνεύματος ἠμὲν Σοὶ ἠδ' Υἱῷ πάμπαν ἐΐσȣ!
Ὦ ὁ Σὲ γιγνώσκων Αὐτὸς τὸν ἄπειρον ἀπείρως,
Γιγνώσκων Σὲ ὅλως ὅλον, Υἱά τε Πνεῦμά θ' ὁμοίως,
Καὶ γιγνωσκόμενος πάλιν ἀμφοτέροισιν Ἐκείνοις!
Ὦ ὁ ἀμετρήτως χαίρων ἐπὶ Σοί τε καὶ Υἱῷ
Καὶ τῷ Πνεύμαθ' ὁμῶς, χαιρόντοιν ἔμπαλι Τȣ́τοιν!
Ὦ ὁ φιλῶν μεγαλωστὶ τὸν Υἱά Σȣ ἠδὲ τὸ Πνεῦμα,
Οὐχ ἧττον καὐτοῖν Τοῖνγ' ἀντιφιλȣ́μενος ἀμφοῖν!
Ὦ μάκαρ ἐν Σαὐτῷ, μάκαρ ἐν τῷ Υἱέϊ κἀνὶ
Πνεύματι τῷ ἁγίῳ, μάκαρ ὢ τρὶς ἀπειρεσίως τε!—
Χαίρω δὴ ἐπὶ τῷ μάκαρί Σȣ χάρματι κἀγώ,
Καὶ γηθῶ ἐπὶ τῷ Σὲ τόσον τ' ἔμεν ἠδὲ τοιȣ̃τον.
Ἀλλὰ Σύ, σεμνὲ Πάτερ καὶ πάσης ἄξιε τιμῆς,
Ὕψιστός περ ἐών, καθόρα με τὸν ἔνθα ταπεινόν.
Πρὸς Σὲ ὁ μικρὸς ἐγὼ τὸ ψυχικὸν ὄμμ' ἀναβάλλω·
Σοὶ μάλ' ἐπίστημι γνώμην, κραδίην τε προςίσχω.
Δός μοι τȣ́ξεῖναι, Σὲ καλεῖν, φωνεῖν, ὀνομάζειν,
Καὶ Σοὶ προςκυνέειν χαμόθεν τῷ παντοδυνάστῃ·
Ὢν δὲ τοσȣ̃τος, ὅμως μȣ δέξαι ἵλεος εὐχάς,
Στέρξας τῇ παρ' ἐμȣ̃ δȣλείᾳ ἠδὲ λατρείᾳ,
Οὐχ ὡς δευόμενος θεραπείας τῆς παρὰ θνητȣ̃,
Ἀλλ' ὅτι, λατρεύειν με Τεῖν, κατὰ πάντα δίκαιον.—

Ἐσθλὸν γεραίρω, τῇ ἰδίῃ φύσει
Ἐσθλὸν καταστάντ', αὐτάγαθον σέβω,
Ἐσθλὸν Σὲ καλόν τ' ὁσιωδῶς
Ὄντα φιλῶ ὑπὲρ ἄλλα πάντα.

Οὔπω μὲν ἡ γῆ, ὐδὲ ὁ ὐρανός,
Οὐκ Ἄγγελοί πω, ὐδ' ἔσαν ἀνέρες·
Αὐτὰρ Σὺ ἤδη καὶ τότ' ἦσθα
Πάγχυ σεβαστὸς ὁ αὐθύπαρκτος.
Ἡ τῦ Σὲ τίειν ἄμμι Σὺ αἰτίη
Αὐτός· Σεαυτῦ ὔτι ὑπέρτερον·
Πᾶσιν σέβας καὶ προςκύνημα
Ἡ ἰδίη παρέχει Σὲ ἐστώ.
Εἰ πᾶν τὸ καλὸν κἀγαθὸν ὄν, φίλον,
Εἶναι τί μέλλει μοί ποτε φίλτερον
Σῦ, τῦ ἐν Αὐτῷ παγκάλοιο
Παναγάθοιό τε ἐξ Ἑαυτῦ;
Θνητὺς τὰ ἐκ Σῦ δῶρ' ἐρατὺς τιθεῖ,
Οὐδ' ἐξ ἑαυτῶν εἰσὶν ἐράσμιοι·
Τύνη δ' ἔης καὶ εἶς ἔσῃ τε
Ἐκ Σέθεν ἀξιέραστος Αὐτῦ.
Πάντων πρὸ ἔργων, ὦ Πάτερ! ἐσθλὸς ἦς·
Ἐσθλὸς δ' ὁ αὐτὸς πάντα μετ' ἔργ' ἔσῃ·
Ἐσθλὸς Σὺ μίμνεις, καίπερ ἄλλων
Ἄψ ἀφανιζομένων ἁπάντων. —
Χαίροιμι τοίνυν ἀμφ' ἀγαθῦ Σέθεν
Ὄντος καθ' Αὐτὸν πάντοτε, παντελῶς·
Χαίροιμ', ἐφ' οἵῳ Σοὶ Τοκῆϊ·
Ἡ περὶ Σεῖο χαρὴ δίκαιον!
Πόῤῥω ποιήσας μευ τὸ φίλαυτον ὄν,
Πάντεσσι τιμὴν ἀπονέμειν με δὸς
Τοῖς ἀξίοις, γέρας δὲ Σοὶ τῷ
Ἀξιοτιμοτάτῳ μέγιστον.
Ἀλλ' εἰς τὸ τιμᾶν Σ', ὐχ ἱκανῶς ἔχω!
Τὴν συμπρεπῆ τιμὴν ἀγάπην τε Σοὶ
Ἀνθρωπότης ἡ τῦ Θεανδρῦ
Ἀντ' ἐμέθεν προςάγυσα ἥκοι.

Χριστὸς μεσίτης Σοί, Πάτερ! ἀνδάνοι·
Ἀνὴρ Ἰησȣ̃ς ὢν ἅμα καὶ Θεός,
Μευ τὐλλιπὲς πληρῶν ἀρέσκοι,
Καὶ ἐνὶ Τῷγ' ἀγαπῷς Σὺ κἀμέ.

Τὸ Πνεῦμ' ὁμοίως, ἡ ἐνυπόστατος
Ἐνȣ́σιός τ' ὂν Σȣ̃ Ἀγάπη, Γονεῦ!
Τὴν ἐνδεῆ πληροίη ȣ̓σάν
Μευ φιλίην προτὶ Σέ, Κράτιστε!

Στέργει Σὲ Υἱὸς Πνεῦμά τ' ἐπαξίως,
Ἄμφω ἀπείρως τὸν συναπείρονα·
Στέργῃ Συναμφοῖν, ȣ̓ χέρηϊ
Στεργομένοιν παρὰ Σȣ̃ ἀμοιβῇ.

Στοργῇ ῥ' ἀπείρῳ γνȣ̀ς Σ' ἀγαπώμενον,
Ἐσθλὸν πρὸς Ἐσθλοῖν ἶσα καὶ Ἀμβρότοιν,
Κἀγὼ φιλοῖμ' αὐτὸς τόσον γε,
Ὅσσον ἐφικτὸν ἐόντι θνητῷ.

Στέργοιμι πάσῃ τῇ κραδίῃ Σέ μȣ,
Σαὐτȣ̃ δ' ἕκητι, μηδὲ δι' ἄλλο τι·
Στέργοιμι ἁπλῶς, ὡς καθ' Αὐτὸν
Καλὸς ἰδ' ἀξιάγαστός ἐσσι! —

Ἀλλ' ȣ̓χ Ἑαυτȣ̃ εἶς ἀγαθὸς μόνον
Τῇ ȣ̓σίῃ· Σῇ γȣ̃ν ἀγαθωσύνῃ
Ἔξω ἀπείργασται Σεαυτȣ̃,
Εἰς ἃ πέλοις ἀγαθός, καὶ ἄλλα.

Ἧι ἐμφύτῳ χαίρεις ἀγαθωσύνῃ,
Ταύτης ἔδωκας κἄμμ' ἀπολαυέμεν,
Εὔνȣς ἐς ἡμᾶς κἀγαθόφρων
Κἀγαθοποιὸς ἄγαν καταστάς.

Χρηστὸς Σὺ ἀνθρώποις γέγονας Πατὴρ,
Καὶ πάντα πᾶσιν· βȣλομένȣ Σέο,
Ὦ Δημιȣργ', ἐξ ȣ̓κ ἐόντων
Τἆλλά τ' ἔφυ καὶ ἐγὼ ὑπέστην.

Σὺ κτιστικὸς πάντων, Σὺ συνεκτικὸς
Ἠδ' εἰς τὸ ἡμᾶς τακτικὸς ὠφελȣ̃ν·
Σὺ ξυμφερόντως ἄμμι κήδῃ
Καὶ προνοεῖς σοφὸς, ὧν ἔοργας.

Πάντων ἐάων ἄμμι δοτὴρ Σὺ εἶ,
Σωτηρίων πάντων μόνος αἴτιος·
Οἶος Σὺ, ἐκ κακῶν καὶ αὐτῶν
Ἐσθλὰ βροτοῖς θέμεν, ἐσσὶ δεινός.

Καλȣ̀ς γε τὴν ἀρχὴν ἀγαθȣ̀ς τέ Σοι
Ἐκτισμένȣς, αὐτὰρ γεγενημένȣς
Αὐτȣ̀ς δι' αὐτῶν πολλὰ κακȣ̀ς,
Ὀλλυμένȣς Σὺ ἔσωσας εὔνως.

Πεπτωκόσιν γὰρ καὶ ἀπολωλόσιν
Αὐτὸν τὸν Υἱὸν τὸν μονόπαιδά Σοι
Ῥύστην, ἐποικτείρας, ἔπεμψας,
Τραύματ' ἰασόμενον τὰ ἡμῶν.

Τῷ ὁ κτίσας πρῶτον μερόπων γένος,
Ἐκ δευτέρȣ αὐτῶν ἐγένȣ κτίτωρ·
Μείζω δ' ἔτι σφιν τῆς πάροιθε
Τὴν μετέπειτα χάριν ἔδρασας.

Σοὶ τοιγαρȣ̃ν, πάντες μέγ' ὀφειλέται
Εὐεργέτῃ λῴστῳ ἰδὲ δὶς κτίτῃ,
Μάλ' εὐχαριστȣ̃μεν δικαίως,
Καὶ δίδομεν τὸν ἐοικότ' αἶνον.

Σȣ τȣ̃νομ' αἰνείσθω διὰ πάνθ', ὅσα
Ἄμμ' εὖ φιλόφρων, ὦ Πάτερ! εἴργασαι
Ἀρχῆθεν ἤδη, χὤσ' ἔτ' ἄμμι
Τοῖς μετόπιν χαριεῖ χρόνοισιν. —

Φεῖσαι δὲ ἡμῶν, καίπερ ἀπειθέων
Φαύλων τ', ἐόντος Σȣ̃ ἀγαθȣ̃ τόσον,
Φεῖσαι, ἁμαρτόντων περ εἰς Σὲ
Τὸν πανάριστον ἀπείριτόν τε!

Μὴ, δυςχεράνας τῇ ἀχαριστίῃ
Τῇ τῶν βροτῶν, παύσῃ ἀγαθϐργέων,
Μηδ' ἐν λόγῳ ἀχρησίην θῇς
Καὶ κατάχρησιν, ὅσων ἔδωκας.

Κρείττων δὲ ἡμῶν τῆς κακίης ἔτι
Ἡ χρηστότης Σϐ κἀγαθότης πολύ,
Μείζων τε κακῶν τῶν ἐν ἡμῖν
Σὴ ἐλεημοσύνη τέτυκται.

Σὸν πλάσμα, καλόν Σοι πεποιημένον
Τὰ πρῶτ' ἄμυμόν τ', εἴςιδε ἡμέας·
Ἠλλαγμένϐς δ' εἶτ' ἐς τὸ χεῖρον,
Εἴςιδ' ὅμως, Πάτερ! ὡς Σὰ ἔργα.

Τοῖοί περ ὄντες, Σὰ κλύομεν τέκη,
Τύνη δ' ἀκϐεις ἡμέτερος Πατὴρ·
Σοὶ ζῶντες ἡμεῖς καὶ θανόντες·
Πῶς γὰρ ἂν ϐχὶ Τεόν τι εἴη;

Αὐτὰρ τὸ Σϐς, διττῶς πέλεται, ἔμεν·
Σϐς ἡ χάρις, Σϐς ἡ μέτοπις τιθεῖ,
Οὓς μὲν καλῶς, ϐ̓ς δ' ϐκί· Σοὶ δὲ
Ἄμμες ἀεὶ χάριτι μένοιμεν!

Σύγγνωθι ἡμῖν πραῢς ἁμαρτίας·
Εὑρὼν δὲ ποινῶν ἄμμε μάλ' ἀξίϐς,
Μνήσθητί Σϐ τῆς χρηστότητος,
Μηδὲ δικαιοσύνης καθ' ἡμῶν!

Σοὶ πάντα λοιπὸν πάντες ὑπήκοοι
Γενοίμεθ', ἡμῶν καὶ Πατρὶ καὶ Θεῷ·
Τὸ πλημμελὲς σύμπαν, τὸ μὴ ὂν
Σοὶ φίλον, ἄμμε δὸς εὐλαβεῖσθαι.

Κἂν δ' ἄμμι συμβῇ αὖθις ἁμαρτέμεν,
Ὡς ἤερος μὲν καὶ φάεος μετὰ
Ἐσθλοῖς δίδως κακοῖσί τ' ἶσα,
Τὼς μετάκοινος ἔοι χάρις Σϐ! —

Ὦ μοι πάτερ θνητῷ, Θεὸς ἄμβροτε!
Φαῦλός περ ὢν, ἆ, ἀμφ' ἀγαθῷ Τεῒν
Γηθοῖμ' ὅμως! γηθοῖμι καὶ νῦν
Κεὶς τὸ διηνεκὲς ἀμφὶ Σεῖο!
Μήπω μ' ἐόντ' αὐτὸν καλόν, ὦ Πάτερ!
Ποίησον ἥδεσθαί γ' ἐπὶ τῷ καλῷ
Τῷ Σῷ· ἀτὰρ καὐτὸν καλὸν δὸς,
Κἠπὶ καλῷ πλεόνως με χαίρειν!
Σοὶ προςκύνησις τῷ πανυπερτάτῳ
Καὶ τῇ Ἑαυτȣ̃ παναγάθῳ φύσει·
Σοὶ αἴνεσις τῷ ὄντι χρηστῷ
Ἠδ' ἀγαθῷ πάνυ καὶ ἐς ἡμᾶς! —

Ὕμνος πρὸς τὸν Θεὸν Υἱόν.

Ὦ Θεὸς ȣ̓̃κ τε Θεȣ̃ καὶ ἐν Θεῷ αἰὲς ὑπάρχων,
Τῆς Θεότητος ἴης μȣ́νης τε Ὑπόστασι, Υἱέ,
Δευτέρη, ἀλλ' ȣ̓δὲν τȣ̃ Πατρὸς δεύτερε τιμῇ,
Οὐδέ τι καὶ κράτεϊ, κȣ̓ κύδεϊ ὕστερε Κείνȣ,
Οὔτι νεώτερε τȣ̃ Γονέως Σέο, κȣ̓̃τι ἐλάσσων,
Γεννηθείς γ' ἐξ ἀϊδίȣ Γενετῆρι ὁμῆλιξ,
Ἰσοφυὴς Τȣ́τῳ, τόσος ὢν, ὅσος ἐστὶ καὶ Οὗτος,
Ταῖς τ' ἀρεταῖς τοῖος πάσῃσι μάλ', οἷος ὁ Φύσας·
Γεννηθεὶς δ' ἀχρόνως, ἀπαθῶς καὶ πάμπαν ἀτρέπτως! —
Ὦ τȣ̃ Ὑψίστȣ Δύναμι, Γεννήτορος Ἰσχύ,
Τῆς Τȣ́τȣ φύσεως ζῶσ' ἠδ' ἐνυπόστατε Εἰκόν,
Τῆς Αὐτοῖο ὑποστάσεως ὁλόκληρε Χαρακτήρ,
Κἀπαύγασμ' ἶσον τῇ δόξῃ τȣ̃ Γενέταο·
Νȣ̃ τȣ̃ Πατρῴȣ Σοφίη βαθύγνωμον ἀβύσσȣ,
Ἧς ἄτερ ȣ̓̃ποτ' ἐν ἀνθρώποις σεσοφισμένος ἦν τις,
Ἧς ἄτερ ȣ̓̃τι σοφοὶ καὐτοὶ οἱ Ἀγγελιῶται! —

Ὦ Λόγε τοῖο Τοκῆος ἐνὼσιε, ὐ κατὰ συμβὰν,
Αὐτὰρ ἀναγκαίως καθ᾿ Ὑπόστασιν ἐντελέθων τῇ
Ἐστοῖ τῇ Πατρικῇ ἀμέριστος, ἀσύμμικτος δὲ,
Κὐ συναλειφόμενος κράσει, ἰδίως δὲ ὑποστάς·
Τῦ Γενέτυ συνύπαρκτε Λόγε, ξύμπασι δὲ τοῖσι
Γεινομένοις διὰ Σῦ, νοερῶς ἐχέμεν λογικῶς τε,
Τῶν ὀρθῶν ξυνετῶν τε φρενῶν καθύπερθε χορηγέ!—

Ὦ Φῶς τὐκ Φωτός, τὸ ἀληθινὸν ἠδ᾿ ἀπέραντον,
Ἐν σκοτίῃ φαῖνον κόσμυ τῦδ᾿ ἀχλυόεντος,
Φωτίζον πάντ᾿ ἄνθρωπον νοεραῖσι βολῇσι·
Παῖ, ὃς ἄναρχον ἔχεις ἀρχὴν Σέο, τὸν Πατέρ᾿, ἀλλὰ
Καὶ μετὰ τῦ Πατέρος τὸ πάναγνον Πνεῦμα προβάλλεις,
Ἄμπαλιν ὢν ἀρχὴ κοινῇ Ἔθεν, ὡς ὁ Πατὴρ Σεῦ,
Οὐκ ἄλλος παρὰ Τῶγε Θεός, ἄλλος δὲ Πρόςωπον,
Ἀλλ᾿ ὐκ ἔξω Πατρὸς ἐών, ὐ Πνεύματος ἔξω,
Ἄμφω μὲν φιλέων, Ἀμφοῖν δὲ φιλύμενος αὖτε
Θεσπεσίῃ φιλίῃ οἵῃ τε κατάξιόν ἐστιν! —

Ὦ Κτίστορ μετὰ τῦ Γονέως καὶ Πνεύματος ἶσα,
Ἐκ τῦ μὴ ὄντος τὸ ὑπάρχειν, οἷς ἔθελες, δὺς·
Χωρὶς Σεῖο, ὅσων ἔκτισται, ὐδ᾿ ἓν ἔγεντο·
Πᾶσι δὲ τῦ εἶναι Σὺ συναίτιος, οἷα κατέστῃ·
Σὺ Ζωὴ αὐτὸς, καὶ ζωὴν εἰνὶ Ἑαυτῷ
Ἄφθονον αἰὲς ἔχων, μεταδὺς κἄλλοισιν ἐκείνης·
Ναίχι, Σὺ ἀρχηγὸς τῦ ζῆν τοῖς ζῶσιν ὁπωςῦν,
Τῦ φυτικῶς, τῦ σωματικῶς, τῦ πνευματικῶς ζῆν. —

Ὦ Λόγε, σαρκοφόρος γεγενημένε εἵνεκα ἡμῶν,
Τόσσος τοσσατίοις, τοῖος κοινωνὲ τοιύτοις!
Ὦ καὶ Υἱὲ Θεῦ καὐτὸς Θεός, ὢν δὲ τοῖόςπερ,
Καὶ Υἱὸς γεγονὼς ἀνθρώπυ, ἄμμε σαῶσαι!
Ὦ Γεννητὲ Θεῦ καὶ Παρθένυ! ἵλαθι πᾶσιν,
Ἵλαθ᾿ ἐμοὶ, καὶ πραῢς ἐμῆς ἐςάκυσον ἐπευχῆς! —

Ὦ μȣ̃νος Υἱὲ καὶ Θεοῖο καὶ Θεός,
Δοξαστέ, προςκυνητὲ καὶ τιμήσιε
Ἐπίσης Τεῷ Γονῆϊ, ὡς αὖ Πνεῦμα Σοί!
Σὺ τȣ̃ ἑνὸς μόνȣ θ', ὑφισταμένȣ ἐνὶ
Τρισὶν, Πρόςωπον δεύτερον Θεȣ̃, Πάϊς
Ἀειγενὴς, ὑψίζυγος, πανάφθιτος,
Σέβας μέγιστόν μοι ἰδ' ἀξιώτατον
Ἅμα τῷ τε Πατρί ἐσσι καὶ τῷ Πνεύματι.
Πάνδοξε καὶ πάνσεπτε! ὢν πανίλαος
Δέξαι τὸν ἐξ ἐμȣ̃ προςευκτικὸν λόγον,
Καὶ ἣν ὀφείλων καὶ Θεῷ καὶ Ῥύτορι
Σοὶ προςκύνησιν, αἴνεσιν χάριν τ' ἄγω,
Μάλ' ἐλλιπῆ περ ȣ̃σαν, εὐφρόνως λαβέ,
Μέγας τε Αὐτὸς ὢν, ὑπερβολῇ μέγας,
Μὴ μὴν ἄπωσαι, Ὦνα! μικρὸν ὄντα με. —
Τὰ πρῶτα μὲν σέβω Σὲ ἠδὲ προςκυνῶ
Ὡς ἶσον ὄντα τῷ Ἑῷ Γονεῖ Θεόν,
Μὴ ἠργμένον ποτ', ἀλλ' ἀνάρχως κἀχρόνως
Ἐκ τȣ̃ Τοκῆος ὄντα ἕν τε τῷ Τοκεῖ,
Μόνον μόνοιο Πατρὸς Υἱὸν ὄλβιον,
Ἐς πάντα καὶ ὑπὲρ πρόπαντας ὄλβιον,
Ἀσώματον, νοερόν τε, πνεῦμ' ἐκ πνεύματος,
Καὶ ȣ̓ τυχηρόν, ἀλλ' ἀναγκαῖον πάνυ,
Πρὸ κτισμάτων πάντων ὑπέρ τε κτίσματα,
Καὶ μηδὲν Αὐτὸν ὄντα τῶν ἐκτισμένων,
Ἀσύγκριτόν γε πᾶσι τοῖς ποιήμασι,
Προκόσμιόν τε καὶ χρόνȣ παλαίτερον·
Ἀπὸ μηδενὸς λαβόντα, πλὴν ἐκ τȣ̃ Πατρός,
Αὐτὸν δὲ δόντα πᾶσιν, αὐτοκύριον,
Ὑπόχρεων ἔχοντα Αὐτῷ τὴν φύσιν,
Τύπον γε πρῶτον καὶ Τοκεῖ συνεργάτην,
Ὧν ἐν χρόνῳ ἐμέλλετον κτίσαι, ὅλων·

Σοφόν τε κἀγαθὸν φύσει, φύσει καλόν·
Παρόντα πᾶσι πανταχῦ, πάντ᾽ εἰδότα·
Ἄληπτον Ἀγγέλοις τε καὶ βροτοῖς ἅμα·
Μακάρτατον δὲ καὶ ἐν Αὐτῷ ὄντα καὶ
Ἐν τῷ Γονῆϊ Σεῖο καὶ τῷ Πνεύματι.
Τοῖόν νυ πιστεύω, τόσον τ᾽ ἔγνωκά Σε,
Τοῖον γεραίρω, καὶ τόσον Σε πρoςκυνῶ. —
Ἀπείριτον δ᾽ ὅσον, Θεοῖο Παῖ Θεός!
Καλῷ τε κἀγαθῷ καθ᾽ Αὐτὸν ὄντι, Σοὶ
Ἔδοξε καὶ ἐς ἡμέας φανήμεναι
Πολυτρόπως χρηστῷ· Τεῇ γὰρ ἐσθλότης
Οἰκηΐη, καὐτῇ ἐνῦσα Σοὶ φύσει,
Καὶ τοῖσιν ἔξω ἀφθόνως παρέσχετο,
Κοινή τε πᾶσιν ἠξίωσεν ἔμμεναι
Τοῖς εἷο βυλομένοισι συμμετασχέμεν.
Λίαν δὲ, καὶ ὑπερλίαν Σὲ οἴδαμεν
Ἐς ἧμας εὔνοόν τε καὶ οἰκτίρμονα,
Ἄγαν τε εὐποιοῖο Σεῦ ᾐσθήμεθα.
Ἐπεὶ γὰρ ὤλετ᾽ εἰςάπαξ ἀμὸν γένος,
Ἐφθαρμένον καὶ σῶμα καὶ ψυχὴν ὁμῶς,
Ἠδ᾽ ἐκπεσὸν, τῆς κύρσ᾽ ἄνωθεν, ἀξίης,
Τὺ σωσίκοσμος ἐς βροτὺς κατήλυθες,
Κόλπυς μὲν ἔνθα μὴ λιπὼν Πατρωΐυς,
Μείνας τε, ὡς τὸ πρὶν, ὑψικρατὴς Θεός,
Γεγονὼς δὲ κὴν μορφῇ φύσει τε ἀνέρος,
Ῥυστὴρ Θεάνθρωπος μεσίτης θ᾽ ἵκεο·
Γόνος μὲν ὢν Θεῦ ἀνάρχυ ἄχρονος,
Γόνος δὲ κἀνθρώπυ πεφηνὼς ἐν χρόνῳ,
Υἱός τ᾽ ἀμήτωρ τῦ ἐτητύμυ Θεῦ,
Ἀπάτωρ πάλιν Παῖς ἐκγεγὼς τῆς Παρθένυ·
Δύω φύσεις τελέας, ἀριθμοῖς πλήρεας,
Θείαν τε καὶ ἀνθρωπίνην, κεκτημένος,

Φύσεων δὲ ἐκ διττῶν ὑποστὰς ἓν μόνον
Πρόςωπον, εἷς τε Χριστὸς ἐκ τῶν διζύγων,
Ὁμούσιος καὶ Πατρὶ κἄμμιν ἀτρεκῶς. —
Ὢ ἐκτελεσθὲν θαῦμα μούνῳ τῷ Θεῷ!
Ὢ πρᾶγμα πάσης μεῖζον ἐνθυμήσεως,
Ἀνήρ τε καὶ Θεὸς μί' ὢν Ὑπόστασις!
Ἀγαστ' Ἰησοῦ! ὡς τὰ Σεῖο τίμια
Ἅπαντα! ὡς τὰ Σοὶ δεδρασμέν' ἄξια!
Ὡς εὐάρεστα Πατρὶ ἠδὲ Πνεύματι!
Παντὸς δ' ἀριθμοῦ καὶ περιγράπτου μέτρου,
Παντὸς ταλάντου Σεῦ τὰ ἔργα κρέσσονα,
Τίμημα πᾶν ὑπερβαλόντα μυρίῳ·
Αἴσθημ' ἕκαστον, ῥῆμα, πρᾶγμα τοὐκ Σέθεν,
Τεὸν πάθημα πᾶν ἔην Θεοπρεπὲς
Πανέξοχόν τε τῷ Θεῷ κεχαρισμένον·
Ἴη γὰρ οὖσα καὶ θεηΐη, ὅλων
Δράστειρα τούτων αἰτίη, Ὑπόστασις.
Δίφυιος ὢν, Χριστὸν ξυνέστης εἰς ἕνα,
Εὐθύς τε ἐξ ἁγνῆς Τεοῦς ξυλλήψεως
Ἓν ἦσθα διχθάδος Πρόςωπον ἐκ φυῆς·
Ἓν ὢν Πρόςωπον παῖς προῆλθες ἐκ Κόρης,
Ὤφθης τε καὶ μεθ' ἡμέων ἀνεστράφης·
Ἓν ὢν Πρόςωπον, τόσσα ῥέξας τοιά τε,
Ἔσωσας ἄμμε, τὸν Θεὸν δ' ἐδόξασας·
Ἓν ὢν Πρόςωπον τῷ παθεῖν Σε καὶ θανεῖν
Ἤμυνας ἡμέων πάθη αἰώνια·
Ἓν ὢν Πρόςωπον καὶ ἀνέστης ἐκ νεκρῶν,
Ἀνάστασιν καὶ ἄμμι θεὶς ἐπ' ἐλπίδι·
Ἓν ὢν Πρόςωπον τῷ Γονῆϊ δεξιὸς
Καθέζεαι καὶ σάρκα προςκυνούμενος·
Ἓν ὢν Πρόςωπον ζῇς ἀνάκτωρ εἰς ἀεὶ
Σὺν Πατρὶ Σεῖο σύν τε ἁγνῷ Πνεύματι. —

"Ιληθι, ω̃ Θεός τέ μευ κάδελφ' ἅμα!
"Ανερ μὲν ἐν Θεῷ, ἐν ἀνδρὶ δ' αὖ Θεός!
Θεοῖο ἔργμα, οἷον ἄμμ' ἐξιστάναι!
Καύχημα, δόξα, χάρμα τȣ̃ βροτῶν γένȣς!
Θνητοῖσι κοινὲ Χριστὲ καὶ συσκηνέων!
Θεοῖο ἡμέων τε μεσσωτὴρ μόνε!
Τεȣ̃ς ἔχοιμεν μνήμον' αἲ τὸν νόον,
Τεῒν φρόνημα καὶ θέλημα ἡμέων
Διδοῖμεν, ἠδὲ κἄλλο πᾶν τȣ̃φ' ἧμιν ὄν.
"Ηδη τὸ πρὶν ὠφειλόμεσθα Σοὶ ὅλοι·
Πόσῳ δὲ μᾶλλον ὀφειλόμεσθα Σοὶ τὰ νῦν!
'Ο γὰρ κτίσας ἀρχῆθεν ἄμμ', ὀλωλότας
'Ανέκτισάς πως εἶτα κἀνεῤῥύσαο·
Δὶς ἄμμε κέκτησαι ὀφειλέτας Τεῒν,
Κτιστήρ τε καὶ σωτὴρ καταστὰς ἡμέων. —
Βιοῖμι τοιγαρȣ̃ν Τεῒν, βιοῖμί γε
Τῷ καὶ θανόντι προφρόνως ὑπεὶρ ἐμȣ̃!
Σύγγνωθι δ', ὡς τὰ πόλλ' ἀγνώμων ἦά Σοι,
'Ατάσθαλός τε κἀχάριστος ἀμφὶ Σὲ
Τόσον χρόνον τόσȣς τε καὶ τοίȣς τρόπȣς!
'Α, σύχν' ἀφρόντιστός τε Σεῦ κἀνέντροπος,
'Ρᾴθυμος, ἀσταθὴς, ἀναιδήμων πολὺ
Σοὶ ἔσκον, ἄστοργος τὸ κῆρ, ἀνευλαβής!
"Εῤῥει, ῥυεὶς παρ' εὐδόκησιν τὴν Τεήν,
'Ο μέχρι τȣ̃δέ μοι διηγμένος βίος!
"Ηιδειν, ἐγνώκειν καὶ σαφῶς ἠπιστάμην,
'Ημῶν Σὲ εἰς σωτηρίην Πατρωΐȣ
'Ελθόντα ἐξ ἕδȣς κάτω ἐπὶ χθόνα,
'Αμήν τε προσλαβόντα μορφὴν καὶ φύσιν
'Εκ Παρθένοιο, σάρκα τ' ἀμφιειμένον,
Περικείμενόν τε ἀσθενείας ἡμέων,
Χωρὶς θ' ἁμαρτίης γε, τῆς ἀθῶος ἦς

Πάντως, ἴσας ἔχοντα ἡμὶν χρηΐας·
Καινῇ γενέθλῃ ἔγχρονον τὸν ἄχρονον·
Βιόντα πȣλύμοχθον ἐνθαδὶ βίον,
Πείνης τε καὶ δίψης, πόνων τε ποικίλων,
Ψύχȣς τε καύματός τε, ἠδ' ὀϊζύων
Πασῶν καταισθ ιμενον, δικαίως ὧν βροτοὶ
Ἔχομεν φέρειν· μᾶλλον δὲ πολλῷ καὶ πλέον
Ἑκȣσίῃ παθόντα, ἢ ἀκȣσίως
Ὑφιστάμεσθα κἀπροθύμως ἡμέες·
Λώβαις, ὀνειδισμοῖσι, λοιδορήμασιν,
Ὑβρίσμασιν, λύμαις, διωγμοῖς, ἄχθεσιν
Ὕποχον, θελήσαντ' Αὐτὸν, ἡμετέρην χάριν·
Ἐμπείραμον πληγῶν κακῶν τ' ἀεικιῶν,
Κολαφισμάτων, ῥαπισμάτων, ἐμπτυσμάτων,
Ἐμπαιγμάτων, αἰσχυνέων, μαστιγμάτων·
Στεφθέντ' ἀκάνθαις κρᾶτα κεντρωθέντα τε,
Καλάμῳ τυπέντα ἀσπέτοις ὑπ' ἄλγεσιν·
Καὶ βαστάσαντα σταυρὸν, εἶτα συμφυῆ
Αὐτῷ, ἀμειλίχως μεμυκτηρισμένον
Καὶ νηλεῶς σκωφθέντα χλευασθέντα τε·
Θανόντα δεινῶς Σῶν ὑπὲρ χρεωστέων·
Ταφέντ', ἔπειτ' ἄψοῤῥον ἐξηγερμένον·
Μολόντα εἰς τȣ̀ς ȣ̓ρανȣ̀ς παλίντροπον,
Ἑτοιμάσαι μονὰς καὶ ἄμμιν αὐτόθι·
Νεύοντα αὐτόσ' ἄμμιν, ȣ̔̃ Σὺ κοιρανεῖς,
Καλȣ̃ντά τ' εἰς τὸ κεῖθι ὄλβιον λάχος·
Τεῷ Γονεῖ ἐντυγχάνοντα τηνόθι
Ὑπὲρ ἡμέων γνώμῃ φιλοφρονητικῇ·
Μένοντα δ' αὖ κἀνταῦθ' ὁμȣ̃ μεθ' ἡμέων
Τῷ Σῷ ἀλεξίμῳ καὶ ἰφθίμῳ κράτει,
Ἀλκῇ τε τῇ Σῇ εὐνόως βοηδρόμῳ·
Μάλιστα δ' ἄμμι συμμένοντα τῇ Τεῇ

Ἐν τῷ σεμνῷ καὶ θωῢτῷ Μυστηρίῳ
Τῆς Εὐχαριστίης φίλη παρȣσίη. —
Δεδαώς νυ ταῦτα πάντα ἤδη καὶ πάρος,
Ὡς ἤλιτον, Σὲ μὴ φιλήσας κηρόθι!
Ὡς δεινὸν, ἦν Σὲ μηδὲ τȣ̃ λοιπȣ̃ φιλῶ!
Μὴ ψυχρὸς εἴην μηδ' ἔτ' ἄστοργος Τεΐν,
Ὅς αἰτίας τόσας παρέσχες τȣ̃ φιλεῖν
Τοίας τε, ἠδ' Αὐτὸς κατέστης ἄπλετον
Κέντρον τε προτροπή τε τȣ̃ φιλήμεναι.
Εἰ γὰρ φίλον τὸ ἠΰ δῶρον, πῶς ὁ δȣ̀ς
Οὐ μᾶλλον ἂν φίλος τε καὶ ἐράσμιος;
Ἔρωτος, ὦ Θέανδρε, ἀξιώτατε,
Ἁγνȣ̃ ἔρωτος, ἠδ' ὅτȣ ψυχῆς ἄπο
Ἁπλȣ̃ τε καὶ καθαρȣ̃ βρύοι ἐκ πνευματος!
Ἔοις ἐρώμενος Σὺ τὠπὸ τȣ̃δέ γε,
Ἔοις ἐρώμενος Σύ μοι, ἐρατώτατε!
Ἐρῷμι Σȣ̃ τό γε νῦν, ἐρῷμι Σȣ̃ ἀεὶ
Τὸ λοιπόν· ὀψὲ δ' ἠρξάμην, μάλ' ὀψ', ἐρῶν·
Ἀγαπησμὸς εἰς Σὲ ȣ̉μὸς ὀψιβλαστέει,
Καὶ νῦν ἔτι ψυχρός τε κȣ̉τι ἄξιος!
Ποθεῖν δὲ κηρόθεν Σὲ κἀγαπαζέμεν
Βραδύν με, ὀψίνȣν καὶ ὀψιμαθῆ ὁρῶν,
Ὅμως Σέ μ' ὀψιγενεῖ γε δὸς στοργῇ φιλεῖν.
Κρεῖττον τὸ ὀψικαρπέον τȣ̃ μήποτε·
Κρεῖττον σκότοιο φῶς, καὶ ὀψέ περ φανέν.
Ἄστοργον εἰ τὸ πρωῒ καὶ τὸ μεσημβρινόν,
Μὴ μὴν τύχοι τοίη γε χ' ἡ ὀψημέρα
Ἐȣ̃σα τȣ̃ ἐμȣ̃ ἐπὶ χθονὸς βίȣ.
Ὀψισπορῆσαι γȣ̃ν τὸ ἄσπορον πάρος
Ἐμεῖο καὶ ἀεργὲς, ἐκγένοιτό μοι.
Κἂν ὀψιανθὲς δένδρον ὀψιφόρον τ' ἔῃ,
Ἄμεινον, ἢ τὸ ἄκαρπον εἰς τέλος μένον.

Κακῶν μὲν ὀψίφυγος, καλαῖσι δ' εἰν ὁδοῖς
Εὑρίσκομαί Σοι, ἆ, μάλ' ὀψικέλευθος ὤν·
'Ατὰρ Σὺ καὶ βραδύν περ ὄντα λατρέα
Θεράποντά τ' ὄψιμον δέχῃ ἔθ' ἵλεως.
Κτηθεῖσά μοι ἡ Σὴ, καὶ ὀψίτυχος, χάρις
Γένοιτο, χὠ φιλεῖν Σὲ ὄψι ἠργμένος,
Παῦλάν γε μηδαμὴν λάβοιμι τῦ φιλεῖν.
Τὰ πρόσθεν ἐσχηκὼς ἀναισθήτως πολύ,
Καὶ ὑστερήσας τῦ φιλῆσαι, Χριστέ, Σέ,
Τῇ γ' εἰς τὸ μέλλον ἐκτενεῖ κἠπιστρεφεῖ
'Αγάπῃ ἀναπληροῖμι πᾶν τὸ πρὶν δέον! —

'Εφίλεις Σὺ ἐξ ἀειδίυ με, Παῖ Θεῦ!
Προκοσμίῳ βυλῇ ὕπαρξιν γνὺς δόμεν
Μοι μὴ ἐόντι πω,· ἐόντι δ' ἔξοχα
Φιλοφρόνως κρίνας πορεῖν χαρίσματα.
Τὸν ἔκπαλαι ἐμεῦς φιλήτορ', ἄμπαλιν
'Απὸ τῦ γε νῦν ἡ καρδίη μυ στεργέτω,
Σὲ, ἐμπέδῳ πόθῳ ἀλῦσα καὶ ἔρῳ,
Σὲ πρῶτον ἐκζητῦσα, μέσσον, ὕστατον.
'Αγάπης ἀειεστὼ Τεῆς ἀείναον
Στοργὴν ἀείμνηστόν τ' ἀπαιτέει Τεῦς.
Φιλότητι δὴ στέργοιμ' ἀπαύστῳ γῦν, ἐπεὶ
'Απειρίτῳ μὲν ὐκ ἔχω Σὲ στεργέμεν,
Χρόνῳ τε πληροίην τὸ μέτρυ ἐνδεές.
Φιλοῖο, ναὶ φιλοῖο εἰν αἰῶνί μοι
Τύτῳ τε κἀκείνῳ, ὁ σὰρξ γεγὼς Δόγος! —

Γένοιτο ἦδ' ἐμὴ ἀκυσίθεος λιτὴ
Διὰ Σῦ, μεσῖτα, Χριστέ, τῶν ὑπαιτίων! —

'Εξ Υἱέως τῷ Πατρὶ καὶ τῷ Πνεύματι
Κλέος πέλοι, ἐκ Τοῖνγε δ' αὖ τῷ Υἱέϊ! —

Ὕμνος πρὸς τὸν Θεὸν Πνεῦμα.

Τῦ Πατέρος, τῦ ἀϊδίυ γνωστῆρος Ἑαυτῦ,
Τοῖό τε τῆς Σοφίης, τῦ Υἱῦ, Πνεῦμα Θέλημα!
Πνεῦμ' Ἀγάπη ἀμφοῖν Κείνοιν, Γενετῆρος ἐφ' Υἱῷ
Πνεῦμα Χαρή, Υἱῦ τε πάλιν ἐφ' Ἑῷ Γενετῆρι!
Πνεῦμα Θεῦ, καὶ Πνεῦμα Θεός, Πατέρος τε καὶ Υἱῦ
Ἐκ νοερῦ προϊὸν στόματος ἀφάτῳ τινὶ πνεύσει,
Κοινῇ μὲν προβολῇ καὶ Νῦ Γενέταο προελθὸν
Καὶ Τοκετοῖο Λόγυ, ἁπλῇ δ' ἰδ' ἰῇ προελεύσει!
Πνεῦμα μάκαρ, πλῆρες καὶ παντελὲς Ἀποτέλεσμα
Τῆς καὶ ἐν Τριάδι καὶ ἐν Μονάδι Θεότητος
Αἰὲν ὑποστάσης, ἑνικῶς ἐν τοῖς Τρισὶν ὔσης!
Πνεῦμα τὸ ἐννοίᾳ καὶ τάξει τῇ κατὰ ἡμᾶς
Τὺς χρονίυς τρίτατον ἐν τῇ Θεότητι Πρόσωπον,
Ἀλλ' ἀρχῇ, δόξῃ μεγαλείῃ τ' ἀξιότητι
Οὔτι τριτοστάτα τῦ Γενέτυ, κὐ δεύτερον Υἱῦ!
Πνεῦμα ὑπάρχον ἀεί, ἐνυπόστατον ἠδ' ἀπρόσωπον,
Ἐντελέθον, συνύπαρτον ἐὸν, καὶ Πατρὶ καὶ Υἱῷ,
Τοῖνδε συναΐδιον, συνάναρχον κἄχρονον ἶσα,
Ἰσῆλιξ, μᾶλλον δ' ὑπὲρ ἡλικίην ὂν ἅπασαν,
Ἰσοφυές, ἰσότιμον, ἰσάξιον ἠδ' ἰσόμοιρον
Ἀμφοῖν, ἰσοκλεές τε καὶ ἰσοκρατὲς καὶ ἰσυργὸν,
Ταὐτὰ δαὲν πάνυ, ταυτοθελές, ταυτοσθενές, ἰσχὺν
Κοινὴν ἠδ' ἄκμητον ἔχον ἅμα Πατρὶ καὶ Υἱῷ,
Ἀμφοτέροιν ὁμόεδρον, ὁμοφραδὲς ἠδ' ὁμόβυλον
Πάντα, ὁμόστοργόν θ', ὁμόπραγμον καὶ ὁμοποιόν,
Φῶς ὁμοφεγγές, ἀείζωον καὶ ἀειθερές, ἡμῶν
Ζωπυρέον καὶ θερμαῖνον κραδίας ἀστόργυς! —
Πνεῦμα κατασκοπέον τὰ Θεῦ βάθε' ἠδ' ἀναμετρῦν·
Αὐτοφύτυ, μάκαρος, τριφιλήτυ μῦνε φιλῆτορ
Ἄξιε πάγχυ Θεῦ, ἀγάπημ' ἅμα Καὐτὸ καταστάν!

Πνεῦμα πανάχραντον, παναγὲς, πανακήρατον αἰές·
Πάγκοινον δὲ ὅμως, πάγκοσμον καὶ πανάφυκτον,
Ξυνὸν τῇ κτίσεϊ γεγονὸς φύσεϊ τε πρόπασιν,
Οὐ μὴν καὶ χάριτι ξυνὸν πάντεσσιν ὁμοίως·
Ἄλλως γοῦν ἀγαθοί, ἄλλως μετέχουσι κακοὶ Σοῦ·
Τοῖς μὲν ὑπερφυέσιν ἀφάτοις τε τρόποισι μέτεσσι,
Τῶν δ' αὖτ' εἶ ψυχαίσιν ἀκοινώνητον, ἄμικτον·
Κευθόμενον καὶ ἐννύχιον φαύλοισι· πρόδηλον
Καὶ φανερὸν κεῖνουν σπουδαίοις ἠδὲ καλοῖσι·
Πικρὸν ἀπειθοῦσιν, γλυκὺ δ' ἔμπαλι πειθομένοισιν! —

Πνεῦμα τὸ τοῖς πᾶσιν τοῦ εἶναι αἴτιον οὖσι,
Παντοκτίστα, ὅλων τε ὑποστάτα, τῶν πεφύασι,
Πασιάναξ, παγκοίρανε, παμμήτειρα πρόνοια,
Παμμήστωρ, παμμήχανε πάμμαχέ τ' ἄϊ δυνάστα,
Παντοβία καὶ πανδαματήρ, ἀδάμαστον ὑπάρχον
Αὐτό, ἀνίκητον, πάντων χειρωτικὸν ἄλλων·
Ἀλλάττον στοιχεῖα, τιθὲν μυστήρια ἔνθεν! —

Πνεῦμα πανέντιμον, πάνσεμνον, πᾶσιν ἀγαστόν,
Αἰδεστόν, γεραρόν, πανυπείροχον ὄν, πανάριστον·
Πάγκλειτον, πάνδοξον, ἀγακλύμενον, περικυδὲς
Σαῖσι παναῤῥήτοις ἀρεταῖς τε καὶ ἐργασίαισιν·
Ἐξ ἰδίης φύσεως πανεπήρατον ἠδὲ ποθητόν·
Πεῖραρ ἐτητυμίης, σοφίης πλήρωμα βαθίστης·
Αὐγὴ ἡ λογικὴ, τὸ παναρτρεκὲς ἠδὲ πάναιθον
Λαμπόμενόν τε φάος φαῖνόν τε καὶ οὖσι τυφλοῖσιν·
Ἀΐδιε ζωή, ἐν τῇ τὰ ἅπαντα συνέστη·
Παντοφυὲς καὶ παντοθαλὲς καὶ παντελὲς ἰσχύ,
Οἰκονομοῦσα τὰ ἐν κόσμῳ παμβώτιδι ὥρῃ·
Πανδέκτορ, πανδῶτορ, ὅλων ταμιεῦτορ ἐάων·
Παγχαρές, ἡδὺ ὄνειαρ πᾶσι, παναλθὲς ἄκεσμα! —

Πνεῦμα κατευφραῖνον τέρπον τε τὸ ἠῢ συνειδός,
Τὺς δὲ κακῶς αὐτοῖς συνεπιστᾳμένυς ἀνίησι
Δάκνον ἀκοιμίστοισιν, ὑπομνῆσκον μετανοίας·
Ἀσφαλὲς, εἰς τὰ ἕκαστα τραπὲν, πανεπίσκοπον ὄμμα·
Οὖς τὸ πανήκοον, ὧν λέγομεν· πανεπιστήμων φρὴν,
Δερκομένη τὺς ἡμετέρυς κρίνυσα λογισμύς·
Αἰθέριον χθόνιόν τε καὶ εἰνάλιον χ' ὑπόγειον
Πνεῦμα ὅλοισι παρὸν τοῖς κτίσμασιν, αἰὲν ὀπαδῦν·
Ξυνὲ κυβερνητὴρ, πανυπέρτατε ἡγεμὸν, ἄρχων
Σκηπτυχῶν ἐφύπερθε, διοικῶν πᾶν τὸ γενητόν·
Αὔταρκες κρατὺς, ἠέλιος δ' ὥς, ἄμμι παναρκές·
Ἶς ἡ πασιμέλυσα καὶ αὐξίτροφος συναπάντων,
Πάντων τῶν καλῶν ἀρχὴ, προάγων τε τιθηνέ!
Κλῦθι Τεῦ δμωὸς Θεὸς ἵλεος εὐχομένοιο! —

Πρῶτα μὲν, αὐτοφυῶς ἅγιον
Πνεῦμα! Σὲ προςκυνέω, καθ' ὅσον
Θνητογενὴς φύσις ὧν δύναμαι
Προςκυνέειν τὸ Ὑποστασέοιν
Ἐκπεπορευμένον ἀθανάτοιν,
Ἄμβροτον αὐτὸ Πρόςωπον ἐόν.
Σὲ φρενόθεν, Θεὸν ὂν, σέβομαι,
Ἔκ τε Θεῦ Θεὸν ἔν τε Θεῷ,
Πατρὶ καὶ Υἷι μάλ' ἰσοφυές,
Ἠδ' ἀδιαίρετον Ἀμφοτέροιν,
Τὼ Σὲ ὁμὸν φάος, ἀέναον
Πρυβαλέτην, ἀπὸ τῆς ἰδίης
Σφῷν ἐπιγνώσιος ἀγλαΐαν,
Ἡμμένον ἀΐδιον, νοερὸν
Πῦρ, φλόγα θειοτάτης ἀγάπης! —
Ἀλλὰ Σὲ δοξάσαι ἔνθεν ὁμῶς,
Πνεῦμά! με χρὴ, ὅτι καὶ διὰ Σῦ

Εἰμὶ πνέω τε καὶ ἐννοέω,
Καὐτοπροαίρετον ἰσχὺν ἔχω,
Τῇ Σύ με πεῖσαν ἄνωχθι καλῶς
Χρῆσθαι ἐς ἐσσόμενόν γε χρόνον,
Ἶφί μ', ἐφ' ὅ,ττι φιλεῖς Σὺ, ἄγον.
Δοξολογῶ δὲ Σὲ τοὔνεκεν αὖ,
Οὕνεκα κἄλλα μοι ἐσθλὰ πρόφρον,
Οὕνεκα πολλὰ τὰ καλὰ πόρες,
Οὕνεκεν εἰς ἐμὲ πουλυτίτους
Ἄφθονον ἐξέχεας χάριτας,
Οὕνεκα Πατρί με ὑψικράτῃ
Υἱοθέτησας ὑπερφιλέον,
Οὕνεκ' ἔχρισας ἐς οὐράνιον
Εὐδόκιμόν τέ με παῖδα Θεῷ
Ἐκ χθαμαλοῖό τε κἀδοκίμου,
Καί μ' ἐμύησας ἔτι πλέονα
Ἱρά τε καὶ ὁσίας τελετάς,
Εἰς ἁγιασμὸν ἐπωφέλιμα.
Τῶν ῥά νυ πρὸς Σέθεν εὖ ἔπαθον,
Τῶν ἔτυχον παρὰ Σοῦ ἀγαθῶν,
Μνώμενος, εὐχάριτον προςάγω
Σοὶ γέρας, αἶνον ὀφειλόμενον. —
Ἀλλὰ τὰ εἰς ἐμὲ δῶρα τὰ Σὰ,
Τόσσα τε τοῖά τε, πῇ ἀπέβη;
Ἐς κενὸν ἦρρε τὰ πολλὰ κακῶς!
Πλεῖστ' ἀνεμώλια, τηΰσια
Οἴχεται, οὐδὲν ἐόντ' ὄφελος!
Φθεῖρα δ' ἀτασθαλίῃσιν ἐμαῖς
Αὐτὸς, ἃ ἦν κεχαρισμένα μοι,
Τῶν μενὶ οὐδὲ ποιησάμενος
Χρῆσιν, ἄχρηστα δὲ πολλὰ παρείς,
Τοῖσι δὲ χρησάμενος μέν, ἀτὰρ

Παυράκις εἰς δέον εἴς τε καλόν,
Τοῖς δὲ κάκιστ' ἀποχρησάμενος!
Ἦ νυ μέγ' ἤλιτον εἰς Σέ, τὰ Σὰ
Μαψιδίως ὀλέσας δόματα,
Πνεῦμα! Σὺ δ' ἵλαθί μοι, ἄφεσιν
Καὶ ἐπὶ τοῖσδέ περ ἀπονέμον,
Μηδ' ἀδίκῳ ταχὺ ἔκδικον ὄν,
Ἀλλὰ τύχην ἐλεῆσαν ἐμὴν,
Ῥεῖά τε συγγνὸν ἀγνωμοσύνας
Ἀμπλακίας τέ μοι ὐλομένας,
Κτήτορα Σῆς χάριτός με πάλιν,
Σῇ με θὲς εὐφρόσυνον φιλίῃ.
Πραῦ τὰ πήματά μου ἄκεσαι,
Ἄψ δ' ἀνά μοι κάλεσαι, ὅσαπερ
Τῇ ἰδίῃ πάρος ἀφροσύνῃ
Καὶ κακίῃ ἀπόλωλε καλά.
Εἰς Σέγ' ἐολπότι καὶ μετὰ τὸ
Πταῖσμ' ἔτι, κρήγυά μοι χάρισαι,
Μηδὲ κάμῃς ποτέ, καὶ μάλα περ
Σοὶ ἀχάριστον ἐπὶ προτέραις
Ταῖς παρὰ Σοῦ ἀγαθῶν παροχαῖς
Εὑρόν, ἔθ' ὕστερον εὖ με ποιοῦν,
Κἀγαθότητι ἀμειβόμενον
Τὴν δι' ἐμοῦ κακότητ' ἐν ἐμοί! —
Πνεῦμα τὸ πᾶσιν ὀπάζον Ἑοῦ,
Ὄντος ἀνεκλιπέος, ἀφένους,
Τὴν ἰδίην δὲ κατ' εὐδοκίην
Ἠδὲ προαίρεσιν, ὡς ἐθέλεις
Αὐτό, νέμον τὰ ἕκαστα βροτοῖς·
Τοῖσι μὲν εὔφρονος ἐκ μένεος
Μηδὲ πονησαμένοισι διδόν,
Τοῖς δὲ πάρος διατεινομένοις

Ἠδὲ προσευξαμένοις κομιδῇ·
Ἀμφοτέροις δ' ἅπαν ὥστε χάριν,
Οὐδέ τι ὡς χρέος ἀποδιδόν,
Προῖκα δὲ καὶ μετιοῦσι πρόπαν·
Ἀλλὰ μάλιστα προευξαμένοις,
Κῆρί τε χερσί θ' ὁμοῦ καθαροῖς,
Εὐθέσιν ἠδὲ ταπεινόφροσιν,
Δεινὰ σαῶσαι ὀφέλματ' ἄγον.
Αὐτὰρ ἔγωγε Τὶν ἀμφότερον
Ἔργμασί τε κραδίῃ θ' ὁ τάλας,
Πνεῦμ' ἅγιον! καταλαμβάνομαι
Πόλλ' ἀκάθαρτος, ἄναγνος ἔτι,
Τοῦ τ' ἐλεεῖσθαι ἀνάξιος ὤν,
Ἐνδυκέως περ ἐπ' ἐκτενέσι
Δάκρυσιν ἀντιβολῶν ἱκέτης.
Πρευμενέα δὲ Σὺ θυμὸν ἔχον,
Δὸς παρὰ Σοί τι δύνασθαι ὁμῶς
Κἠμέ περ εὐχόμενον, δὸς ἐμὰς
Πρὸς Σέθεν ἐξανύτειν τι λιτάς,
Δὸς τὰ ἕτοιμα προσευχομένοις
Σοῖό με δῶρα λαβεῖν ἐλέους. —
Ἀλλὰ προσεύγματα τἀμὰ μάτην,
Οὐδέ τι τῶνγ' ἔσεται ὄφελος,
Σεῖό γε μὴ συνεφαψαμένου
Μηδ' ἀπορoῦντι συνευξαμένου
Κρείττοσιν εὔγμασι, δεινοτέροις,
Τοῖς χαριτοῦσι Θεῷ τὰ ἐμά.
Πρῆξις ἄτερ Σέθεν οὐδεμία
Εἰς καλὸν, οὐδὲ θέλησις ἔνι·
Αὐτὸ δ' ἐν ἄμμι τὸ ὀρθὰ θέλειν
Γίγνεται ἐκ Σέο κινύμενον·
Πᾶν τὸ νοούμενον εὐσεβέως,

Πᾶν, ὅ ἐνὶ κραδίαις ὁσίως
Στερκτικὸν αἰσθανόμεσθα πάθος,
Πᾶς ὁ προσευκτικὸς ἄμμι πόθος,
Πᾶσα προσεύγματος εὐτυχίη,
Πᾶς μάλα καρπὸς ὁ πνευματικὸς
Ἔρχεται ἐκ Σέθεν ἄμμι φυείς.
Γνὸν Σὺ τὸ πλάσμα τὸ ἡμέτερον
Ἠδ' ἐλεαῖρον, ὁποῖον ἔφυ,
Συγκαταβαῖνον ἐπιχθονίων
Ἀδρανίαισί τε κἀπορίαις,
Ἀσθενίῃσι συναιρόμενον,
Αὐτὸ τὸ Πνεῦμα προηγορέεις
Εὐχομένων παρὰ Πατρὶ Θεῷ,
Αὐτὸ προσεύξιας ἄμμε ποιεῖς
Νυθετέον, καθὸ δεῖ, τελέειν.
Τίς δὲ καὶ ἄλλος ἔγνωκε, τὸ τί
Πῶς τε πρέπει καταλιπαρέειν,
Πλὴν Σὺ τὸ Πνεῦμα τὸ παντοδαές;
Κὰδ δὲ Θεὸν Σὺ φίλον τε Θεῷ
Τὸν τρόπον οἷον ὑπεὶρ ἁγίων,
Πνεῦμα! ἐπίστασαι ἐντυχέειν·
Καὶ ὁ ποιύμενος ἐξέτασιν
Τῶν κραδιῶν καὶ ἔρευναν, ἀεὶ
Οἶδε Θεὸς τὸ φρόνημα τὸ Σόν,
Οἶδεν Ὅγ', οἶδε νόον τε Τεὸν
Καὶ ἀγαπησμὸν ὑπὲρ πισύνων,
Ἡνίκ' ἂν εὐχέτα θειοτέρως,
Ἠέπερ ἄμμ' ἐφικέσθαι ἔνι,
Πατρὶ προήγορος ἡμετέρυ
Πράγματος ἐντυχὸν εἰνὶ μέρει,
Μεσσιδίαισιν ἀρηγοσύναις
Φῶς παρακλητικὸν ἄμμι γένῃ.

Σῶν δ' ἀφάτως ὑπερευχόμενον,
Πνεῦμα! προηγορέον τε φίλων,
Θεσπεσίοις τισὶ τοῖς στονάχοις
Ἄψοφον ἠδ' ἀλάλητον ἵῃς
Ῥῆμα, Θεῷ δ' ἀρίγνωτον ἐὸν,
Καὶ, ἔθὲν, αὐτίκ' ἀκȣόμενον
Ἐς τὰ βάθιστα Θεοῖο βάθη,
Κȣ̈τι ἀπρακτέον ȣ̉δέποτε,
Ἀλλὰ Θεὸν καταπεῖθον ἀεί.
Ἄμμι Σὺ εὐχομένοισι πέλεις
Πρῶτον ἀεὶ, μέσον, ὑστάτιον·
Ἐκ Σέθεν εὔγματος ἀρξαμένȣς
Σὺ προάγεις τέλος εἰς ἀγαθόν·
Ἔμβαλὸν εὐδόκιμόν τε νόον
Καὶ ὁσίην ζέσιν ἠδ' ἔφεσιν
Ἐς κραδιῶν βύθος ἡμετέρων,
Κἄμμε περ ἡμετέρας τε λιτὰς
Προςφιλέας θέμεν οἶσθα Θεῷ.
Καὶ ἐμέθεν δ' ὕπερ εὐνοϊκῶς,
Πνεῦμα Μεσῖτα! ἐνεργὲς ἔσο·
Καὶ ἐς ἔμ' εὖ πνέε, καὶ τὰ ἐμὰ
Εὔπνοα δεκτά τε Θευπάτορι
Ἔρδε προςεύγματα Σῇ δυνάμει·
Κἠμὲ δίδασκε τὸ, πῶς κε Θεῷ
Καὶ τί προςευξάμενος ἀρέσω,
Ψυχοσόȣ τ' ἐλέοιο τύχω
Καὶ πυκιναῖς ἐπ' ἀλιτροσύναις. —

Ὧδέ νυ τρέψομαι εἰς ἕτερα
Πρὸς Σὲ λιτήσια κεὐκτικ' ἔπη,
Τρέψομ' ἐπὶ κλέα ἄλλα Τεά,
Πνεῦμα! Σὲ πρόσθ' ἐπιβωσάμενος,

Σεῦ μάλ' ἐπιστάμενος χατέων
'Ες θεάρεστον ὂν ἔργον ἅπαν.
Τοιγὰρ ἐπιπλέον εὐχόμενος,
Σεῦ δέομαι ἔμεν εὐιλάτȣ·
Σύ μ' ἱκάνωσον ἔτ' εἰς τὰ πλέω·
Καὶ διὰ μακροτέρων δ' ἀγανῶς
Μευ ἀνέχȣ κλύον εὐχομένȣ.
Ἄρξομαι ȣ̓͂ν Σὲ τὰ λοιπὰ ὁμῶς,
Λισσόμενός τε καὶ ὑμνολογῶν,
Σῆς ξὺν ἐπωφελίῃ χάριτος. —
Εὐμενὲς, ἤπιον ἦτορ ἔχον,
Πνεῦμα Ποιητά! κατελθὸν ἐπί-
σκεψαι, ὅσων γεγόνασι Τεῶν,
Τὰς διανοίας ἰδὲ κραδίας!
Οὐρανίης, ἃ Σὺ ἐκτίσαο
Στήθεα, ἔμπλεα θὲς χάριτος!
Δῶρον ὑπερνεφέλοιο Θεȣ̃,
Καὶ παράκλητος ἐπ' ἀτρεκίῃ
Εἶς ἀκεσίμβροτος ἠδὲ καλῇ.
Ζῶσα Σὺ ζωοδότειρά θ' ἅμα
Πηγὴ ἄνωθεν ἐπ' αἶαν ὀχῇ.
Πῦρ λογικὸν Σὺ, ἀνυλότατον,
Ἤ τ' ἐν Ὑποστάσεϊ Ἀγάπη.
Χρῖσμα Σὺ μυστικὸν, ἐργατικὸν,
Ἄξια τέκνα Θεȣ̃ παρέχον,
Κἀφοσιȣ̃ν βροτέας φύσιας.
Πλȣ́σιον ἑπταδύμων δομάτων
Πνεῦμα, χαριστικὸν, ὧνπερ ἔχεις
Αὐτὸ, ὑπερφυέων ἀγαθῶν!
Ἄλκιμε τῆς Πατρικῆς, τελέσας
Θαυμασιώτατα, δεξιτερῆς
Δάκτυλε! Πατρὸς ἐπαγγελίῃ,

Υἱέος ἄμμι δοθεῖσα χάριν!
Ποικιλόγηρυ λάρυγξι βροτῶν!
Πνεῦμα παναυγές, ἀειγενέος
Ἐκ φάεος φάος ἀέναον!
Σὺ φρεσὶ λαμπέτα ἡμετέραις,
Νῷ Σὺ σελασφόρον ἀνδρομέῳ,
Πᾶν σκεδάσαν σκότος, ἐγκατάθυ!
Ζωπυρὶς, ἐγκαταβὰν κραδίαις,
Ἔμμενε θέρμη ἐπιχθονίοις!
Στερκτικὸν ἔμβαλε πᾶσι νόον
Τῦ τε Θεῦ ἅμα τῶν τε πέλας!
Ὃν δὲ ἀεισθενὲς, ἐνδύναμον
Πάντοτε καὶ ἐς ἅπαν κρατερόν,
Πάντα τὰ ἡμέτερ' ἀσθενέα
Ῥῶσον ἐνεργέϊ Σῇ ἀρετῇ,
Σῶά τε τήρεε καὶ ὑγιᾶ,
Ὅσσα κε ῥῶσαν ἅπαξ ἀκέσῃ.
Ἀντιπάλοιο δὲ ἡμετέρυ
Τῆλε βίην ἀπέλασσον ὅλην·
Τὺς ἐν ἀγῶνι κακῦ σκέπασον·
Διττὸν ἐόντα βροτοῖς πόλεμον
Παῦσον, Ἄναξ! τὸν ἔσωθεν ὁμῦ
Ἄμμι καὶ ἔκτοθεν ὀρνύμενον!
Πᾶν τὸ πλανῶν τε καὶ ἐξαπατῶν,
Ψυχικὸν ἄμμι τὸ τραῦμα φέρον,
Πνεῦμα! μακρὰν ἀπέρυξον, ὅπως
Σεῖο χαρῶμεν ἐφ' ἡγεμόνος
Πάντ' ἀπαλευάμενοι ὄλεθρον. —
Πᾶσι γένοιτο Τοκεὺς διὰ Σῦ
Γνωτὸς ἐπιπλέον· Υἱὸς ὁμῶς
Ἐκ Σέο μᾶλλον ἔοι φανερός·
Ἀλλὰ καὶ Αὐτὸ Σὲ γνῶναι ἔτι

Πλεῖον, ἔχειν τε Τεῷ δόματι
Ἄμμε, πέλοιτο, τελειοτέρην
Εἰς Σὲ τὸ Πνεῦμα τὸ ἐκ Γονέως
Ἠδὲ Γόνοιο συναΐδιον
Ἐκπεπορευμένον ἶσα Θεὸν
Πίστιν ἐπ' ἐλπίδι καὶ ἀγάπῃ. —
Πνεῦμα τὸ πῦρ τε σέλας τε φανὲν,
Καὶ καθίσαν ἐπὶ τὺς ἑτάρυς
Τὺς ὁμοθυμαδὸν εὐχομένυς,
Πρὶν δὲ, περιστερᾷ εἰσάμενον,
Εἴδεϊ σωματικῷ προφανὲς,
Υἷος ὕπειρ ἀναπαυσάμενον,
Αὔγασον, ὦ σελαηγενέτα!
Φώτισον ἔνδοθι κῆρ τὸ ἐμόν·
Μευ πραπίδεσσι καλὴν σοφίην,
Τὴν κατὰ Σὲ ξύνεσιν πόρισον·
Ὀρθὰ φρονεῖν με δὸς, ὀρθὰ θέλειν,
Καὶ μελετᾶν τὰ ἀρεστὰ Τεΐν·
Ἰθυτενῆ φρένα, ἁπλοϊκὸν
Μοι ἔνιθες ἄκακόν τε νόον·
Ἔμφλογα Σῇ φιλότητι, ζέειν
Σῇ με πυίησον ἁλόντα ποθῇ·
Ῥῶσις ἐπιρρέοι ἡ παρὰ Σῦ,
Ἐνδυναμῦσά με ἀσθενέα
Ὄντα, τιθεῖσά τε ἀντ' ἀπόρυ
Σῇ παρακλήσεϊ γηθόσυνον. —
Πνεῦμα πάναγνον, ἁγνιστὰ βροτῶν
Καὶ ἁγιαστὰ, ὃν αὐθάγιον,
Καὶ χαριδῶτα καὶ ἐσθλοδότα!
Τοῖσι πένησι πατὴρ Σὺ μολὸν,
Σὸν παραμυθικὸν ἄρκος ἄγον,
Εὐτρέπισον τὰ ἔχοντα κακῶς,

Καὶ τὰ βροτήσια παῦσον ἄχη!
Δῶστε παρήγορε, παγγλύκερε
Καὶ ξένε καὶ φίλε παισὶ βροτῶν!
Λυσιμέριμνε μέροψι Θεός!
Ἡδὺ βαρύφροσι λῶφαρ, ἁγνὴ
Τῶν χαλεπῶν ἀνάπαυσι πόνων!
Εὔχαρι καύματι τειρομένοις
Ψῦχος, ἅπασί τε κρᾶσι φίλη!
Τῶν δακρύων ἀπόμορξι, ὅσοις
Ἢ Σέθεν ἵμερος ἠδὲ πόθος,
Ἢ μετάνοια ἐπ' ἀμπλακίαις,
Ἢ ἄδικον πάθος ἐξ ἑτέρων
Θῆκεν ὑπόπλεα ὄμματ' ἄχει!
Παντὶ Σὺ πένθεϊ φάρμακον εἶ,
Ἄλθος ἅπασιν ἀκεσσίπονον,
Ἄλκαρ ἀεισόον ἄμμι κακῶν. —
Εἶά νυ, Πνεῦμα! φίλοφρον ἐὸν
Ἄμμι, τὰ ἐνδότερα κραδιῶν
Πλῆσον ἐπυρανίοιο πυρός,
Πλῆσον ἔρωτος ὑπερχθονίων,
Τῶν ὑπὸ μῆνα κενῶσαν ἔρυ.
Οὐδὲν ἄτερ Σέο, κεδνὲ Θεός!
Σῶον ἐν ἀνδράσιν ὐδ' ὑγιές.
Νίψον, ὃ ἄρδαλον ἐν χθονίοις·
Ξηρὰ ὅσ' ἐστὶ, Σὺ ἄρσον, ὑγρῷ
Τῷ νοερῷ δροσίσαν, ποτίσαν·
Εἴ τι τετριμμένον, ἐξάκεσαι·
Ἐκθεράπευσον, ἃ πολλὰ μάλα,
Ἕλκεα ἡμετέρης φύσεως·
Εὐθὺ γένοιτο τὸ ὂν σκολιόν·
Λεῖα τὰ τρηχέ' ἔοι διὰ Σῦ·
Σκληρὸν ὅ,τι στερεόν τε ὁρᾷς,

Κάμψον· ἃ ῥῖγος ἔχει χαλεπὸν,
Θάλψον· ἔγειρον, ὅσ᾽ ἡμιθανῆ·
Ζῆν τε ποίησον, ὅ ἐστι νεκρόν!
Ναίχι, Τεῇ ἐς ἅπαν δυνατῇ
Θερμασίῃ τε καὶ ἐργασίῃ
Κτιστὺς ἅπασα γένοιτο νέα,
Κάλλιον ἄμμι τὰ πάντα ἔχοι!
Πȣλυμερȣ̃ς ἰδὲ πȣλυτρόπȣ
Νᾶμα Σὺ ἀέναον χάριτος,
Ποικιλόδωρος Ὑπόστασις ὄν,
Τοῖς μετὰ πίστιος ἐλπομένοις
Σύν τ᾽ ἀγαπήσεϊ λισσομένοις,
Πνεῦμα! παρασχὸν Ἑῶν δομάτων,
Τὴν πολυεύχετον ἑπτάδα δός·
Ἐκ Σέθεν ἡ ἁγίη σοφίη,
Ἐκ Σέθεν ἡ ἱερὴ ξύνεσις,
Ἐκ Σέο γνῶσις ἐπȣρανίων,
Ἐκ Σέο μῆτις ἀλεξίκακος,
Ἐκ Σέθεν ἰσχὺς ὑπερχθόνιος,
Ἐκ Σέθεν εὐσεβίη ὁσίη,
Ἐκ Σέθεν ἄμμι γένοιτο φόβος
Κυρίȣ, ὅστις ἀρεστὸς ἔοι.
Ἧδε ῥα ἑπτάς, ὑπερφερέτα
Πνεῦμα! ἐς ἡμας ἵκοιτο δοτή,
Καρποφορȣ̃σά τ᾽ ἐν ἄμμι μένοι! —
Πλήρεα Σεῖο τὰ ȣ̓ράνια,
Πίμπλαται αὖ Σέο τὰ χθόνια·
Ἐν μὲν ἅπασι Σὺ εἷς ἀθιγῶς,
Εἰνὶ δὲ Σοὶ τὰ ἅπαντα πάλιν.
Οὐδενὶ μέντοι ὅλον ξυνέχῃ,
Αὐτὸ δὲ Σὺ ξυνέχεις τὰ ὅλα.
Πάντα μὲν ἐκ Σέο κινέεται

Ἠδ' ἐνὶ Σοὶ, ὅσα γαῖα, πόλος
Πᾶς τε κύκλος φύσεως κατέχει·
Αὐτὸ δέ, Πνεῦμα! ἐν εὐσταθίῃ,
Αὐτὸ μένεις ἀτίνακτον ἀεὶ
Ἠδ' ἀκλόνητον ἐν ἀτρεμίῃ.
Δάμναται ἶφι ἅπαντα Τεΐν·
Ῥεῖα τὰ δύσμαχ' ὑπερδυναμοῖς·
Σοὶ μεταβάλλεται εἰς ἕτερα,
Ὅσσ' ἐθέλῃς· διὰ Σεῖο μόνου
Εἰσὶν ἐνεργέες αἱ τελεταὶ
Αἱ κατὰ ἑπτάδα μυστοδόκον.
Ἐκ Σέο καὶ τὰ ἐπιβλαβέα
Γίγνετ' ἀπήμονα ἠδ' ἀσινῆ·
Οὔτι δυνήσεται ἄμμ' ἀδικεῖν
Δυσμενέων δύναμις πολέων
Καὶ κρατερῶν, Σέο ῥυομένου,
Φέρτατ' ἐπίῤῥοθε τοῖς ἀπόροις! —
Εὑραμένοις ὑποθημοσύνας
Ἠδὲ διδασκαλίας παρὰ Σοῦ,
Οὐ σκότιόν τι, ἅπαν δὲ σαφὲς,
Σὰρξ-Λόγος ὧν μεμύηκε βροτούς,
Οὐδέ τι ἔσσεται ἀμφίβολον,
Ἧμας ὀνῆσαι ὅσων δύναται
Καὶ διασῶσαι ἐς οὐράνια.
Σοῦ παρεόντος, Ὃ ἀμφοτέροιν
Πατρὸς ἰδ' Υἱέος εἶς Ἀρετὴ,
Οὐκ ἀκάθαρτον ἔτ', οὐκ ἀναγὲς,
Οὔ τι μιαντὸν ἐπικρατέει·
Ἀλλὰ σοὴν διὰ Σεῖο μέγα
Ἦθος ἔχει φύσιν ἡμετέρην,
Καὶ τὸ συνειδὸς ἐν ἧμιν, ἐὸν
Εἵνεκα Σεῖο πάλιν καθαρόν,

Εὐφροσύναισι γέγηθε νέαις.
Κῆρας ἀκϑμενον ἠδ' ὀδύνας
Παντὸς ἐπιχθονίϑ ἰδίας,
Κῆρ τ' ἀνιώμενον ἀνδρόμεον,
Λυσίπονόν τε Σὺ πᾶσι πέλεις·
Σϑ γε, τὸ λυπρὸν, ἐπερχομένϑ,
Φεύξεται, ἠδ' ἀχέων νεφέλη,
Πᾶν θ', ὅ,τι ἄμμε πέφυκ' ἀνιᾶν.
Σὺ χθονὸς ἐνναέταις γέγονας
Πῦρ ἱερὸν, καθαρϑργὸν ἐὸν
'Ηδ' ἀποτῆκον ἅπαν τὸ κακόν,
Τάς τε ἁμαρτάδας ἄμμι λύον
Καὶ τὰ ἁμαρτάσιν ἑσπόμενα
Ποίνιμα ἄλγεα καὶ πάθεα,
Χαρμοσύνην διδὸν ἐκ στοναχῆς
Καὶ ἀλάλαγμα γόοιο τόπῳ,
'Αντὶ δὲ τῆς πρότερον κακίης
Κἀδικίης μεταγνϑσι πρόφρον
"Αμμι νέμον τὰ δικαιοσύνης
Κάλλιμα Σῆς τε γέρα φιλίης.
Σοὶ ἀπαθϑς, ἀτόνϑ, βραδέος,
Τῶν τε κατ' εὐσεβίην ἀμελϑς,
Λήσμονος ἀενάων ἀγαθῶν,
'Ημιθανϑς, ἀνόϑ τε νόϑ
Νήγρετος ϑ̓δαμὸς ἐστιν ὕπνος.
Νῷ Σὺ ἐγερσιφαὲς τελέθεις,
Πᾶσιν ἐγερσίνοον, προτροπὴ
'Η ἐπὶ καλὰ Σύ, πασιφανὲς
Σῆμα τὸ ἔνδοθι νϑθετέον,
"Αμμι τὰ ὀρθὰ κέλευθα λέγον·
'Ενδότερον Σὺ κέλευσμα βροτοῖς,
'Ηδὺ παραινέον ἐς τὸ δέον,

Ἄμμε καλῦν, ἐφ' ὃ λῇ ὁ Θεός·
Ἐν πραπίδεσσι δ' ἀπαυστὶ βαρὺς
Εἶ Σὺ ἔλεγχος ἀλιτροβίοις.
Γνῶσις ἀγνωμοσιν ἠδ' ἰδέα
Οὖσιν ἀΐδρισι, φῶς τε τυφλοῖς
Ὄμμα τε τοῖς νοερῶς ἀλαοῖς,
Καὶ σοφίη ἀσόφοις ἐγένυ,
Ἠδ' ἐπιλήσμοσι μνημοσύνη,
Καὶ σθένος ἀσθενέεσσι· Σὺ εἶ
Πρῶτον ἅπασι, μέσον, πύματον,
Ἠδὲ τὸ πᾶν τὸ κρατῦν ἐν ὅλοις. —
Δεῖκτα ὁδοῖο δικαιοσύνης!
Φέγγος ἐπαύγασον ἄμμι τὸ Σόν!
Γνῶσιν ὄπασσον ἐτητυμίης!
Εἰςάγαγ' ἄμμ' ἐς ἀληθοσύνην!
Τῇ κατὰ Σὲ φρονίμυς σοφίῃ
Ἄμμε πάρασχε, πάρασχε πλέον
Ἐς θεάρεστον ἐπιῤῥεπέας
Πίστιν, ἐν ἐλπίδι τῇ 'πὶ Θεῷ
Στῆσον ἔπειτα βεβαιοτέρυς!
Στήθεα ἡμέτερ' ἐμπύρισον
Οὐρανίῃ φλογὶ Σῆς φιλίης!
Πρόξενον εἰνὶ Θεῷ ἱλαρῦ,
Ἔνδοθεν εὔφρονος ἄμμι βίυ
Καὶ ἐπὶ γῆς ἔτι, Πνεῦμα! γενῦ,
Κᾳτ' ἀναπαύματος ἀϊδίυ!
Σὺ μόνον εἶ χαροποιὸν ἁγνῶς,
Θεσπεσίως πάνυ τερψίνοον·
Πάγχυ δ' ἀθαμβέας οἶσθα θέμεν,
Ἠδ' ἀφόβυς μάλα κἀταράχυς.
Τοῖσι δ' ἁπλοῖσιν ἑαῖς κραδίαις,
Κἂν ἀμαθέσσι, φρόνημα Σύγ' εἶ,

Τῦ πολέων πολὺ κρεῖττον ἐὸν
Δοξοματαιοσόφοιο νόυ.
Κἀξυνέτοις δὲ, λόγων τ' ἀπόροις
Δῦναι ἔχεις φρένα κεὐεπίην.
'Ιθυνόοις δὲ δίδως σοφίην
Καί Σεο δῶρα ὑπερφυέα.
Σὸν δὲ χάρισμα καὶ αὐτὸ, τὸ νῷ
'Ιθέας ἔμμεναι ἠδ' ἀκάκυς.
Τόν γε διάστροφον ἦσι φρεσὶ
Καὶ δόλιον Σὺ ἀποστρέφεαι·
Τὸν δ' ἀνυπόκριτον αὖτε δέχῃ,
Ἔν τε πίπλῃς ἓ Τεῶν δομάτων. —
'Ελθέ ῥα, ὦ Παράκλητε μάκαρ!
Κἄμμε δίδαξον, ὅσ' ἐστὶ καλὰ
Καὶ κατὰ Σὸν φίλα, Πνεῦμα! νόον.
'Εκ Σέο πάντα δαῆναι ἔοι
Κεῖνα, τὰ δεινὰ σόυς θέμεναι.
Αἴσιμα κεὔστοχα δὸς λαλέειν
Ἄμμε Σὺ, καὶ θεάρεστα ποιεῖν.
Γλώσσας ἄγ' ἡμετέρας, κραδίας
Ἔρξον ὁμόφρονας ἠδ' ἁγίας,
Πᾶν τε τὸ πικρὸν ὅλως ἀφέλυ·
Σεῦ γε παρυσίῃ ὔτε χόλον
Οὔτε τι ἐχθρὸν ἀνέξετ' ἐόν,
Πλὴν ὅ,τι πραῦ τε καὶ γλυκύνυν.
Σὸν πόθον ἔμβαλ' ἀειφλεγέα,
Σὴν ἀγάπην κάθες εἰς μέροπας.
Σὺ σκοπὸς, οἷς κε θέλωμεν, ἔσο,
Ἔργμασιν ἡμετέροις Σὺ τέλος. —
Πνεῦμα! Σέθεν δέεται τὰ ὅλα·
Σεῦ τὰ πεφυκότ' ἀποκρέμαται·
Ἔμφροσι Σεῦ χρέος ἠδ' ἀλόγοις·

Τοῖσί γε πᾶσι τὰ πάντα Σὺ εἶ.
Ἡδὺ μὲν ἐδὲν, ἀτερπὲς ἅπαν
Σεῦ γ' ἄτερ, ἐδέ τι φαιδρὸν ἄνευ
Σῆς χάριτος· Σέο πάντα πέλει
Χωρὶς ἔρημά τε καὶ κενεά·
Γίγνεται ἔτι ὀνησιφόρον,
Οὐδέ τι ἄρτιον ἢ τέλεον
Οὐδενὶ Σῆς δίχ' ἀπεργασίης.
Εἰνὶ δὲ Σοὶ ἀγαθύνεθ' ἅπαν·
Χρῖσμα Σὺ καὶ ἄκος ἀμβρόσιον·
Πᾶσιν ἄρωμα Σὺ ἐράνιον.
Μυστικὸν ὕδασιν ἠδὲ λόγοις
Καὶ θεϊκὸν διὰ Σεῖο μόνε
Ἐστὶν ἴαμα σόες παρέχον,
Καὶ δοτικὴ χάριτος δύναμις,
Ἀποτέλεσμά τε θαυμάσιον,
Σήματος ἐκ φανερε ἀφανὲς
Θέσκελον ἔργον, ἀληθὲς ὅμως
Ἠδ' ἀκεσίμβροτον ἰσχὺν ἔχον.
Τίκτεται ἐξ ἑτέρων ἕτερα
Σοί· τὰ παλαιὰ Σὺ καινά, νέα
Αὖ τὰ γέροντα τίθης κρατερῶς·
Κτίσμα χαρίσμασι Σοῖσι βροτοὶ
Καινὸν ἐόντες ἀγαλλόμεθα·
Οἱ πάρος ἐκ φύσεώς γε κακοί,
Καὶ δι' ἁμαρτάδας οἱ στυγεροί,
Εἵνεκα Σεῖο τὰ νῦν μάκαρες,
Κἀπὸ Τεῆς ὅσιοι χάριτος
Γεινόμενοι, πελόμεσθα θέσει
Καὶ πεφιλήμεθα τέκνα Θεῷ! —
Πνεῦμα τὸ δώς τε δότης τε ἅμα,
Παντὸς ὑποστάτα τε ἀγαθε!

Σεῖο Τεῆς τε χαρῆς μετέοι
Ἄμμι· Σὺ δ' ἁψάμενον κραδιῶν
Σπῖλον ἅπαντα, ἅπαντα ῥύπον,
Πάντα μολύσματα πλῦνον ἄπο·
Σοὶ γὰρ ἀνέκπλυτον ȣ̓δὲν ὅλως.
Εὐπρεπέα καθαρήν τε μονὴν
Ἐν χθονίοις περ ἰδὲ φθορίμοις
Σκεύασαι Αὐτὸ Σύ, ἁγνὲ Θεός!
Τȣ̃ δὲ λίτεσθαι ἔνορσον ἔσιν
Ἄμμι καλὴν, ἱερόν τε πάθος·
Λισσομένοις δὲ γενȣ̃ ὄφελος,
Ξύν τε λαβȣ̃ πρόφρον ἀδυνάμοις,
Σεῦ τε τὰ πάντ' ἐπιδευομένοις,
Τȣ̃τό θ' ἅμ' εἰδόσι κεὐχομένοις
Ἄμμι Τεὴν καθύπερθεν ἀεί,
Πνεῦμα! πρότεινον ἀρηγοσύνην.
Πᾶσαν ἀνὰ χθόνα φῶς διαφὲν
Σῆς ἐπιγνώσιος εὐκτοτάτης,
Ξύν τ' ἀγαγὸν τὰ ἀπειθέ' ἔτι
Πίστιος εἰς ἑνότητα ἔθνη,
Λαὸν ὁμόφρονα καὶ ἅγιον
Τȣ̀ς ἐπὶ γῆς θέο πάντας ὁμȣ̃·
Ἓν Σὺ τὸ Πνεῦμα· ἕεις δὲ βροτῶν
Γνȣ̃ς Σε φιλῶν τε γένοιτο νόος! —
Ἵλαθι, Πνεῦμα! Τεῒν μὲν ἐγὼ
Πόλλ' ἀλιτήμενός εἰμι, Τεȣ̃
Ἔνθεν ἀνάξιος ὢν ἐλέȣς!
Ἀλλὰ καὶ ὣς Σὺ κατευχομένῳ
Ἵλαον ὂν φίλα μοι φρόνεε!
Ἐκ θανάτοιο Σύ μ' ἐς ζοΐαν,
Οὐρανόσ' ἐκ χθονὸς εἰσαγαγεῖν!
Ἰθυκέλευθος ἴοιμί ποτε

Ὡς Σέ, ῥύπυ βροτέοιο λυθείς,
Νικοφορῶν, ἐπαγαλλόμενος,
Νίκεα Σοὶ ἀναθεὶς τὰ ἐμά,
Ὡς Σὰ χαρίσματ' ἐπιστάμενος!
Ναὶ, Σέο, Πνεῦμα! θεήτορά με
Πνευματικαῖσι θεημοσύναις,
Κτήτορα θὲς Σέο μ' εἰς τὸ ἀεί!
Γευστικὸν ἔργασαι ἀενάῳ
Γεύσεϊ τῦ ὑπάτυ Γονέως,
Τῦ τ' ἀγαπωμένυ Υἷος ὁμῶς,
Καὶ Σέο, Πνεῦμά! με τρισμάκαρα! —
Δόξα Τοκῆϊ τε καὶ Τοκετῷ,
Δόξα μετ' Ἀμφοτέροισι Τεΐν,
Πνεῦμα κατάξιον ἶσα κλέυς!
Δοξάσαι ἐν Τρισὶν Ὕμμε Ἕνα,
Καὶ πάλιν εἰν Ἑνὶ Τρεῖς, με δίδυ
Νῦν τε καὶ εἰς τὸν ἀπαυστὶ χρόνον!
Ὡς λίτομαι Σὲ προσευχόμενος,
Ὧδε καὶ ἐκ Σέο, Πνεῦμα, τύχοι! —

Ὕμνος εἰς τὴν τρισαγίαν Τριάδα.

Τὸ τῶν ἐόντων ὂν Σύ, τὸ ἔξοχον
Ὑφίστασαι μυστήριον, ὦ Θεός!
Μακρῷ λογισμῦ τῦ βροτείυ
Κρεῖττον, ἀμετροβαθές τε πάμπαν!
Θαυμαστὰ μέν Σοι πολλὰ τετεύχαται·
Αὐτὸς δ' ὑπάρχεις θαυμασιώτατον!
Ναὶ, θαῦμα ἡμῖν παμμέγιστον,
Εἷς ἅμ' ἐὼν, ἅμ' ἐὼν Τριὰς, Σύ!

Ἐκπλήττομαι μὲν νῷ ἐπὶ τῇ φύσει
Τῇ Σῇ, Προςώποις τῦ Ἑνὸς ἐν τρισίν·
Ἐξίσταμαι δ᾽ αὖτ᾽, ὑσίη Σὲ
Τὴν Τριάδ᾽ εἰνὶ μιῇ νοήσας!

Θαμβῶν σεβίζω προςκυνέω τε Σέ,
Εἰ καὶ Σὲ τῷ νῷ μὴ καταλαμβάνω,
Τὸν πνεύματος κτιστοῖο μείζω,
Μείζω ἀπείριτον ὅσσον ὄντα!

Εἰ νήπιος πάμπαν Σέγε καλλαβεῖν
Βὔλοιτό τις, ποιοῖ κεν ὅγ᾽ ἶσα τῷ,
Μικρῷ μάλ᾽ ἐξαντλεῖν ἄπειρον
Ὠκεανὸν, ἐθέλοντι, μύστρῳ!

Πίστει Σὲ ἔγνων· ὑ διάνοια Σὲ·
Χωρεῖ περίγραπτος τὸν ἀτέρμονα,
Τὸν τῇ φύσει καὶ τοῖς Προςώποις
Ὄντ᾽ ἀθιγῆ πανυπείροχόν τε!

Οἷον Προφῆται, οἷον Ἀπόστολοι,
Οἷον θεόπνευστοι ἔφαν ἀνέρες,
Τοῖον πεπιστευκὼς Σὲ οἶδα,
Τοῖον ἐγὼ Σὲ τόσον τε τιμῶ.

Ἐγνώρισας δ᾽ Αὐτός, Θεὸς ἄμβροτε!
Θνητοῖς, ὁποῖος καὶ ὁπόσος πέλεις·
Ἐγνώρισας Σὴν ἄμμι δόξαν,
Κἀπεκάλυψας Ἑαυτὸν εὔνως

Τόσσον γε, ὅσσον τοῖσιν ὑφ᾽ ἥλιον
Ἐφικτὸν ἦεν καὶ ἐπιτήδεον·
Τίς δ᾽ ἄμμι, δηλώσας τι, ἔσται
Ἀξιοπιστότερος Τεοῖο;

Αὐτῷ λαλῦντι πίστιν ἔχειν Θεῷ,
Εἴκειν τε εὐθὺς τῷ ὑπάτῳ Λόγῳ,
Κἂν ᾖ ὑπὲρ τὸν νῦν τι ἡμῶν,
Τὸν μετέχοντα λόγυ προςήκει. —

Πλείστας δικαίως Σοὶ χάριτας λέγω,
Ἀνθ' ὧν ἐπίγνωστος γέγονας, Θεός!
Ἀμφοῖν, φύσει πίστει τε, δῆλος
Καὶ φανερὸς φρεσί μευ καταστάς.
Κάρτιστον ἡμῖν ἡ Θεογνωσία,
Καὶ ῥίζα θνητοῖς ἀθανάτου ζόης
Ἡ πεισμονὴ γνώμη τε ἀμφὶ
Σεῦ, Θεός! ἡ κατ' ἀληθὲς οὖσα!
Μᾶλλον δὲ γνοίην αἴ Σέ, καὶ πλέον
Στέρξαιμι θυμῷ, γνοὺς Σὲ σαφέστερον·
Τοῦ δ' εἰδέναι Σὲ κἀγαπῆσαι
Οὐ προφερέστερον οὐδὲν ἄλλο!
Ξύμπαν τὸ καλὸν κἀνδράσι Κἀγγέλοις
Ἐν τῷ Σὲ ὀρθῶς, Κύριε! γνώμεναι,
Κἠν τῷ Σὲ πιστῶς καὶ φιλῆσαι
Γνόντας, ὅση δύναμίς γ' ἑκάστῳ. —
Σεμνὴ Τριὰς καὶ εἷς Θεὸς ἡ Τριάς!
Ἵληθί μοι, καὶ θὲς Σύ μ' ἐπίπνοον,
Θαυμαζέμεν Σὲ προσκυνεῖν τε,
Καὶ τὰ Σά περ μεγαλεῖα φράζειν!
Πρῶτον τὸ εἶναι ὡς ἀγατὸν τὸ Σόν!
Οὐκ οἶδας ἀρχήν, οὐ Σέθεν αἰτίην·
Αὐτὸς δ' ὑπάρχεις ἐξ Ἑαυτοῦ·
Αὐτοϋπόστατος ἡ φύσις Σοί!
Σύ Ταὐτοεῖναι, καὐτοθέμεθλος εἶ·
Ἡ Αὐταληθείη Σύ, τὸ Αὐτόφως·
Ἡ Αὐτοζωή, καὐθύπαρκτος
Οὐσίη, Αὐτοτέλειά τ' εἶ Σύ!
Τῶν ἐν χρόνῳ ὤν, κινυμένων ἀεί,
Κτίστης, χρόνου ῥεῦσιν πάνυ ἀγνοεῖς·
Καὶ τῶν μεταβλητῶν ἐν αὐτοῖς
Αὐτὸς ἄτρεπτος ὑποστάτης εἶ.

Οὐ τάξις ἐν Σοὶ ἔστι κατὰ χρόνον,
Οὐκ εἰς τόπον πὰρ Σοίγε περιγραφή·
Οὐ γὰρ τόπῳ Τύνη ὁρίζῃ,
Ἐντελέθει δ' ὁ τόπος Σοὶ αὐτός.
Ἥττων τόπος Σεῦ γ'· ȣδὲν ἄπεστι Σοί·
Οὐδ' ἐν χρόνῳ εἶ· πάντα πάρεστι Σοί·
Σὺ πανταχȣ̃ πάντως ἄφυκτος·
Ἀΐδιον παρὰ Σοὶ τὸ Νυνί!
Ἔξω χρόνȣ Σοὶ ὄντι, τόπȣ πέρα,
Οὐ μέλλον ἔστ', ȣδ' αὖ παρεληλυθός·
Ἐξȣσίῃ δ' ἐν Σῇ τὰ πάντα,
Οὐδέ τι ȣ τελέως παρὸν Σοί.
Ποτ' ἠργμένων ἄλλων Σύγ' ἄναρχος εἶ,
Κινȣμένων ἄλλων ἀμετάτροπος·
Μίμνεις ἀναλλοίωτος αἰέν,
Τρίςμακαρ ὦ Θεός! ἐν Σεαυτῷ.
Ἐν Σοὶ μὲν ȣδὲν πλὴν Σέθεν ἔπλετο
Καὶ κτιστικȣ̃, τῶν ἔρξας ἄφαρ, κράτȣς·
Τοῖς πᾶσιν ἀρχὴ τȣ̃ ὑπάρχειν
Ἐκ Σέθεν· οὐ δὲ Σύγ' αἰτιατόν. —
Σȣ̃ δμωὸς εὔφρων, ἀρξαμένȣ ἅπαξ
Ὑμνεῖν, ἄκȣσον, Δεσπότις ὦ Τριάς!
Δός μ' εἰνὶ Σοὶ καὶ ἄλλ' ἀοιδὸν
Θαύματ' ἀγασσάμενον σέβεσθαι.
Κοινὸν τὸ εἶναι καὶ τὸ ἐγνωκέναι,
Κοινὸν τὸ βȣλεσθαι, Τριςυπόστατε!
Κοινὸν τὸ ἰσχύειν Ἑκάστῳ
Τῶν τριφαῶν ἀνὰ Σὲ Προςώπων.
Ἐστὸν δὲ καὶ σφὼ πᾶν, τὸ Πατὴρ πέλει,
Ὦ Υἱὲ καὶ Πνεῦμ'! ἥν τε ἔχει Ὅγε,
Καὶ Σφῶϊν ἔστι ποιότης τε
Καὶ ποσότης ἐπὶ πᾶσιν ἴση.

Μᾶλλον δ' ἄποιος καὶ ἄποσος, Τριάς!
Ἡ ὐσίη Σευ, ὥς γε πρὸς ἡμέας·
Οὐκ ἔσθ' ὅπως Σευ τὴν ἄληπτον
Ἠδὲ ὑπέρθεον ἐστὼ εἰπεῖν.
Ἐν Σοὶ ἴη τε τρεῖς τε Ὑποστάσεις
Κοινωνέυσιν παντὸς ἅμ' ἔργματος·
Αἵγ' ὅσσα πᾶσαι εἰς τὸ αὐτὸ,
Καὶ μί' ἔχει δύναταί θ' ἑκάστη.
Πάντ' ἶσα ἐν Σοὶ ταὐτά τε καὶ ὁμά·
Οὐδὲν χερείων τῷ ἐνὶ ἰσχύς, ὐ
Μείων ἐνέργεια πρόσεστι
Τοῖς δυσὶν ἢ τρισί Σευ Προσώποις.
Ἐν ταῖσι μέντοι ἕξεσιν, ὦ Τριάς!
Ταῖς πρὸς Σεαυτὴν διαφορὴ πάλιν·
Ἄλλως γὰρ ἄλλη τῶν σεβαστῶν
Σεῖο Ὑποστάσεων ὑπάρχει.
Σύγ' ἐκπορευτῶς, Πνεῦμα! ὑφίστασαι·
Σὺ δ', Υἱέ! γεννητῶς τὸ ὑπαρχέμεν
Ἔχεις· ἀγεννήτῳ δ' ὑπάρξει
Διαφέρεις Σύ, Τοκεῦ! Ἐκείνοιν.
Ὑμῶν Ἑκάστῳ ἔστ' ἰδίωμ' Ἑόν,
Διακρίτων ὄντων καὶ ἀσυμμιγῶν·
Ἴη δὲ Ὑμῶν, καὶ Τριῶν περ,
Ἡ Θεότης, ἁγίων Προσώπων.
Ἕνωσις ὖν Ὑμῶν ἴον ἐς Θεόν,
Τῦ δ' αὖτ' Ἰῦ τρεῖς ἔστ' ἐς Ὑποστάσεις
Διάκρισις· Σὺ Τριπρόσωπος,
Καὶ πάλιν Εἷς, Θεός! εἶ ὁ Αὐτός.
Ἶσαι δ' Ἑαυταῖς αἵδε Ὑποστάσεις,
Πᾶσαί τε τῆς αὐτῆς φύσεως ὁμῆ
Οὖσαι, ἀχώριστοί τε, καὶ ὧς
Οὐ ξυναλειφόμεναι ἔασιν.

Ἥνωνται ἀλλήλοις τὰ Πρόσωπά Σευ,
Θεὸς τριλαμπές! αὐτὰρ ἀσυγχύτως
Ἔνεισιν ἀλλήλοις· ἐν Αὐτοῖς
Ταῦτ' ἀμιγῶς περιχωρέουσιν.
Αἱ τρεῖς δ' ὃ ἐν Σοὶ εἰσὶν Ὑποστάσεις,
Τοῦτὶ καθ' Αὐτὴν καὶ μία περ πέλει·
Καὶ ὅ,ττι τῶν τρισσῶν, ἑκάστης
Ἐστὶν Ὑποστάσεως ὁμοίως.
Πᾶν, ὅ,ττι Υἱὸς, τοῦτο τὸ Πνεῦμ' ὁμῶς·
Ἄμφω δ' ὃ Κείνω, ταὐτὸ Σύ, ὦ Πάτερ!
Οἱ Τρεῖς Ἀληθείη μί' οἵη
Καὶ Σοφίη Ἀγάπη τε ἁπλῇ.
Ἡ μὴν ἐνανθρώπησις ἐφ' ἡμέων
Σωτηρίῳ, τῆς καὶ ὁ Πατὴρ μετὰ
Τοῦ Πνεύματος γέντο ξυνεργὸς,
Σοί, Θεὸς Υἱέ! μόνῳ προσήκει.
Τὸ προσλαβέσθαι σάρκα βροτησίην,
Μορφῇ θεείη σύζυγα, τοῖν Δυοῖν
Οὐ κοινὸν ἔκτησαι Σύ· τοῦτὶ
Ἦν ἰδίως Τεὸν ἐξόχως τε. —
Τῷ Πατρὶ χαίρεις ὢν ὁμούσιος,
Ὦ Υἱέ! χαίρεις Τῷγ' ὁμόβουλος ὤν·
Χαίρεις Σὺ, Τούτοιν ἐκπορευθέν,
Πνεῦμα! τὰ πάνθ' ὁμότιμον Ἀμφοῖν.
Υἱὸς παναλκεῖ Πατρὶ ἰσοσθενεῖς·
Πάλιν Σὺ Υἱῷ, Πνεῦμα! ἰσοκρατεῖς·
Τῷ παντονίκῃ παμβίᾳ τε
Πατρὶ ὁμοσθενέε ξυνάμφω.
Τῷ Σῷ ἐν Υἱῷ πᾶς ὁ Πατὴρ πέλεις,
Κὴν Σοὶ ὁ Υἱὸς τῷ Γενέτῃ ὅλος,
Καὶ Σοῦ πλέων Υἱοῦ τε, ἀμφοῖν
Σφῶϊν ἔνεστιν ἅπαν τὸ Πνεῦμα.

Κτίστης Πατὴρ πάντων καὶ ὑποστάτης·
Κτίστα δὲ καὶ Σφώ, Υἱέ τε Πνεῦμά τε!
Πανεργέτῃ Καὐτῷ Τοκῆϊ
Ἶσ' ἅμα πάντα συνειργάσασθον.

Τύνη, Πάτερ! μίμνεις παναγήραος·
Υἱὸς δ' ὁμῦ καὶ Πνεῦμα παναφθίτω.
Πανολβίω κέκτησθον Υἱὸς
Πνεῦμά τε πάντα τὰ τῦ Γονῆος.

Ὕμμ' εὐλογῦμεν, παγκρατὲς ὦ Πάτερ!
Παντάρχα Υἱέ! Πνεῦμα πανάρκετον!
Πάνσεπτοι εἰς αἰῶνα οἱ Τρεῖς,
Καὶ παναοίδιμοι αἰὲς ἔστε! —

Ἡ φωτὶ ναίυσ' εἰν ἰδίῳ Μονάς!
Ἡ παμμάκαιρ' ἐξ ἀϊδίυ Τριάς!
Τὴν Σὴν ὁλοψύχῳ σεβασμῷ
Προσκυνέω μεγαλειότητα.

Τὴν Σὴν πεπιστευκὼς μίαν ὐσίην,
Ἐν Σοὶ ὅμως αὖ καὶ Τριάδα σέβω,
Θεός! σέβω Σὲ Τρεῖς τὸν Αὐτὸν,
Καὶ πάλιν Ἓν φυσικῶς ἐόντα.

Σοὶ τῷ ἀειλαμπεῖ Φάεϊ, Πάτερ!
Ξυλλαμπέτην καὶ Παῖς, ὁλόφωτος ὢν,
Καὶ Πνεῦμα, Φῶς ἐκ Φωτὸς ἶσον
Ἠδ' ὁλολαμπὲς ἐὸν καὶ Αὐτό.

Σὺν τῷ νοεῖν Σαυτόν, Πάτερ! ἠδ' ἀθρεῖν
Παῖς Σοὶ ὁμῆλιξ καὶ ὁμοὐσιος
Γεννᾶται ἀφράστῳ γενέθλῃ,
Παῖς ἀγαπητὸς ἄπειρον ὅσσον.

Ὁ γνὺς Πατὴρ στέργεις τὸν ἐγνωσμένον
Υἱόν, Σὲ δ' Οὗτος· Σφωΐτερον τόδε
Τὸ ἔμπαλιν Στέργον, τρίτον τι,
Πνεῦμμ πρόεισι Θεὸς καὶ αὐτό.

"Αναρχος ἀρχὴ αὐτοφυὴς Πατήρ·
'Αρχῆθεν Υἱὸς φὺς Θεὸς ἐκ Θεῦ·
'Αμφοῖν δὲ τῆς στοργῆς τὸ Πνεῦμα
Ζεῦξις ὑφίσταται ἠδ' ἀμοιβή. —
'Ω καὶ Τριὰς συστὰς χ' Ἑνότης Θεός!
Δὸς δὴ φέρεσθαι πάντα με εἰς Σέ, δὸς
Ψυχῆς ἐμῆς τρισσὰς ἐὺσας
Εἰν ἑνὶ Σοὶ δυνάμεις ἑνῦσθαι.
'Εκ Σῦ δύνασθαι, ὅσσα κέλῃ, Πάτερ!
Γνῶναί τε ἐκ Σῦ, Υἱέ! γένοιθ', ὅσα
Κάλ' ἔστι, καὶ ἐκ Σῦ προθύμως,
Πνεῦμα! θέλειν, ὃ θέλεις Σὺ Αὐτό.
Θεός! Σὺ πνεῦμ' εἶ, πνεῦμά τ' ἐπικρατεῖς
Πάντων. 'Αποστὰς τῆς φιλοσαρκίης
Κἀγὼ γενοίμην πνεῦμα μᾶλλον,
Πνευματικῶν πλεόνως ἐραστής.
Σοὶ μὲν τελεῖται πᾶν κατὰ Σὸν νόον,
'Ηδ' ὅ,ττι ἂν λῇς, καὶ δύνασαι ἅμα.
Δὸς κἀμὲ βῦλεσθαι, ἃ καὶ Σύ·
Δὴ τότε πάντα τελεστὰ κἀμοί.
"Αν μὴ θέλω μηδέν, Θεός! ἀντὶ τῶν
Καὶ Σοὶ δοκῦντων, τῦτάκι γίγνεται
Κἀμοί, ὃ λῶ, πᾶν, πανσθενεῖ τε
Εἰμὶ τρόπον τινὰ Σοὶ ὅμοιος.
Θέλοντες ἄνθρωποι τὰ ἑωυτέων
Πλεῦν βῦλόμεσθ', ἤπερ δυνάμεσθά γε·
Σοὶ δ' εἰς ἅπαν ἀρκῦσα ἰσχύς,
Σοὶ ἀνύσαι ἅμα τῷ θελῆσαι.
Σὺ χρηστὸς αἰεί, χρηστὸς ὑπερλίαν
Καὶ εἰς δικαίυς κεἰς ἀδίκυς, Θεός!
Δὸς κἀμὲ ζηλωτὴν γενέσθαι
Τῆς μεγάλης Σεο χρηστότητος.

Τύνη δ' ἀμετρής, ἐδὲ περιγράφει
Τόπος Σὲ ἐδείς· ἀλλ' ὅλος εἶ ὅμως
Πάντη. Ἐν ὀφθαλμοῖς ἔχοιμι
Τὸν πανάφυκτον ἑκασταχῆ μοι.
Σοὶ δῆλα σύμπαντ' ὄντα προόντα τε,
Σοὶ γυμνὰ κεῖται καὶ τὰ ἐς ὕστερον.
Πάντων Σύγ' εἶ, φαύλοισι δεινός,
Μνησαρέτοισι δὲ ἡδὺς, ἵστωρ.
Σὺ ἄχρονος κἄφθαρτος ὑφίστασαι·
Φθαρτὸς δ' ἐγὼν ἠδ' ἐν χρονίῳ ῥόῳ.
Αἰωνίων δός μοι ὄρεξιν,
Ἀθανάτων ἔφεσιν ἐόντων.
Σὺ πάνσοφος καὶ αὐτόσοφος, Θεός!
Ὁδὲς πόρες τ' εἰδὼς ἀπερεισίες
Εἰς ὅ,ττιῦν ἔργον· σοφοὶ δὲ
Ἀποτελοίμεθα κἄμμες ἐκ Σῦ.
Πιστὸς Σὺ αἰὲν κἀποδιδὲς, ὅσα
Ἡμῖν ὑπέσχυ, μηδενὸς ἀξίοις.
Σοὶ σκηπτόμεσθ'· ἡ πιστότης Σῦ
Ἐλπίδι ἡμετέρῃ ἔρεισμα.
Ἡμῖν δ' ἐπηγγείλω ὅλα τἀγαθὰ
Δώσειν, καὶ Αὐτὸν τοῖς ἀγαπῶσί Σε.
Σὲ δὴ φιλήσαιμεν· Σὺ πράξεις
Πᾶν, ὅ καθωμολόγηται ἐκ Σῦ.
Σὺ καὶ δίκαιος κἀπονέμων, ἀεὶ
Ὀρθὸς κριτὴς, τοῖς πᾶσι τὰ ἄξια.
Ὄφρ' ἦν δίκαιον μὴ φοβηθῶ,
Δός με δίκαιον ἔμεν καὶ αὐτόν.
Οὕτω δὲ εἰς ἡμᾶς Σὺ δίκαιος εἶ,
Ὡς αὖτε καὶ ξυγγνωμονικῶς ἔχειν,
Ἤν τις μεταγνὲς σωφρονισθῇ
Κἠπὶ τὸ βέλτιον ἦ παλίμπες.

Ὡς εἷς ἐπευκτὸς τοῖς ἀλιτήμοσιν
Ἡμῖν Σύ, οἰκτίρμων γε καὶ ἵλεως
Καὶ πραῢς ὤν! Μιμήτορές Σευ
Τῦ ἐλέυ μέτοχοί τ' ἔοιμεν!
Σοὶ δ' εὐσταθὴς ἔστ' ἠδ' ἀμετάστατος
Νῦς, κἀμετάπτωτος φύσις, ἀσταθῦς
Πτωτῆς τ' ἐύσης, ὥστε θνητῦ,
Κὐ μονίμυ φύσεως ἐμαυτῦ.
Αὐτὰρ τὸ κρεῖττον πνευματικόν τ' ἐμεῦ
Οἷόντε, καὶ ἐνταῦθα Σέ, ὦ Θεός!
Πως μιμέεσθαι, καί τις εἰκὼν
Σῆς ἀμετατροπίης γενέσθαι.
Τὸ πνεῦμα γῦν καὶ ἡ διὰ πνεύματος
Μιμοῖτο γνώμη Σευ τὸ ἄτρεπτον ὄν·
Σοὶ δ' ἐμμένοι καὶ οἷς Σὺ βύλει
Νῦς ἀτενὴς ἀκλινής τε ὑμός.
Ἡ Σὴ μὲν ἐστὼ πάγχυ ἀπείριτος,
Καὶ τἆλλ' ὅλ' ὐδὲν πρός γε Τεὴν φύσιν·
Εἰ δ' ὐδὲν ἁπλῶς πάντα τἆλλα
Πρὸς Σέγε, Σεῖο τύχοιμι μύνυ.
Τῇ Σῇ ἀειεστοῖ τρίμακαρ Σὺ ὢν
Πλήρης τε ὄλβυ, ὃς Σὺ Σοὶ Αὐτὸς εἶ,
Δοίης γενέσθαι καὶ ἐμαυτὸν
Ὄλβιον ἐκ Σέο καὶ μακαρτόν.
Εἴην ῥα μιμητὴς Σέθεν, ὦ Θεός!
Ἔν γ' οἷς ἐφικτὸν φωτὶ βροτησίῳ·
Σοφώτατον γάρ, Σοὶ ἕπεσθαι,
Καί, θεόμιμον ἔμεν, φρόνησις.
Οὕτω με λοιπὸν δὸς διάγειν βίον,
Νόημα τοῖον λῆμά τέ μοι πέλοι,
Ὡς μηδὲν, ὧν δρῶ, ἀντιᾶσθαι
Σοῖς ἰδιώμασι καὶ νόμοισιν. —

Ὦ τῇ φύσει Σὺ θαυμασιώτατε
Καὶ τοῖς Προσώποις, ἐν Τριάδι τρόπῳ
Λίην ἀλήπτῳ, καῦθ' ὁ Αὐτὸς
Ἐὶν Ἑνότητι Ἄναξ ὑποστάς!
Ὦ εἰν Ἑνὶ Τρεῖς, Ἓν πάλιν ἐν Τρισίν,
Θεός! πονηροῖς αἰὲν ἐναντίε,
Χρηστοῖς φιλόφρον! πᾶν τὸ φαῦλον
Δὸς στυγέειν με, φιλεῖν τὸ χρηστόν.
Σὺ δ' Αὐτὸς ὄντως πᾶσι τὸ χρηστὸν εἶ·
Τὸ καλὸν Αὐτὸς εἶ τὸ ἐνούσιον,
Ἀνεκλιπὲς καλὸν φίλον τε,
Καὶ τὸ φύσει ἅγιον, σεβαστόν.
Κάλλος Σὺ ἄλλοις πᾶσιν ἀσύγκριτον,
Ψυχῇ Σὺ μούνῃ κάλλος ὁρώμενον·
Τὴν Σὴν θεωροῦν ἀσχολοῖτο
Καλλοσύνην νοὸς ὄμμ' ἐμοῖο.
Καλὸς Σὺ οἶος, καὶ ἀγαθὸς μόνος·
Ζηλωτὸς εἶς ἠδ' ἀξιάγαστος εἶ!
Ἔρροι τὰ ἀνθρώποις δοκοῦντα
Ἐσθλά! Ἓεις καλός ἐστι κἠσθλός!
Ἡ Σὴ καθ' Αὐτὴν ἔστ' ἀγαθὴ φύσις
Καὶ ἐξ Ἑαυτῆς· ἡ δὲ βροτῶν μόνον
Μιμήσει ἐσθλὴ καὶ μεθέξει
Σῶν ἀρετῶν, Θεός! ἠδ' ἐάων. —
Οἷον φιλάνθρωπος γέγονας, Τριάς!
Εἰς ἥμας, οὓς τῶς ἀγχιθέους ἔθου·
Σοὶ ἐγγὺς οἰκεῖοί τέ ἐσμεν
Εἰν Ἑνὶ τῶν κατὰ Σὲ Προσώπων!
Κοινωνὸς ἡμῖν ἡ Θεότης ὅλη,
Κοινωνὸς ἐν τῇ Υἱος Ὑποστάσει,
Ἡνωκότος φύτλην βρότειον
Σάρκα τε ἡμετέρην Ἑαυτῷ!

Τιμῆς ἀέλπτȣ ξυμμέτοχοι βροτοί!
Ξυνὴ καὶ ἡμῖν ἡ Θεϊκὴ φύσις!
Ἡ 'νθρωπότης, κἀσύμμετρός περ,
Τῇ Θεότητι ὅμως σύνηπται!
Δράστειρα τόσσων κἠργάτις, ὦ Τριάς!
Τοίων τε καλῶν ἄμμιν ὑποστάτις,
Σὺ δ' εὐνόει καὶ λοιπὸν ἡμῖν,
Κἀποκαθίσταθί Σȣ τὰ ἔργα!
Σωθείς ποτ' ἔνθεν, Σὸν ταχὺς εἰς φάος
Ἔλθοιμι, κεἰς αἰῶνας ὁρῷμί Σε
Κεκτημένος, καὶ δὴ φιλοίην,
Προςκυνέων μάκαρ αἰνέων τε!
Τῇ εἰς Σὲ πίστει τοιάδ' ἔολπα μέν·
Ἀλλ' ȣ̓κ ἄνευθ' ἐλπὶς κρυερȣ̃ φόβȣ·
Σεῦ γȣ̃ν ἀνοίκειος μάλ' εἰμί,
Εἰς Σέ, Τριάς! ἀλιτὼν τοσαῦτα!
Ἀλλ' ἔστιν εὑρεῖν χ' ὣς παρὰ Σοὶ χάριν
Οἰκτιρμοί εἰσιν νήριτοι οἱ Τεοί·
Μείζων ὁ τῆς Σῆς χρηστότητος
Πλȣ̃τος ἐμῆς ἀπόρȣ ὀφειλῆς!
Ἵληθι δή μοι, καίπερ ἀναξίῳ,
Τόσῳ τε μᾶλλόν μ' εἰς Σὲ λάβοις, ὅσῳ
Ἧττόν Σε ἐνταῦθ' ἠγάπησα,
Ὄφρα πλέον Σε ἐκεῖ φιλήσω.
Ἐς εἶδος ἡ πίστις μεταχωρέοι,
Ἡ δ' ἐλπὶς ἄμμι κτῆσις ἔοι ποτέ,
Μίμνοι δ' ἐπαυξηθεῖσα μȣ́νη
Ἡ ἀγάπη, Τριπρόςωπε! εἰς Σέ!
Σοὶ δ', ὦ Θεός μȣ! δόξα καὶ ἐξ ἐμȣ̃
Καὶ ἐξ ἁπάσης τῆς κτίσεώς Σεο!
Σοὶ κῦδος ἤτω, Σοὶ ἔπαινος
Ἐν πόλῳ, ἐν χθονί, ἔν τε ᾅδῃ! —

Ὕμνος περὶ τῆς θείας Προνοίας.

Ὡς καλῶς ἡ Σὴ ἀγαθῶς τε βȣλή,
Ὦ Θεὸς κτιστήρ! διέθηχ' ἕκαστα!
Ἡδέως μῆτις φιλικῶς τε ἡ Σὴ
Πάντα κατορθοῖ!

Αἶ, τί ὤνθρωπος γέγον', ὅττι τόσσȣ
Ἀξιοῖς τȣ͂τον; τί πόθ' υἷες Ἀδάμ;
Οὓς ἐπισκέπτῃ, καὶ ἔχεις, πατὴρ ὣς
Ἤπιος, αὐτȣ́ς!

Κήδεαι ἡμῶν Σύ περ, ὢν τοσȣ͂τος,
Ὢν ὁ ὕψιστος παναπείριτός τε!
Σοὶ τὰ τῶν θνητῶν, ἀβρότῳ περ Αὐτῷ
Ὄντι, μέμηλεν!

Οὔτι Σοὶ μικρόν, διὰ τȣ͂το, ὅττι
Οὔτι καί ἐστιν μέγα τῷ ἀπείρῳ·
Σοίγ' ὑπὲρ μικρῶν μεγάλων τε φροντὶς
Πάμπαν ἐΐσῃ.

Ὧν ἅπαξ τῇ Σῇ δυνάμει ἔοργας,
Ὧν τε συντηρεῖς, Πάτερ ὕψι ναίων!
Τῶνδ' ὁμȣ͂ πάντων Σὺ, ὁμȣ͂ ἑκάστων
Ὁ προνοητής.

Τῶν ὅλων κτιστήρ τε κρατύς θ' ὑπάρχων,
Καὶ διοικητὴς κτίσεως ἁπάσης,
Οὔτι τυφλαῖσιν ἐπέδως τύχαισι
Καὐτομάτοισιν.

Ὁ κτίσας καὶ εἷς ὁ τὰ πάντα τάσσων
Ἠδὲ φροντίζων ἰδίως ἑκάστȣ,
Καὶ ὅλως ȣ̓δ' ἓν παρὰ Σοίγε πρᾶγμα
Ἀπρονόητον. —

Σοὶ μὲν ὖν κἠγὼν ἀνὰ μνῆστίν εἰμι·
Κἠμέ, πανδερκές γ', ἐφορᾷ Σὸν ὄμμα·
Κἠμέθεν ποιῇ ἀγαθὸς λόγον Σὺ
Κἠπιμέλειαν.

Εὐλογῶ τοίνυν, Θεός! ἠδ' ἀνυμνῶ
Τὴν φιλάνθρωπόν Σεο χρηστότητα,
Καὶ τό Σευ κοινῇ περὶ πάντας ἡμῶν
'Αἲ προμηθές.

Δός με Σεῦ ἀμφὶ φρονέειν τὰ ὀρθά,
Δός με τἀληθῆ περὶ Σεῦ πεπεῖσθαι
'Ηδὲ καὶ τῆς Σῆς ξυνεχῶς προνοίας
Τῆς ὑπὲρ ἡμῶν.

Μηδὲ συμβαίη ποτὲ, νηπίειον
Πρὸς προμήθειαν ἀπορεῖν με τὴν Σήν,
Τὴν λίαν δήλην φανερωτέρην τε
'Ηελίοιο. —

"Οσσον ἡμείων προνοεῖς Σὺ, ἤδη
Δεῖξας ἀρχῆθεν, παράδεισον ἦμος
Δῶκας ἀνθρώποιν, μίαν ἐντολὴν θείς,
'Αρτιτελέστοιν.

'Αλλ' ὃ ἐντείλω, παρέβη ὁ πρῶτος
"Ηδη ἄνθρωπος, κακὸς ἔνθεν εὐθὺ
Κἠχθρὸς ἀντ' ἐσθλῦ γεγονὼς φίλυ τε
Τῆς Θεότητος.

Αὐτὰρ ἐξ αὐτῶν Σύγε ὁ κράτιστος
Τῶν κακῶν ᾔδεις ἀγαθ' ἄμμι θεῖναι·
Αὐτό Σοι τὸ πταῖσμ' ἐλέυς ἐς ἡμᾶς
"Επλετ' ἀφορμή.

'Αξίυς πλεύνων πολὺ χειρόνων τε,
Μετρίως αὐτὺς κολάσασκες, ὄντας,
'Ηδ' ἐπηγγείλω ἐπὶ τοῖσδε τὸν σώ-
σοντά ποτ' ἄμμε.

Ἤλυθεν δ' ἤδη ὁ βροτοὺς σαώσων,
Ἤλυθεν σωτὴρ τόσος ἠδὲ τοῖος,
Ὥστε Σοὺς ἡμᾶς γεγενῆσθαι υἱοὺς
Κληρονόμους τε!
Σοὺς φίλους ἡμᾶς θεμένῳ τὰ πρῶτα,
Σοὶ ἁμαρτωλοὶ γενόμεσθ' ἔπειτα·
Τοῦ δὲ σώσαντος χάριτι τὸ νῦν καὶ
Τέκνα Σά ἐσμεν!
Ὅστις οὖν τὴν γλῶσσαν ἔχει ἔναυδον,
Καὶ ὅτῳ ἡ φρὴν πέλεται νοήμων
Τῶν ὑπεργείων ἅμα κὴπιγείων
Καὶ ὑπογειων,
Θαυμάσαι τὴν Σὴν ὅγε τὴν τοσαύτην,
Αἰνέσαι τὴν Σὴν ὅγε τὴν τοιαύτην
Εἰς ἁμαρτηροὺς ἀγαθωσύνην τε
Καὶ φιλότητα! —
Τῆς δὲ Σῆς θνητῶν προνοητικῆς τε
Σωστικῆς τ' αἰεὶ ἀγάπης, Πάναρχε!
Ποικίλ' εἰς ἡμᾶς παραδείγματ' ὅσσα
Γέντο καὶ ἄλλα!
Παντὶ εἰν αἰῶνι τόπῳ τε κήθνει
Ἠδὲ κἀνθρώπῳ κατὰ πάντα ἡ Σὴ
Φαίνεται πάντως φιλέουσα βουλὴ
Κηδομένη τε.
Ὡς ἐφ' ὑβριστὰς κακλυσμὸς ἦλθεν,
Ἄνδρα θαυμαστῶς, ὃν ἔγνως δίκαιον,
Τοὺς τε σὺν κείνῳ γενεῆς ἔσωσας
Λείψανον ἀμῆς.
Κόσμος, εἰδώλοις, ὅτε πᾶς, πλανηθεὶς,
Ἣν Σοὶ ὤφειλεν, προσένειμε τιμήν,
Φῶτα θρησκείας καλέσασκες ἄλλοις
Ἡγεμόν' ὀρθῆς.

Λαὸν ἐκλεκτὸν, ἀπὸ τῦδε φύντα
Ἀνδρὸς, ἐν πᾶσιν ἐδίδαξας Αὐτός,
Ἠδ' ἐποίμαινές μιν ἄναξ τρόποισι
Θαυμασίοισι.

Τὺς ἁμαρτωλὺς ὅτε τὺς κακίστυς
Μέλλεν ἐκπέρσαι τὸ ἀπ' ὐρανῦ πῦρ,
Ἀγγέλω πέμψας ἐσάωσας αὖ τὺς
Εὐσεβέοντας.

Τοῖς δέκα πραθεὶς ὁ νέος ἀδελφοῖς,
Ἐσθλὸς ὢν κακοῖσιν, ἔγεντο σωτὴρ
Πατρὶ καὶ αὐτοῖς πολέεσσί τ' ἄλλοις,
Σεῦ προνοῦντος.

Εὗρε πεινῶν αὐτόμαθ' ὁ προφήτης
Βρώματ', ἐκλείπων· τροφὸς ἄλλοτ' αὐτῷ
Θωϋτὸς πεμφθεὶς ὁ κόραξ φέρεσκεν
Ἄρτον ἀσίτῳ.

Καὶ Ἐλισσαῖος δὲ μέσοις ἐν ἐχθροῖς
Μεῖνεν ἄγνωστος, καθὰ χὠ σταλεὶς φὼς
Εἰς Νινευΐτας ἀβλαβὴς ἐν αὐτῇ
Γαστέρι κήτυς.

Οὐδὲ τῇ χήρῃ τὸ ἔλαιον, ὐ τὸ
Ἄλφιτον μεῖον γένετ'· ἐν δὲ λάκκῳ
Θευσεβὴς ἀνὴρ, ἀτρόφων λεόντων,
Ἔλλαβε σῖτον. —

Τίς δέ κεν γνοίη τε καὶ ἐκφράσειεν,
Ὅσσον ἐν καιροῖς τε τόποις τε πᾶσι,
Καὶ ὅπως πάντων τε ἑνός θ' ἑκάστυ
Σὺ προεκήδυ;

Πῇ κε τὐμὸν βλέμμα τραπεὶς βάλοιμι,
Ἧχι μὴ ἡμῶν Σὲ μέδονθ' ὁρῴην;
Πανταχῦ γὰρ Σῆς ἀγάπης ἐς ἡμᾶς
Ἴχνε' ἅπαντᾷ.

Ἡμέων χρείας ἀκέαι μέγ' εὔνȣς,
Καὶ ἀμόχθοις περ παρέχεις Σὺ χρηστά·
Δῆλος εἶ πάντας φιλέων ὁμοίως
Κἀγαθοποιῶν.

Ἀλλὰ καὶ ὅτως τινὲς ὐκ ἴσασι
Τὴν διοίκησίν Σεο τὴν καθ' ἡμᾶς,
Ἠδὲ μέμφονται κατὰ Σεῦ, ἄριστα
Ἄμμι φρονῦντος.

Εἴθε δ' εἰδεῖέν Σε ἕκαστος! εἴθε
Πᾶς τις αἴσθοιθ', ὡς, ὅ,τιῦν δοκεῖ Σοὶ,
Τῦτο βέλτιστον, τόδε χρηστὸν οἷον,
Κὖτι ἄμεινον!

Σὸν θέλημ' εἴη πόθος ἄμμι μῦνος!
Σὸν θέλημ' ἀρκοῖ ἐπὶ πᾶσιν ἄμμι!
Σὸν θέλημ' αὐτάρκεας εὐτυχεῖς τε
Ἄμμε τιθείη!

Δειλοὶ ὤνθρωποι μάλ' αἴδριές τε,
Ὦ Θεός! πάντως τ' ἄδικοι ἄμ' εἰμέν,
Νῦν καθ' ἁμὸν βȣλόμενοι τὰ αὐτῶν,
Οὐ κατὰ τὸν Σόν!

Αὐτὰρ ἰσχυρῶς Σύ με δὸς πεπεῖσθαι,
Ὅττι πλὴν Σεῦ ἔστ' ἀγαθὸν μὲν ὐδέν,
Ὅττι δ' ὐδὲν πᾶν, ὃ θέλει τις, εἰ μὴ
Καὶ ἐθέλεις Σύ.

Ἐσθλὸς εἷς μῦνος Σὺ ὁ Θεῦς ὑπάρχεις·
Ἐσθλὰ δ' ἐν θνητοῖς τὰ Τεῖν φίλ' ὄντα·
Τὠγαθὸν κτιστοῖς μόνον ἐκ Σέθεν τῦ
Αὐταγάθοιο.

Οὐ θέλεις ὐδὲν Σύγε, ὅττι καλόν
Ἐστι καὶ ἐσθλόν τι καθ' αὐτό· ἀλλὰ
Ὅττι λῇς Τύνη, διὰ τῦτο καλὰ
Πάντα καὶ ἐσθλά.

Τώγαθὸν Σοὶ μὲν Σύ τε Σόν τε λῆμα,
Κὔτι ὡς εὖ ὂν παρὰ Σοὶ θελητόν·
Ἄμμι δ' αὖτ' ἐσθλόν τέ τι καὶ θελητὸν
Τῷ ἐθέλειν Σέ.
Ἐκ Τεῆς βυλῆς τὸ καλὸν μετρῦμεν·
Σὸν θέλημ' ἀρχὴ ἅμα τῦ τε εἶναι
Τῦ τε κάλ' εἶναί τινα καὶ φιλητὰ
Πρακτέα θ' ἡμῖν.
Ὧν Σὺ συγχωρεῖς κατ' ἔμ', ὧν Σὺ βύλει,
Οὐδαμὸν κακόν, Θεός! ἀλλὰ κακὸν,
Εἰ ὁ ἐκ πηλῦ μάχομαι θεείης
Δόγμασι βυλῆς!
Ἐν γὰρ ἀνθρώποις μόνον ἐστὶ λυγρὸν,
Ἐντολαῖς Σῇσιν τὸ ἐναντιῦσθαι·
Τἆλλα γῦν δείν', εἰ κακὰ μὲν καλῦμεν,
Οὐχὶ καὶ ἔστιν.
Μῦνον ἐν κόσμῳ τόδε κακὸν, ὅ,ττι
Κακὸν ἄνθρωπον παρὰ Σοὶ τίθησι·
Σοὶ δέ τις κακὸς, παρὰ Σὴν θέλησιν
Βυλόμενός τι.
Οἷον ὖν μοι δὸς τὸ ἁμαρτὲν εἰς Σὲ
Ἐν βίῳ μισεῖν, τὰ δὲ λοιπὰ πάντα,
Εὐτυχῦντ' ἤτοι ἀτυχῦνθ', ὁμοίως
Σοὶ διακεῖσθαι. —
Ὦ Θεός! θνητῶν σοφὲ παιδαγωγέ,
Βελτιῶν αὐτῶν φυσικῶν ἀπ' αἰνῶν
Ἡμέας, κακὸν τὸ δοκῦν βεβαίῳ
Δὺς ἐπὶ καλῷ!
Μή τι γογγύζων ἐπὶ μηδαμῇσι
Συμφοραῖς, πράως μάλ' ἐπιτρέποιμι,
Ὦ Πάτερ! τῇ Σῇ σοφίῃ τ' ἐμαυτὸν
Κἀγαθότητι!

Τῶν ὅλων Τύνη προορῶν ἀνάσσεις,
Μήδεαι πάντων, τὰ μάλιστα δ' ἡμῶν.
Ὅ,ττι ὖν δώσεις Σύγε, τῦτο κρεῖττον,
Τῦτο κράτιστον.

Μᾶλλον, ἢ υἱός γ' ἐπὶ πατρὶ θαῤῥεῖ,
Μᾶλλον, ἢ μητρὶ θυγάτηρ πέποιθε,
Παμπάτορ! θαῤῥεῖν τε πεποιθέναι τε
Χρή μ' ἐπὶ Σαὐτῷ.

Ὄρνις ὡς στέργει τὰ νεόττι' αὐτῆς,
Ἐκτρέφει, τηρεῖ ὑπὸ τοῖς πτεροῖσιν,
Ὧδε αἱ τῆς Σῆς πτέρυγες σκεπῶσιν
Ἄμμε Προνοίας.

Καὶ ἁμαρτωλῶν δὲ Σὺ ὖκ ἀκηδεῖς,
Ποικίλως δ' αὐτὺς προκαλῇ ἐπ' ὀρθήν,
Ἠδ' ἐποτρύνεις ἐρατῇ βίηφι
Ἐς μετάνοιαν.

Ἀλλὰ τῶν δύλων Σεο καὶ φιλητῶν
Εὐσεβῶν τ' ἀνδρῶν μέδεαι μάλιστα·
Τῶνγε Σοὶ πλεῖον λόγος, ἔξοχόν τε
Τοῖςγε συναίρῃ.

Προςδοκᾶν πὰρ Σεῦ χάριν ἠδ' ἀρωγὴν
Εὐσεβῶν τις πρῶτα δίκαιος, εἶτα,
Ὅς κ' ἐπιστρέψῃ ἐπὶ Σὲ φρεσίν τε
Κήθεσιν οἷσιν.

Τῷ συνείδησιν καθαρὴν φυλάξαι,
Ἢ μιανθεῖσαν πάλιν ἁγνίσαι γε
Δεῖ μ', ὅπως ἐνταῦθ' ἐπὶ πᾶσιν ἐσθλὸν
Θάρσος ἔχῃ με.

Τοῖς γὰρ εὖ καλῶς τε συνειδόσ' αὐτοῖς
Καὶ Σὲ τῶν πάντων προνοῦντα γνῦσιν,
Οὐδὲν ἐν κόσμῳ φοβερὸν τέτυκται·
Οὐδὲ Σὺ αὐτός,

Ὁ πρὸ αἰωνῶν Θεὸς ὢν ἁπάντων
Ἠδ' ἐς αἰῶνας κρατερῶς ἀνάσσων,
Δεῖμα, τοῖς μεῖνεν τὸ συνειδὸς ἁγνὸν,
Ἢ ἐκαθάρθη.

Τοῖς ἀθώοισιν Σὺ ἀθῶος αὐτός·
Τὰς δὲ μὴ εὐθεῖς τὸ κέαρ στυγήσεις,
Ὧν τὰ πόλλ', οἷοι πελόμεσθα εἰς Σὲ,
Τοῖος ἐς ἡμᾶς.

Ἄξιός Σευ τῆς φιλίης γενοίμην,
Ἄξιος τῦ Σῦ ἐλέοιο μᾶλλον·
Καὶ Σὲ τὸν πάντη ἵνα μὴ φοβηθῶ,
Αὖ φοβεοίμην!

Αἰνέω τὴν Σήν, Πάτερ! εὐμένειαν,
Καὶ Σὲ δοξάζω, δι' ὅσην ἐποιῦ
Μεῦ προμήθειαν, τοσάκις περ ὄντος
Σοι ἀχαρίστυ.

Δεῖξον εὔνοιαν ἔτι καὶ τὸ λοιπὸν
Χρηστὸς εἰς ἡμᾶς· προφύλαξον ἡμῶν
Καὶ προμήθησαι, καθὰ μέχρι τῦτυ
Ἦσθα προμηθής.

Ἄμμε δ' ἐκ πάντων ἐπὶ γῆς πονηρῶν
Ἔκ τε κινδύνων διασῶσαι ἠδὲ
Εὐόδως ἡ Σὴ ἀγάγοι Πρόνοια
Οὐρανὸν εἴσω!

Δόξα Σοὶ καΐνη, πανεπόπτα Μήστωρ!
Δόξα Σοὶ καΐνη παρὰ παντὸς ἔστω,
Πᾶσα Σοὶ ἔστω ἐνὶ πᾶσι δόξα
Πάντοτε πάντη!

Ὑμνῳδία ἐπὶ τῆς ἁγιωτάτης Εὐχαριστίας.

Εὐλόγει σφοδρῶς, μεγάλως καθύμνει,
Ὦ φίλη ψυχή, σεο τὸν Σαώτην·
Κάρτα τὸν καλόν σεο καὶ θέειον
Ποιμέν' ἄειδε!

Σοι ὅση ἰσχὺς δύναμίς τε, πειρῶ·
Οὐδὲ γὰρ καὶ ὣς μετρίως γ' ἐφίξῃ
Μιν λέγειν· τόσσον περίεστιν ἄινυ
Τῦ παρὰ σεῖο!

Μηδ' ὅμως σαύτῆς ἀγὸν ἠδ' ἄνακτα
Εὐλογῦσ' ἱραῖς διάλειπ' ἀοιδαῖς,
Εἰ καὶ ἐλλείπειν σέγ' ἐφυμνέυσαν
Πάμπαν ἀνάγκη.

Μὴ ἀθυμήσῃς ποτὲ συσταλεῖσα
Σεῖο τῇ γνώμῃ· μέγα χρή σε θαῤῥεῖν,
Οὐδ' ἀπελπίζειν ἀποδειλιᾶν τε
Καὶ ἀπορῦσαν.

Ἀλλ' ὅσῳ ἧττω σὲ μὲν, ὂν δὲ βύλει
Δοξάσαι, κρείττω δέδαας, τοσύτῳ
Μᾶλλον ἐντείνυ, καὶ ἀμηχανῦσα,
Κληΐσαι Αὐτόν.

Αὐτό σοι εἴη γλυκὺ τὐπιλείπειν,
Αὐτὸ τὐκλείπειν ἀγαπῷς, ὁρῶσα
Τῦ Θεῦ φωτὸς τὸ ἄβυσσον εἰς σὲ
Ξυνκαταβαῖνον!

Ἡδύ γ', ἐνταυθοῖ καταποντίσασθαι,
Ἡδύ, σ' ἐς βένθος καθ' ὅλην ποθῆναι,
Ἡδύ, σ' αἰσθέσθαι βυθίην θεείυ
Ὠκεανοῖο!

Τῦ Λόγυ γνῶναι σάφα τὴν ἔλευσιν
Καὶ μονὴν ἔνσαρκον ἐπ' αἶαν, ὖ πως
Ἔστι· θαυμαίνοις δὲ σὺ προςκυνῦσα
Ἔργον ἄληπτον.

Τῷ γὰρ εἰς ἡμᾶς καταβῆναι Οὗτος
Καὶ πλέον κλειτὸς γένετ' ἠδ' ἀγαστός,
Οὐδ' ἂν ἰσχύσαις ἱκανόν τιν' Αὐτῷ
Δῦναι ἔπαινον.

Τὸν δὲ καὶ μᾶλλον σὺ δι' αὐτὸ τῦτο,
Ὅττι σῦ μείζων ἀφάτως, γέραιρε,
Ὅττι τ', ὢν τόσσος, κατέβη πρὸς ἡμᾶς,
Τοῖος ἔποικος! —

Ζῶν τε ζωηρός τε, σέβας μέγιστον,
Ὦ ἐμὴ ψυχή! ἀγάπημα δῖον
Ἠδ' ἄεισμ' ὢν σοι, ὑπόκειται ἄρτος,
Οὐρανίη δώς!

Ἄρτος ὖ κοινός, τεθεωμένος δὲ
Καὶ ὃν ἡ καινῶς ὁσίη τράπεζα
Ἔσχε τῦ Χριστῦ, ὅτε, δώδεκ' ὄντας,
Σίτισ' ἀδελφῦς.

Δειπνίσας τῦς Οὗς ἑτάρυς ὁ Χριστὸς
Κεῖνο τὸ λαμπρὸν ζάθεόν τε δεῖπνον,
Δῶκε τὴν αὐτὴν πόσιν ἠδ' ἐδητὺν
Κἄμμι μακαρτοῖς.

Ἐν δὲ τῷ δείπνῳ ὃ ἔρεξ' Ἰησῦς,
Τῦτο κἀκείνυς ἐκέλευσε ῥέζειν,
Μνήμονας τῦ Οὗ θανάτυ ἐόντας
Τῦ ὑπὲρ ἡμῶν.

Καινὸν ἡ καινὴ παρέχει τράπεζα·
Λῦσεν ὁ κρείττων τὰ παλαι' ἀνάκτωρ.
Νῦν νόμος καινὸς, τό τε πάσχα καινὸν
Χἠ διαθήκη.

Πᾶν τὸ ἀρχαῖον τελέωσεν ἡ νῦν
Καινότης, καὶ φῶς ἀπέωσε νύκτα·
Τὺς τύπυς εἶρξεν τὸ ἐόν, σκίην δὲ
Αὐτὸ τὸ σῶμα.

Ἔσχισεν μέσσον τό Ἑ πρὶν καλύπτον
Τοῖς τε πολλοῖσιν ἄβατον πέτασμα·
Νῦν Θεὸς πάνδημος, ἅπασι κοινὸς
Εὐπρόσιτός τε! —

Εἶα δή, ψυχή! κλεΐσωμεν ἄρτον
Τόνδε τὸν θεῖον παναοίδιμόν τε·
Νῶϊν εἰς Αὐτὸν γλυκέως ὁ θρῆσκος
Ὕμνος ἀνηχοῖ!

Τῶν τροφῶν ἄρτος τρόφιμον μάλιστα
Ἠδὲ εὐρώστυς παρέχον φαγόντας,
Σώματα στηρίζον, ἃ ἠσθενώθη,
Πᾶσί τε δεκτόν.

Τῶν ποτῶν οἶνος μέγ' ἄριστον, ἡδὺ
Γεῦμα κεὐφραῖνον κραδίας πιόντων,
Ζωπυρῦν, λήθην ἐπάγον μεριμνῶν,
Πήματα κοιμῶν.

Δῆλ' ἄρ' ἐξ αὐτοῖν, ὑπὸ τοῖν κέκρυπται,
Γίγνεται εἴδοιν, ὅσα ὧδ' ὁ ναίων,
Καὶ λεληθώς περ, δύναται, ὅσ' εἰνὶ
Ἧμιν ἐνεργεῖ.

Σωμάτων γ' ἄρτος φύσιν ὠφέλησεν,
Ἠδὲ καὶ οἶνος· ὁ δ' ἐὼν ὑπ' εἴδοιν
Ἶσα, καὶ μείζω δ' ἔτι πλεῦνά θ', ἀμοῖς
Πνεύμασι χραῖσμεν. —

Ζωὸν ἀζώων ἄπο γίγνεθ' ἱρόν·
Σταὶς τὸ ὀπτὸν σῶμα, ἅμ' εὐλογηθέν·
Ἀμπέλυ καρπὸς, σταφυλῶν τὸ νᾶμα
Γίγνεται αἷμα.

Δόγμα νημερτὲς, τό τε σωματῦσθαι
Τὸν Θεῷ ἱρὸν θύσιμόν τε ἄρτον,
Καὶ τὸ τὴν ἐμβώμιον αἱματῦσθαι
Οἰνάδα λοιβήν.

Πῦρε, συμπάντων ὄχ' ἄριστε σίτων!
Βότρυ, τῶν ἄλλων μακαριστὲ καρπῶν!
Θαυματαῖν ὕλην παρέχειν τροπαῖν σφὼ
Θεῦς προέκρινεν!

Ὡς Λόγος, πνεῦμ' ὤν, καὶ ἐσωματίσθη,
Ἠδὲ κοινῇ ἀμφοτέρω πεφήνει
Θεῦς τε κἄνθρωπος, μέγα θαῦμ' ἐτύχθη
Καὶ τέρας ἡμῖν.

Ἀλλ' ὃ νῦν ἔρδει ἐνισωματισθεὶς
Θεῦς Λόγος, μεῖζον σχεδὸν, ὗτι ἧττον
Ἔργμα τῦ καὶ πρὶν τέρατος φανέντος
Γηγενέεσσιν.

Πυρίνυ κύκλος βραχὺς ἐξ ἀλεύρυ,
Κύκλος ὀπτηθεὶς πυρὶ καὶ νιφαργὴς,
Ἄλλο, ἀνθ' ὖ ἦν, γεγονὼς θεάζει,
Θαῦμα λογισμῷ!

Ναὶ, ὃ ὀπτητόν τι ὑπῆρχεν ἄρτι,
Τῆς ἑαυτῦ νῦν φύσεως τραπείσης,
Οὐκέτ' ὀπτητὸν, δοκέον περ, εἶδαρ,
Ἀλλὰ Θέανδρος.

Αὖ δ', ὃ ἦν ψιλὴ πάρος ἠδὲ ἁπλῆ
Οἰνιὰς, θείῃ δυνάμει, τὸ ἦεν,
Ὃν πέπαυται, ἐν δὲ τόπῳ προόντος
Ἔνθεος ἀνήρ.

Ὧν Θεὸς καὶ φὼς γέγονεν· Θεὸς-φὼς
Γίγνετ' ἐξ ἄρτυ πάλιν ἔκ τε οἴνυ,
Θηΐης στοργῆς τε ἅμ' ἰσχύος τε
Θωὔτὸν ἔργον! —

Ἡ δὲ τῦ πράγυς φύσις ὐχ ὁρατὸν,
Οὔ πη ὀσφραντὸν πέλει, ὐδὲ γευστόν,
Οὐδ᾽ ἄρ᾽ αἰσθητὸν παράπαν, μόνῃ δὲ
Πίστεϊ γνωστόν.

Ὂν δ᾽ ὑπὲρ τὴν τῆς φύσεως συνήθη
Τάξιν, ὂν μεῖζον περάτων νόοιο
Τῦτο, ἀψευδὴς Θεὸς ἀσφαλίζει
Ἠδὲ βεβαιοῖ.

„Τῦτό μυ ὄντως.τελέθει τὸ σῶμα,“
„Καὶ τοδί μυ ἔστ᾽ ἀμέλει τὸ αἷμα·“
„Βρῶμα τώγ᾽ ἄμφω ἰδὲ πῶμ᾽ ἀληθῶς,“
Κύριος εἶπεν.

Πρὸς Θεῦ, ὐδεν χαλεπὸν, γενέσθαι,
Οὐδ᾽ ἀνήνυστόν τι πέφυκε· πιστὰ
Τῦγε καὶ μᾶλλον γένετ᾽ ἔργ᾽, ὅσῳ καὶ
Θωϋτὰ πλεῖον.

Θεῦς σθένει κἀκεῖνα τὰ ὄντ᾽ ἄληπτα·
Τῦ δὲ νῦ κρεῖττον τὸ Ὂν ἀξίωμα·
Πᾶν δὲ πιστευτὸν παραδεκτέον θ᾽, ὃ
Αὐτὸς ἔφησεν. —

Ἔν ῥα τύτοις εἴδεσι τοῖς διμόρφοις,
Οὖσι σημείοις μόνον, ὐχὶ καὐτοῖς
Πράγμασιν, χρῆμ᾽ ἓν τὸ μεγιστότιμον
Ἐγκεκάλυπται.

Αὐτὸς ἐν διττοῖν κεκάλυπται εἴδοιν
Χριστὸς ἀψευδῶς· ὑφ᾽ ἑνὶ δ᾽ ἑκάστῳ
Τοῖν δυοῖν εἴδοιν ὅλος ἔστ᾽ Ἰησῦς
Αὐτοπρόςωπος.

Ἔστι σὰρξ ὄντως τὸ ἐοικὸς ἄρτῳ·
Ἡ δὲ σὰρξ αὖθις νοερός τις ἄρτος,
Πιαρὰς ψυχὰς παρέχων, διδὺς τε
Πνεύμασι ῥώμην.

Καὶ ὃ τὴν ὄψιν πανόμοιον οἴνῳ
Φαίνεται, ἔστιν τὸ ἀληθὲς αἷμα·
Μυστικὸν δ' αὖ πῶμα τὸ αἷμα τῦτο,
Ψυχικὸν ἦδος. —

Οὐ διαιρεῖται μεταλαμβάνυσι
Χριστὸς, ὐ θλᾶταί ποτε, κὖτι κλᾶται,
'Αλλ' ὁλόκληρος τέλεός τε μίμνει
Καὶ ποτιληφθείς.

Γεύεται Τῦγ' εἷς τις ἐών, πάλιν τε
Χίλιοι ὄντες Ἓε προςφέρονται·
Καὶ τόσον κἀκεῖνος, ὅσον καὶ ὗτοι,
Οὐδέ τι ἧττον.

"Εσθεται καὶ πίνεται, ὡς τὰ ἄλλα·
Οὐδὲ μὴν ἄλλων γε δίκην τροφάων
Φθείρεται· μίμνει, φθιμένων περ εἰδῶν,
"Αφθιτος Αὐτός.

Ἶσα κοινῦνται, ἀτὰρ ὐκ ἐπ' ἴσῃ
Τῇ τύχῃ, καλοί Ἕθεν ἠδὲ κακοί·
Φάρμακον κεῖται, διενεργέειν δι-
άνδιχ' ἑωθός.

Φάρμακον κεῖται καλὸν ἠδὲ δεινόν,
Τοῖσι μὲν ζωῆς, θανάτυ δὲ τοῖσιν,
Οὐδὲ τῦ αὐτοῖο χρέυς τὸ αὐτὸ
'Αποτέλεσμα. —

Τῦτο καὶ κλασθὲν μάλα, ἔς τε πολλὰς
"Ες τε παμμίκρυς μορίδας μερισθὲν,
Οὔτι μειῦται· τὸ ὅλον δ' ὕπεστι
Καὶ μέρεϊ περ.

Κλάσμα πᾶν, πᾶσα ψεκὰς ὐκ ἔλασσον
Τῦ ὅλυ σίτυ συνέχει πότυ τε·
Κεύθεται σύμπας μορίῳ ὁ Σωτὴρ
Εἰν ἐλαχίστῳ.

Οὐδὲ τῦ ὄντος σχίσις, ὐδὲ αὐτῦ
Τῦ ὑπ' εἴδεσσιν κρύφα λανθάνοντος
Χώρισις, μούνυ δὲ διαίρεσις τῦ
Φαινομένοιο.

Καὶ τὸ σημαῖνον μόνον, ὐχὶ καὐτὸ
Τὐνθαδὶ σημαινόμενον τροπεῖται·
Ταῖν καταστάσαιν φύσεων τὸ αὐτὸ
Πᾶν διαμίμνει.

Εἰδέων μέντοι διόλυ φθαρέντων,
Οὐκέθ' ὁ Χριστός, Θεὸς ὢν ἁπάντη,
Μυστικῶς καὶ σωματικῶς πάρεστιν,
Ὡς τὸ πάρος περ.

Πρῆγμα θαυμαστὸν, τό θ' ὑπεῖναι ἄλλον,
Ἢ ὃ δείκνυσιν τὰ ἐναργέ' εἴδη,
Καὶ τὸ, τῶν εἰδῶν, ἀπέμεν, λυθέντων,
Τὸν πρὶν ὑπόντα! —

Τόνδ' ἄρ', ὦ ψυχή! καθόσον δύνῃ γε,
Κλεῖε τὸν θεῖον ξένον, ὄντα πάσης
Ἄξιον τιμῆς, ἐραταῖς μονῆσιν
Ἄμμι προσόντα!

Ἀγγέλων ἄρτος γέγονεν τρόφημα
Καὶ βροτοῖς κοινῇ· ἰδίοις δὲ μῦνον
Παισὶ καὶ ἁγνοῖς· κυσὶ δ' ὗτος ὔπως
Βλητέος ἄρτος.

Κάππεσ' ἐξ ὕψυς ποτὲ τοῖς παλαιοῖς
Μάννα, τῆς καινῆς προτύπωμ' ἐδωδῆς·
Ἄμμι δ' αὖ καὐτὸς κατέβη ἔδεσμα
Ὑψινεφὴς Θεῦς! —

Χαῖρ' ὁ τὴν σκηνὴν μεταθεὶς ἐς αἶαν,
Ἠδ' ὅμως ναίων τὰ ἐν ὐρανοῖσι,
Χαῖρε, καὶ πραῢς ξύνεσο πολίταις
Τοῖς ὑπένερθεν!

Οἷος εἰς οἷυς ἔμολες κάτοικος!
Ὅσσος ὢν εἰν ὀσσατίοις ἔκρινας
Σοὶ ἕδη πῆξαι! Σὺ ὁ ὐρανῦχος
Γῆν ἐπελέξω!
Τῶν πάλαι ἐθνῶν τί ποτ' ᾔσθεθ' ὗτω
Φίλιόν θ' αὐτῷ Θεὸν ἤπιόν τε;
Χὠ ὑπὲρ πάντας τίσιν ἦν ποθ' ὧδε
Κοινονοήμων;
Μυρίῳ λαῶν πέρι ὡντινωνῦν
Κὐρανῷ φῖλον γένος οἱ Σά, Χριστέ!
Ὄργια γνόντες, προτετιμένοι γε
Εἰς τόσον ἄλλων!
Οὐ φοβεῖς ὧδι, καθὰ καὶ πάλαι, ὡς
Ἀστραπεὺς, βροντῶν, καπνίσας τὸ ὗρος,
Ἰσραηλίταισι νόμον κέλευες
Αἰνὰ τρομῦσιν.
Ἐνθαδὶ εἶναι πάρα λανθανόντως
Κὴνὶ κευθύσῃ φιλέεις καλύπτρῃ,
Προσβατὸς πᾶσιν, χαρίεις, προσηνὴς,
Μηδενὶ δεινός.
Δεῦτε, πάντ' ἔθνη, ἐπὶ προσκύνησιν,
Μὴ πτοηθέντα· σκεπάσας πάρεστι
Τῆς Ἑῆς δόξης μεγαλειότητα
Καὶ σέλας αἰνόν.
Δεῦτε, μηδ' ἴσχοι ὄκνος ὔμμε· τόσσῳ
Μᾶλλον ἡγησασθ' ἐρατεινὸν, ὅσσῳ
Εἴδεσιν κρύπτει τὸ Ἑὸν παρεῖναι
Τὠκατάληπτον.
Ταῖσδε ταῖς σεμναῖς τελετῆσιν ἱρὰ
Χάρματ' ἐζεύχθω· τὰ παλαὶ ἀπέῤῥοι·
Καινὰ πάντ' ἔστω, φρένες ἠδὲ φωναὶ
Ἔργα τε θνητῶν! —

Θυμέ μυ! κίνει ἔτι γλῶσσαν ᾄδειν,
Ἐκτενεῖ κινῦ ἅμα καὐτὸς ὁρμῇ,
Τῦ λέγειν πλείω μεγαλεῖα δείπνυ
Κυριακοῖο.

Σάρχ' ὁ σὰρξ τεχθεὶς Λόγος ἄρτον, αἷμα
Αὖτ' ἔθηκ' οἶνον δυνατῶς, ἀληθῶς,
Καίπερ αἰσθήσει τόδ' ἄδικτον, οἵη
Πίστεϊ ληπτόν.

Οἵη ἀνθρώποις ἐτέθη τράπεζα,
Ἑστιαθέντων δυοκαίδεκ' ἀνδρῶν!
Ἦσθα σύνδειπνος Σύ, Θέανδρε! ἦσθα
Δεῖπνον ὁ Αὐτός!

Ἧς δὲ πρὶν ἡ δωδεκὰς ἠξιώθη
Τῶν φίλων, ὓς εἰς τέλος ἠγάπησας,
Τῆςγε δὴ γεύεις Σὺ καὶ ἄμμε θοίνης
Ἀγλαοτίμυς.

Σῶμα τὺκ τῆς παρθενίης ἀφράστως
Κοιλίης βλαστόν, πλέον ὂν Θεοῖο,
Εὐνοῶν λίην καὶ ἄγαν φιλόφρων,
Ἄμμι χαρίζῃ!

Ἐσθίει δῦλος Σὲ μέγαν ταπεινὸς
Δεσπότην, καὶ τοῖς ὑποκειμένοισιν
Ἡλίῳ μήνῃ τε Σὺ κοινὸς εἶς ὁ
Τἄστρ' ὑπεροικῶν!

Ἐνδεᾶς, μικρὺς, πόλυ ἐκπεσόντας
Πλυτίσων ἠδ' εἰς τὰ ἄνω κατάξων,
Μικρὸς Αὐτὸς, πτωχὸς, ἄποικος ἐν γῇ
Ἔμμεναι εἶλυ!

Ὧν Σὺ ἀρχηγὸς καθόλων γενητῶν,
Ἔμπαλιν γίνῃ, μεταποιέων γε
Εἰς ὃ εἶ Καὐτὸς, φύσιν ἠδὲ ὕλην
Μηδὲν ὁμοίην! —

Τῷ Ἑῷ θύεις ἅμα θύεαί τε
Πατρὶ ὁ στερχθεὶς Τοκετὸς ἀπ' ἀρχῆς,
Καὶ σφαγῆς πάσης δίχα τῆς πάροιθεν
Αἷμα Σὸν ἐκχεῖς!

Σὴν ἅπαξ ζωὴν παρέδως πρὸ ἡμῶν
Πατρί, αἱμακτοῖσι τυθεὶς τρόποισιν·
'Αλλ' ἀναιμακτεὶ προςάγῃ τέλειον
Νωλεμὲς ἱρόν!

Οὐκέθ', ὡς τὸ πρίν γ', ἀτελεῖς ἀχρεῖος
Προςφέρει ἱρεὺς θυσίας, ὑποστὰς
Τῶν πέλας τἄναγνα καθᾶραι, αὐτὸς
Ὢν ἀλιτηρός!

Αὐτὸ νυνὶ γέντο θυτὴρ τὸ Θεῖον,
Ἄξιός θ' ἱρεὺς ἱερ' ἄξι' ἔρδει·
Αὐτὸς Αὐτῷ προςφορέει Ἑαυτὸν
Νῦν Θεὸς ἀμνός!

Καὶ ἀφ' ἡμείων δὲ Σὺ ἐκρέμασσας,
Χριστέ! Σὸν μυστηριακὸν τόδ' ἔργον·
'Εκ λόγων ἐξῆψας ἰδ' ἐκ νόοιο
Τῶν Σεο μυστῶν!

'Ενθάδ' ἐξ ὕψȣς Σὲ καλȣ̃σ' ἐνεργῶς
Οἱ Τεοὶ μύσται· ἀναφὴς δ' ὑπάρχων,
Ὥστε Θεῦς, ὧδ' αὖ τά γε μυστικ' εἴδη
Ἁπτὸς ἐπέρχῃ!

Οὐρανȣ̃ τȣ̃ ἀκροτάτȣ ἀνάκτωρ
Δεῦρο ἐς βωμȣ̀ς μεροπηΐοισι
Ῥήμασιν πεισθεὶς κατάγῃ ἐραστῇ
Τῇ κατελεύσει!

Δίψαν ἥκεις πνεύματος ἠδὲ πεῖναν
Φαρμάκευμ' ἐκπλῆθον ἀκȣ́μενόν τε,
Τȣ̀ς τε ἀῤῥώστȣς θεραπεῦον ἄρκος
Κάφιλαρῦνον.

"Αμμι γεννηθεὶς συνόμιλος ἔπλευ·
Εἶτα καὶ ἐς γεῦμα παρέσχες Αὐτόν·
"Υστατ' ἐς τιμὴν κεκαμών· ἐς ἆθλον
Νῦν βασιλεύων!

Προσκυνῶ Σέ, Χριστέ, μεσῖτα ἡμῶν!
'Αμνὸν ἄσπιλον, θυτικόν θ' 'Εαυτȣ̃
Πατρὸς ἐς δόξαν, θυσίης συνεργȣ̃
Πνεύματος ἁγνȣ̃!

Αἷμα Σόν, Γεννητὲ Θεȣ̃ κόρης τε!
"Ασπετον τιμῆν ἅμα δραστικόν τε,
"Ον τὰ πάνθ' οἷόντ' ἄνομ' ἐξαλεῖψαι
Καὶ χρέα λῦσαι!

Τοῖον ὂν τȣ̃θ' αἷμ' ὁ Πατὴρ ἀθρήσας,
"Ενθεν ἱλασθεὶς πεφίδοιτο ἡμῶν,
Καὶ τὰ εὐθυνῶν, μάλα περ δικαίων,
"Οπλ' ἀποθεῖτο! —

Καλὲ ποιμᾶνορ, πανάριστε ποιμήν,
"Ος νέμεις ἡμᾶς νέμεαί τε ἡμῖν,
Βοσκὸς ἀνθρώποις γεγονὼς βόσις τε,
Μείλιχ' 'Ιησȣ̃!

Βόσκε ποιμαίνων, προφύλασσε, μηδὲ
῾Ημας οἰώσας ἐπιδῷς λύκοισι·
Σῶσον ἐς τὴν ὕψι νομὴν ζόην τε
'Αενάȣσαν!

Πάντα γινώσκεις Σύ, δύνῃ τε πάντα·
Τῷ καί, ȣ̔̃ς θνητȣ̀ς τροφέεις ἰδ' ἄρδεις
῾Ωδε ἐκ Σαυτȣ̃, θὲς ἀεὶ κορεστȣ̀ς
'Αθανάτȣς τε.

Τῶν ἄνω ἀστῶν, πολιητόρων τῶν
Τȣ̃ πόλȣ συγκληρονόμȣς ποίησον·
Συμβίȣς ἡμᾶς θέο, συντραπέζȣς
Σοὶ διαπαντός.

Καὶ γὰρ ἐς τȣ̃το χθονίοις πάρεσσι,
Ὡς ἂν ἐνταυθὶ προάγῃς ἐπ' ἐσθλά,
Κἀνάγῃς εἰς τὴν μετὰ Σȣ̃ δίαιταν
Τὴν ἐπέκεινα.

Καίτοι ὧδ' ἤδη μακαριστοί ἐσμεν,
Εἴγε τὴν τῇδ' εὐτυχίην νοȣ̃μεν,
Ἀξιωθέντες γ' ἔτι καὶ ὁδῖται
Τῶν ἐπὶ πάτρης!

Εὖχος ἀνθρώποις παραμύθιόν τε
Τȣ̃το πάμπλειστον, τὸ Σὲ μυστικοῖσι
Τοῖς τρόποις κἠνταῦθα παρεῖναι ἡμῖν
Ἠδὲ μετεῖναι!

Οὐρανȣ̃ δ' ἐς γῆν κατένεγξις ἄμμι
Γείνετ', ἐξ ȣ̃ δὴ ὁ Θεὸς κατῆλθε,
Καὶ κατεσκήνωσ' ἐπὶ γῆς Ἀνάκτωρ
Οὐρανιδάων!

Οὐκέθ' οἱ νέρθεν πέλομεν δίκαιοι
Τȣ̀ς ἄνω ζηλȣ̃ν φθονέειν τε τȣ́τοις
Τῆς καλῆς μοίρης, ἅτε δὴ τὸν Αὐτὸν
Κἠνθάδ' ἔχοντες! —

Εἴ ῥ' ἀναισθήτως ἔχομεν, λαχόντες
Ἀμβρότȣ τιμῆς, ἀνεπίστροφοί τε
Τῆς λίην εἰμὲν χάριτος, μέγ' αἰσχρὸν
Καὶ νεμεσητόν!

Ἀγνοεῖν κακῶς, ὀλίγȣ ποιεῖσθαι
Τόσσα δῶρ' ἔργῳ, ἀχαριστέειν τε
Εἰς τὸν ἀνθρώποις τὰ μέγιστα δόντα,
Φαυλεπίφαυλον!

Φεῦ μάλ' ἡμείων! ἀχαριστίης γὰρ
Σὴ χάρις κἀγνωμοσύνης ἀφορμή!
Καὶ ὅσῳ χρηστὸς Σὺ, τόσῳ νυν ἄμμες
Ἀμφὶ Σὲ χείρȣς!

Μίμνε δ' είν ἡμῖν, Λόγε-σάρξ! καὶ ὕτως,
Μηδ', ἀηδισθεὶς, ἀπιὼν ποτ' οἴχυ,
Μηδὲ καὶ τοίυς περ ἄπειπαι ἡμᾶς,
Ξεῖνε φέριστε!

Αὐτὸς αἴσθησιν Σὺ ἐπιστροφήν τε
Κἀγάπην δοίης Σέθεν ἄμμιν, αὐτὸς
Εὐσεβῆ μνείαν Σέθεν ἵμερόν τε
Ἔμβαλε θυμῷ!

Τῆς Τεῆς στοργῆς πυρὶ ἐν τοσὕτῳ
Μὴ ἔα ψυχρὺς ἔτι καὶ τὸ νυνὶ
Ἡμέας μίμνειν, παρέχυ δὲ θερμὺς
Ἀντιφιλήσει!

Πᾶν, ὃ εἰν ἡμῖν προϋπῆρξε φαῦλον
Κἀπάρεστον Σοὶ, ἄφες ἄμμι συγγνὺς·
Εἰς δὲ τὔπισθεν θέο προςκυνητὰς
Ἡμας ἀμείνυς!

Λίσσομαί Σε πρευμενέ' ἦμιν εἶναι·
Καὶ παραιτῦμαι, ὅσ' ἐγὼν ἴδ' ἄλλοι
Ἠχαριστῦμέν τε καὶ ἧττον ἦμεν
Αἰδόφρονες Τίν! —

Σοὶ δ' ἄρ', ὦ Σῶτερ! χάριτας τελῦμεν,
Ὅττι συμμίσγεις ἐπὶ γαῖαν ἤδη
Ἡμιν, ἐνναίων μονίμως ταπεινοῖς,
Ὑψόθεν ἐλθών!

Πᾶσι δοξαστός, χαρίεν Ἰησῦ!
Πᾶσι τιμητὸς φρενόθεν γένοιο!
Πᾶσιν ἐκ τῦ νῦν τελέθοις φιλητός,
Σεπτὸς ἅπασιν!

Ἐκ δὲ τῆς Σῆς, Υἱέ! ταπεινότητος,
Τῆς ἐν ἀνθρώποις, μέγ' ἔοι τὸ κῦδος
Πατρί θ' ὑψίστῳ ἅμα καὶ Σεαυτῷ
Πνεύματί θ' ἁγνῷ! —

Ὕμνος εἰς τὴν ἁγίαν Παρθένον τὴν Θεοτόκον.

Χαίροις, ὦ Μαρίη πᾶσι σεβασμίη!
Ἣ καὶ μητρὸς ἔχεις χάρματα καὶ ἅμα
Τιμὴν παρθενικῆς πάμπαν ἀμύμονος·
Χαίροις, ἡ δὶς ὑπείροχος.

Πατρὸς τȣ̃ ὑπάτȣ εἶ σὺ κατ' ἐκλογὴν
Ἀφνειὴ θυγάτηρ· εἶ σὺ μέγ' ὀλβίη
Νύμφη τȣ̃ ἁγίȣ Πνεύματος· εἶ Λόγȣ
Μήτηρ σαρκοφόροιο σύ.

Ναὶ, μήτηρ ἐτύμως Υἷος ἔφυς Θεȣ̃,
Σάρκ' ἐνδυσαμένȣ· ἐν χρόνῳ ἀχρόνȣ
Κὴν γῇ ȣ̓ρανίȣ ἧς φυτίη. Θεῷ
Θῆκας ξυγγενέας βροτȣ̀ς.

Θεῖόν σευ τὸ γέρας· σοὶ πέλεν ἀξίη
Τῶν ἄλλων μερόπων ἔξοχος, ἄμβροτος·
Σοὶ Θεῦς, ὦ μακαρί! δῶκε τὸ εἰνὶ τοῖς
Ἀνθρώποις ὂν ὑπέρτατον. —

Συγγνοίης, γενέτειρ' ȣ̃σα Θεȣ̃ Λόγȣ
Σαρκωθέντος, ἄγαν ȣ̓̃σ' ὑπὲρ ἡμέας,
Εἰ τολμῶ σὲ καλεῖν, εἰ θράσος, ȣ̓ δέος,
Τȣ̃ ὑμνεῖν σέ, μ' ἐςέρχεται.

Σὺ ξύμπασι κλυτὴ καὶ πολυαίνετος,
Ξύμπασιν γεραρὴ καὶ πολύυμνος εἶ·
Τῷ καὶ τὸν παρ' ἐμεῦ τȣ̃ ἀλιτήμονος
Αἶνον μὴ ἀπαναίνεο.

Αὐτὸν μὲν χαλεπῶν πλῆρε' ἁμαρτάδων,
Τὰς γȣ̃ν εἰν ἑτέροις ἡδόμενόν με χρὴ
Γιγνώσκειν ἀρετάς, καὶ προτερήματα
Αἰνεῖν, καλά τε κἀγαθά.

Μῆτερ! μὴ σε φιλῶν, Παρθένε! μὴ σέβων
Μηδ' ὑμνῶν σε ἐμῆς εἵνεκ' ἀπαξίης,
Τί ῥέξω σε πλέον λησμοσύναις; τί δὲ
Οὕτω καὐτὸς ὀνήσομαι;
Τοῖς ἐσθλοῖς, ἐθέλει ὢν φυσικὸς νόμος,
Καὶ τὸν μὴ ἀγαθὸν αὐτὸν, ἐπευδοκεῖν,
Καὶ τοῖς γὖν ἑτέρων τῶν προφερεστέρων
Ἥδεσθαι φρενόθεν καλοῖς.
Τίς δ' ἄν σ' ὐκὶ τίοι, γνὺς γ', ὅτι καὶ Θεὸς
Τιμὴν ἐκπρεπέα νεῖμε τεῒν, χ' ὅτι
Ἐν σοὶ σαῖς τ' ἀρεταῖς εὐδοκίης μέτα
Θεῖον βλέμμ' ἀναπαύεται;
Εἰ καὶ μὴ ὄφελος μηδὲ χρεώ γέ μευ
Τίνη τῦ γέραος ἠδὲ σεβάσματος,
Ἀλλ' ὖν τῆς ἀγάπης ἀξίη εἶ λίην,
Καὶ χρήζω μάλ' ἐγὼ σέθεν.
Πᾶς τοίνυν σεβέτω, πᾶς σὲ γεραιρέτω·
Ὑμνείτω σε ὁμῆ καὶ ὁ δίκαιος ὢν
Χὠ μήπω δόκιμος· πᾶσιν ἀοίδιμος,
Πᾶσιν πυλυσέβαστος εἶ.
Οὔσῃ μητρὶ Θεῦ, καὶ τὸ Θεῦ μέλει
Σοὶ μιμεῖσθαι ἔθος καὶ νόον ἤπιον·
Ὥσπερ καὶ ὁ Θεός, πότνα! ὑπαιτίυς
Καὶ σὺ προσδέχῃ ἵλεως.
Κἠμ' ὖν καὶ τὸν ἐμὸν πραϋμενὴς δέχυ
Τόνδ' ὕμνον, γλυκύπαι ὦ Γλυκυπάρθενε!
Πάντως γάρ με πρέπει, σὸν Τέκος ἠδὲ σὲ
Στέργειν καὶ θεραπευέμεν. —
Ὦ κύρη ἁγίη, ἠδὲ παραυτίκα
Τιμήεσσα Θεῷ καὶ πεφιλημένη,
Συλληφθεῖσά γ' ἄτερ παντὸς ἁμαρτίυ,
Κακῦ παντὸς ἀπείρατος!

Τοίη σευ βιοτὴ ἦν καὶ ἀναστροφὴ,
Οἵη καί σε θέμεν πάντα θεοπρεπῆ,
Οἵη σαρκοφανῦς μητέρα τῦ Λόγυ
Οἰκείην παρασκευάσαι.

Ἁγνόν τοι ἐπὶ σὲ Πνεῦμα κατήλυθε,
Καὶ θαυμαστ' ἐνὶ σοὶ εἰργάσατ' ἔργματα
Ὑψίστυ δύναμις· ὐράνι' εἰς χθόνα
Ἐκ σῦ καὶ διὰ σῦ μόλεν.

Αὐτὴ μὲν σὲ λέγεις δυλίδα Κυρίυ·
Ἀλλ' ὑψικρατέων σ' ἐκλέγεται Θεὸς
Υἱῷ μητέρ' Ἑῷ, βυλομένῳ ἐνὶ
Ἡμῶν σαρκὶ φανήμεναι.

Πειθαρχεῖς σὺ ἑκῦσ' εὐδοκίῃ Θεῦ,
Κύρη! καὶ ἀγαπᾷς Τῦγε προαίρεσιν.
Τῇ σῇ πειθομένης ὦκα συναινέσει
Σύμπας κόσμος ὀφειλέτης.

„Γιγνέσθω" ὁ Θεὸς εἶπε, καὶ αὐτίκα,
Ἐξ ὧν ὐδὲν ἔην, κόσμος ἐγίγνετο·
Εἶπας καὶ σὺ „γένοιτ'," ἠδὲ τεὸς λόγος
Κόσμον τόνδ' ἀνεκαίνισεν. —

Σπεύδεις, θειογενῦς ἔγκυος ἐμβρύυ,
Οὐρεινὴν πατέυσ' ἡ ἁπαλὴ ὁδὸν,
Τὴν σὴν, γηραλέην, σκεψομένη ἔπι,
Στείρην δ' ὐκέτι, συγγενῆ.

Ὡς θαυμαστὰ τεὴ ῥέξε παρυσίη!
Ἡ μήτηρ ταχέως γίγνεται ἔνθεος,
Καὶ σκιρτᾷ τὸ βρέφος, καὶ ὁ γονεὺς πάλιν
Τὴν φωνὴν ἀναλαμβάνει! —

Ἐπλήσθη δ' ὁ χρόνος τῦ τεκέειν σε, καὶ
Συ τὸν μυνόγονον, φῶς μέγα τοῖς βροτοῖς,
Τῶν τῆς παρθενικῆς ἀβλαβέων, δίχα
Ὠδίνων ἐλοχεύσαο!

Μῆτερ! σπάργανα πῶς σὸν περιλαμβάνει,
Τοῖόν γ' ἠδὲ τόσον, παῖδα, Θεὸν Λόγον;
Ἡ φάτνη δέχεται, κοῖτος ἀνάξιος,
Τὸν πάντων βασιλεύτατον!
Ἔγνωσαν δὲ ὅμως ποιμένες ἀνέρες
Τὸν σὸν παῖδα Θεόν, καὶ ἐσέβοντό Μιν·
Ὡσαύτως δὲ Μάγοι ἦλθον ἀπ' ἀντολῆς,
Καὶ δῶκαν τὰ ἃ δῶρά Οἱ. —
Πειθαρχοῦσα νόμῳ, ὀγδόῃ ἡμέρῃ
Σὺ τὸν μουνογενῆ ἀμφιτεμεῖν δίδως,
Αὐτὸν βουλόμενον· καὶ τότε πρῶτά μοι
Ἐκχεῖθ' αἷμα θεήϊον!
Ἁγνή! τοῦ ἕνεκεν σοὶ καθαρισμὸς ἦν;
Ἐμμίμνεις δὲ ὅμως, οἷς διέταξε Θεὺς
Ὧι λαῷ νομίμοις, καὶ παράδειγμα τοῦ
Πείθεσθαι ὑπολιμπάνεις.
Ἐς τὸν πάνθυτον οὖν νηὸν ἐπείγεαι,
Πάρ θ' ἵστης τὸ τεὸν κεῖθι Θεῷ τέκος,
Καὶ σύμπαντα ποιεῖς, ὅσσα ὁ Μωυσέως
Θεσμὸς σῷ προςέταξ' ἔθνει.
Τίς σοὶ θυμὸς ἔην, ὡς ὁ θεοφραδής,
Σοὺ τὸν Παῖδα, γέρων, ἀντιλελεγμένον
Ἔσσεσθαι, προλέγει, καὶ ὅτι κῆρ τὸ σὸν
Ῥομφαία διελεύσεται!
Ἀλλ' ἐς πάντα μένος σὸν μάλ' ἕτοιμον ἦν·
Εἶκες πάντα Θεῷ· καὶ ξυνετήρεες,
Ὅσσ' εἶπεν Συμεὼν, πάντα τὰ ῥήματα,
Συμβάλλουσ' ἐνὶ καρδίῃ. —
Ἤην δωδεκέτης, ἠδὲ τριήμερος
Οὐκ ὤφθη ὁ φίλος Παῖς τεῖν· ἠκάχου!
Ἀλλ' εὑροῦσα δόμῳ ἐν Πατέρος, πάλιν
Γηθεῖς ἡ ὀδυνωμένη!

Θείῳ παιδὶ ἔτη τρὶς δέχ' ὁμιλέεις,
Μιν στέργȣσα καὶ αὖ στεργομένη Ἑοῖ!
Οὐ τȣ̃τ' ἦν, ἐπὶ γῆς, πȣλὺ μακαρτάτη!
Κεκτῆσθαι γλυκὺν ȣ̓ρανόν; —
Ποιεῖν δημοσίᾳ ἠδὲ διδασκέμεν
Τέκνȣ ἀρξαμένȣ, συμπότις ἐν γάμῳ
Πρώτȣ σὺ προτροπή, παρκαλέσασά γε,
Ἴστωρ τ' ἔπλεο θαύματος.
Ἐντεῦθεν τρίετες Παιδὸς ἐμάνθανες
Ἐς θνητȣ̀ς διδαχὰς θωϋτά τ' ἔργματα
Ἠδ' εὐεργεσίας τὰς περὶ μυρίȣς,
Ἐν σαῖς ἡδομένη φρεσίν.
Αὖ Σαδδȣκαϊκῷ καὶ Φαρισαϊκῷ
Ὄγκῳ, Γραμματέων τ' ἤλγεες ἔχθεϊ
Πρὸς Κεῖνον φθονερῷ, Ἀρχιερεῦσί θ' ὡς,
Εὖ περ δρῶν, ἐδιώκετο.
Ἀλλ', ὦ πότνα! μένει κἄλλα σ' ἔτ' ἄλγεα,
Πολλῷ τῶν προτέρων κερτομιώτερα·
Τȣ̃ σȣ̃ εἰς τὸ παθεῖν γεινομένȣ Τόκȣ,
Πείσῃ καὶ σὺ ἀθέσφατα! —
Δορπήσας ξὺν Ἑοῖς Κεῖνος Ἀποστόλοις
Δόρπον τὸν πύματον καὶ ἱερώτατον,
Ἐλθὼν ἐς τὰ ἐλαιῶνος, ἀγωνιῶν
Ἄθλων ἤρξατο τῶν Ἑῶν.
Συλληφθέντα τεὸν πυνθάνεαι Γόνον,
Ἠδ' ἀχθέντα πικρῇ δέσμιον ὕβρεϊ
Πρὸς τȣ̀ς ἀρχιερεῖς, ὄντας ἀπεχθέας,
Κεὶς τȣ̀ς ψευδοκατηγόρȣς.
Ἡγητῆρι δ' ἄφαρ τῷ ἐθνικῷ κλύεις
Τόνγ' ἐγχειρίδοτον, κἦνθεν ἀπηγμένον
Ἡρώδȣ ποτὶ δῶ, καὖτε παλίντροπον
Ῥωμαίῃ ὕποχον δίκῃ.

Μαστιχθεὶς κρυερῶς, κρᾶτά τ' ἀκανθίνῳ
Πυκνωθεὶς στεφάνῳ, καὶ καλάμῳ θαμὰ
Πληγεὶς ἐ σὲ λέληθ', ἐ κατεγνωσμένος
Αὐτῷ εἰς σκόλοπα μόρος!

Βαστάζοντα τὸν Ὃν σταυρὸν ἐσαθρέεις
Υἱὸν, καὶ μογερὴν τήνδ' ἀνύονθ' ὁδόν·
Αἴσχη τ' ἄλλα νοεῖς, ἠλότυπόν τέ Νιν
Ὑψωθέντα ἅμα ξύλῳ!

Ἔτλης καὶ παρὰ τῷ σταυρῷ ἀνασχέσει
Ἑστηκυῖ' ἀγατῇ, τοῖσιν ἐς Υἱέα
Βλασφήμοις τε λόγοις καὶ μέγ' ἀεικέσιν
Ἔργοις νυττομένη κέαρ!

Μῆτερ! ψιλὸς ἀνὴρ ἀντὶ θεηΐε
Υἱὸς σοὶ δίδοται, καὶ πάλι τῷγε σύ!
Ἐκπνεύσαντα δ' ἄφαρ Τῆνον ὁρᾷς, ἀπὸ
Ζωὴν ἔντα θεανδρικήν!

Ἐκ σταυροῖο νεκρῷ Τῷδε κατηρμένῳ,
Καὶ τῶς κεκλιμένῳ σοῖς ἐπὶ γύνασι,
Τὰς πληγὰς ἀριθμεῖς, κεῖδος ἀνατραπὲν
Λεύσσεις ἡ δεδακρυμένη!

Ἆ, οἵων σὺ ὅσων τ' ἔκλυες, ἠδὲ καὶ
Αὐτοπτῦσα τεῷ κῆρι ἐπησθάνῳ
Τῇ σταυρῷ ἐν ὁδῷ! Μυρία γ' ἐξ ἑνὸς
Πάσχοντος τὰ σὰ πένθεα!

Λυπῶν πικροτάτων ἐκμεμεθυσμένον
Ἐκπάγλων τ' ὀδυνῶν ἦτορ ἔχες τὸ σόν!
Πάνθ' Υἱοῖο πάθη γέντο τοσαῦτα καὶ
Σοὶ τῇ μητέρι πήματα!

Σοίγ' αἴσθησις ἔην ἡ διὰ τῶν φρενῶν
Πολλῷ δεινοτέρη τῆς διὰ σώματος
Ληφθείσης ἑτέροις· τῇ νυ σὺ κἤπαθες
Πλεῦν καὶ τῶν πάνυ μαρτύρων.

Ἡ τῆς συμπαθίης σεῖο ὑπερβολὴ,
Τῇπερ τλησιπόνῳ Υἷι συνήχθεο,
Ἀλγῶν σωματικῶν ὀξύτερον μακρῷ
Δάκνυσ' ἦν ἀνιῶσά τε.
Ὡς ἓν λύτρα, παθὼν, Υἱὸς ἀνεῦρέ μοι,
Τὼς καὶ σύ, Μαρίη! σῇσι παθήσεσι
Θείῳ δῶρ' ἐλέυς εἴργασαι ἀθλίοις
Ζωῆς τ' ἐλλογίμυς πόρυς.
Μήτοι μὰψ ἐς ἐμεὶ τόσσα παθῦσ' ἔοις·
Ἀλλ' ἡ τλᾶσα μόγυς πάμπαν ἀναίτιος,
Ψυχῇ κέρδε' ἐμῇ τῦ μέγ' ὑπαιτίυ
Στῆσον τλημοσύνας τεάς! —
Ἀνστὰς ἐκ νεκύων, λαμπρότερος δέμας
Ἠδ' ἐνδοξότερος, Παῖς τεὸς ἦσέ σε,
Σοὶ πρώτιστα φανεὶς, καὶ παραμυθίη
Ὧν, τῶν ἄρτι πάθες κακῶν.
Ὡς δ' ἐς Πατρὸς ἕδρην Υἱὸς ἐπήρετο,
Ξὺν Τῷγ' εἴπεο νῷ ξύν τ' ἐγανύσκεο,
Καὶ αὐτὴν σὲ χρόνῳ ὕστερον ἠξέμεν
Πρός Μιν, πάγχυ πεπεισμένη.
Ἔπλευ σὺ μεσάτη τῶν ὁμοθυμαδὸν
Εὐχὰς εὐχομένων ἐν ὑπερωΐῳ,
Κἤπελθὸν τὸ ἁγνὸν Πνεῦμα, μάλ' ἀφθόνως
Ἔπλησέν σε τὸ δεύτερον.
Ὡς ἔζης ἁγίως λοιπὸν ἰδ' εὐσεβῶς,
Στερκτὴ Πατρὶ Θεῷ, Υἱέϊ, Πνεύματι,
Πάντων ὖσα βροτῶν τῆς Τριάδος πλέον
Οἰκείη τε καὶ ἔμπλεως!
Οἱ τρεῖς οἱ μονίμως κρανίυ ἐν τόπῳ
Κοινῇ τλάντες ἄχη, κᾆτα συνῆτε, χ' ἡ
Μήτηρ ἀμφοτέρως χηροσύνην ἴδες
Υἶηος σχεδὸν ὑδαμήν.

'Ανθ' υἱοῖο δοθεὶς ὁ Ζεβεδαΐδης
Υἱὸν σύχν' ἐδίδυ σοι τὸν ἀληθινόν,
Τερπνὴν μητρὶ τροφὴν καὶ παραμυθικήν,
Εἴδοιν γεῦμ' ὑπὸ μυστικοῖν. —
'Ολβιστὴ δὲ τεῒν ἤλυθεν ἡμέρη,
Ἡ ἄξυσα τεῷ καὶ ἐνίσυσά σε
Υἱῷ, γηθοσύνην εἰς τὸν ἀεὶ χρόνον
Τιμῇ συμβασιληΐδι.
Οὐ νύσῳ τὸ τεὸν σῶμα, πάναγνον ὄν,
Ἔφθαρται· ἀγάπῃ δ' ἠδὲ ποθῇ τακὲν
Ἔσμυκται, ἐςορᾶν ἐλδομένης ἐκεῖ
Φαιδρὴν ὦπα τεῦ Τέκυς.
Ἡδὺν τὸν θάνατον κἄπονον εἰς τέλος
Κοιμηθεῖσα, λίπες τὰς ἐπὶ γῆς μονάς·
Χωρισμὸς δ' ἀπαθὴς ἦν καὶ ἐπιβραχὺ
Σῆς ψυχῆς ἀπὸ σώματος.
Πῶς γάρ, τὴν ἰδίων τ' ἀλλοτρίων θ' ὅλως
Νῆστιν καὶ καθαρὴν αἰὲς ἁμαρτιῶν,
Οὐ πάντως ἔπρεπεν, πτῆναι ἄνω τάχα
Ἄμφω πνεῦμά τε καὶ χρόα;
Ξύμπασ' ὗν σὺ πάλαι τηνόθ' ἀφιγμένη,
Κάλλιστος νοερῶν λάμπεαι ἀστέρων·
Ξυμπράττεις δὲ τεῷ Υἷι τὰ ῥύσια
Ψυχῶν ἡμετερηΐων.
Πάντων ὑψιτέρυ ἔμμορας 'Αγγέλων
Θώκυ κεῖθι, τεῆς εἵνεκεν ἀξίης·
Τιμῇ πρωτοθρόνῳ τῇδε συνήδομαι,
Ἣ σοὶ καὶ μάλ' ὀφείλεται.
Τῶν γ' Εὔας σὺ μόνη πάγκαλος ἐκγόνων·
Οἵην σ' ὄμμα Θεῦ εἶδεν ἀναίτιον,
Τὺς δ' ἄλλυς ἑτέρυς· εἰνὶ βροτοῖς μία
Ἁγνὴ καὶ ἀμίαντος ἦς. —

Λυπȣ̃μαι νοέων μȣ τὰ ἁμάρτια,
Ἠδ' αἰσχύνομ' ὁρῶν τȣ̓μὸν ἀπάξιον·
Γηθῶ δ' αὖτε βλέπων σεῖο τὸ παντελὲς,
Πάγχρηστον καὶ ἀριπρεπές.
Ἐνθυμιζόμενος τὴν κακότητά μȣ,
Πῶς τε πρὸς σέγ' ἔχω, ἄχθομαι, ἀθρέων·
Σεῦ δ' αὖ σῆς τ' ἀρετῆς τῆς πάνυ μνωμένῳ
Ἐλπωρὴ πάλιν ἔρχεται.
Σεῦ γȣ̃ν τῆς προκρίτȣ ἠδὲ παναξίȣ
Παμπρέπτȣ τε κόρης πλεῖστ' ἀλέγων Θεὸς,
Παμπόλλοις ξυνέγνω καί σφιν ἀφῆκέ τὰ
Αὐτῶν πλημμελῆ, ἀπρεπῆ·
Νήριθμοί γε, ὅσȣς σοὶ ἐχαρίσσατο
Κἠδωρήσατο, τῶν ἐκ σέθεν ἐντραπεὶς
Εὐχῶν, Παῖς ὁ τεός· καὶ ἐμὲ δ' ἵλεως
Σωθῆναι χαρίσαιτό σοι!
Αἰσθοίμην σε κεδνὴν μητέρα καὶ ἐγὼ
Ταῖς ἐντεύξεσί σευ ταῖς παρὰ τῷ Τέκει·
Οὐ τῶν ὀλλυμένων ἔσσεται, ὅντινα
Ῥύσασθαι σὺ θέλῃς πρόφρων.
Εἴην τῶν μακάρων τῶν ἐς ἀείδιον
Μελλόντων διδόναι εὐχάριτον τεῒν
Αἶνον, καὶ μετὰ σȣ̃ τῇ Τριάδι γέρας
Δόξαν θ' ὑμνολογȣμένῃ! —
Τιμῷεν δέ σε καὶ ζῶντες ἔτι βροτοὶ
Κἀμείβοινθ' ὁσίαις ταῖς χάρισιν, ὅσοι
Σεῦ ὤνηντο, μάκαιρ'! εὖ τ' ἔπαθον ὑπὸ
Τȣ̃ Υἱȣ̃ σέθεν εἵνεκα.
Τίοι πᾶν σὲ γένος τὸ μεροπήϊον·
Ξυνὴ γὰρ παρὰ σῷ Παιδὶ μεσίτις εἶ,
Οὐκ ἔσθ' οἷστισι μὴ, σεῖο κεχρημένοις·
Πάγκοσμον σὺ φάος πέλεις.

Χαῖρ' ὖν πᾶσιν ὁμῶς, ἠδ' ἐπικύρεε·
Πάντες τυγχάνομεν σῦ ἐπιδευέες
Ὄντες, πᾶσι τεῆς, ὦ δυνατή! μέλει
Εὐκταίης ἐπαρήξεως.

Σώσασ' εὐκλέϊσον τὸν πορίσαντά σοι
Πλείστην εὐκλεΐαν, ἠδ' ἀνένεγκον ἄψ
Ἐς Μὶν, τῶν ἔλαβες· ῥῦσαι ἐπαινέτας
Ἡμᾶς ἐσσομένυς Θεῷ! —

Τιμὴ κεὐλογίη τῷ Τριςυποστάτῳ,
Τῷ σ' εὔπρεπτον ὅλην θέντι καὶ εὔχαριν,
Τῷ καὶ ἄμμιν ὁμῦ θέντι σε ῥυσίην!
Αὐτῷ πᾶν τὸ κλέος πέλοι! —

Ὕμνος πρὸς τὸν ἅγιον Ἰώσηφον.

Ἐκλογῆς σκεῦος θεϊκῆς μακαρτόν,
Σκεῦος ὑψίστῳ δόκιμον Μέδοντι,
Ὅζε τῦ Δαυῒδ τελέως δίκαιε,
Ὦνερ Ἰωσήφ!

Χαῖρε, τῶν καλῶν ἀγαθῶν τε πρῶτε,
Δῖε γημάντων, ἀριδείκετ' ἄλλων,
Ἄφθορ' ἀφθάρτυ πόσι, ἁγνὲ ἁγνῆς
Σύζυγε κύρης!

Ἄξιον νύμφης σὲ ὁ Θεῦς ἔκρινεν
Τῆς ἀμωμήτοιο ὑπερφυῦς τε·
Παρθένυ δ' αἰεὶ ἔμενες γυναικὸς
Παρθένος ἀνήρ.

Τῶν ἐν ἄνδρεσσιν χαρίτων φανεισῶν
Σοὶ ἐπεκλώσθη θεόθεν μεγίστη·
Ἀῤῥένων πάντων γέραος κρατίστυ
Ἔλλαχες οἷος!

'Εμπρέπων λοιποῖς, μέγα χαῖρ', 'Ιωσήφ!
Καὶ ἐγὼ χαίρω ἐπὶ τῷ σε τοῖον
Καὶ τόσον τιμῇ γαμέτην γενέσθαι,
"Εξοχον ἄλλων.

Σὺ κλέῃ καὶ ταῖς καθύπερθε φυλαῖς
Κἄμμι τοῖς ἤθη ὑπένερθ' ἔχȣσιν·
Πᾶσι θαυμαίνῃ ἀρετῆς ἐπ' ὄλβῳ
'Ηδὲ γάμοιο! —

"Οντι δ' εὐήθει μάλα καὶ δικαίῳ
'Ηδ' ἀνεγκλήτῳ, τεῒν εὐτυχȣ̃ντι
'Η Θεȣ̃ βȣλὴ πόρε λύγρ' ὁμοίως
Καὶ ἀνιηρά.

Ποικίλως γὰρ Θεῦς φιλέει διοικεῖν
Τὸν βίον κἀν τοῖς πάνυ Οἱ λατρεῦσιν,
"Ωστε προσμίσγειν γλυκέεσσι πικρά,
Τἄμπαλι πικροῖς.

Τήν ῥά σοι μνηστὴν πανάμωμον εἰδώς,
Παρθένον πασῶν περιȣ̃σαν ἄλλων,
Χαῖρες ἐν θυμῷ μεγάλην χαρὴν ὁ
Νύμφιος αὐτῆς.

"Εγκυον δ' εὑρὼν, πάλιν ὠδυνήθης,
"Ης τε διστάζων ἀπορῶν τε γνώμῃ,
"Η λάβοις καὶ ὣς πάρα, ἠὲ λάθρα
Τήνγ' ἀπολύσαις.

"Αγγελος δ' αὖθις, τὸ ἀληθὲς εἰπών,
'Εκ Θεȣ̃ εἶναι τὸ φόρημα γαστρός,
Θῆκέ σ' εὔθυμον, γεραρωτέρην δὲ
Τὴν Μαρίην σοι.

Βαῖνες αὖ μακράν, μογέων θ' ἅμ' ἦγες
Τȣ̃ τεκεῖν ἐγγὺς γαμετὴν ἐȣ̃σαν,
Συμπρεπȣ̃ς τ' ἤχθȣ ἀπορῶν τόποιο
Τȣ̃ καταλῦσαι.

'Αλλὰ τῦ θείυ βρέφεος χυθέντος
Μητρὶ, ὠδίνων δίχα καὶ φθοράων,
Καίπερ ἐν φάτνῃ Μιν ὁρῶν, ἐγήθεις
Καὶ Θεὸν ᾔνεις.

"Ανδρας ηὔφραίνυ ἐσιδὼν μολόντας
Ποιμένας τέκνυ ἐπὶ προσκύνησιν,
Καὶ Μάγυς, οἵ Νιν μεγάλως σέβοντο,
Δῶρα φέροντες.

'Εν περιτμήσει συνέπασχες Αὐτῷ·
Τοῖς δὲ ῥηθεῖσιν ὑπὸ τῦ γέροντος
Καὶ ἐλυπήθης ἅμα καὶ ἰάνθης
'Εν φρεσὶ σῇσιν.

Κυρίυ δῆλον κατ' ὄναρ ποιῦντος,
Μανθάνεις τὴν παιδοφόνον μενοινὴν
Τῦ ὑποπτευτῦ, ἐρατῆς τε πάτρης
Χρή σ' ἀποχωρεῖν.

Νυκτὸς ἐς τὴν ἀλλοδαπὴν ἐπείγῃ,
'Ηδὲ τλήθυμος τὰ φυγῆς μονῆς τε
Τῆς ἐπὶ ξείνης ἅμα Παιδίῳ καὶ
Μητέρι πάσχεις.

Ταῦτα χαιρηδὼν διεδέξατ' ἄλγη
Αὖθις· 'Ηρώδυ φθιμένοιο ὠμῦ,
Σοι ὁ Θεῦς εὐηγγέλισεν πάλιν τὸ
Νόστιμον ἦμαρ.

Τρέσσας αὖ τὸν τῦ προτέρυ τυράννυ
Υἷα, καὶ ἐλθὼν, θεϊκαῖς ἐφετμαῖς,
Τῆς 'Ιυδαίας ἀπέχοντι ναῖες
'Εν πτολιέθρῳ.

'Ες δὲ τὴν ἱρὴν πόλιν αὖτ' ἐφ' ὁρτὴν
Παιδὶ σὺν θείῳ κατ' ἔθος πορευθείς,
Συμφορὴν ἔσχες, συνέβη τε πῆμά
Σοι φρενοκηδές.

"Οψεώς γ' ἐκ σῆς Παῖς ἠφανίσθη!
Τῷ ὑποστρέψας μάλα Τόνγ' ἐδίφας·
Οὐδὲ μὴν ἐν τοῖς συνόδοις "Ε τέτμες,
Ὦν περίλυπος!

Εὑρεθεὶς δ' ἐν τῷ ἱερῷ τριταῖος,
Ἐς χαρὴν τὰς ἄρτ' ὀδύνας ἔτρεψεν·
Κάρτα δ' ἠγάλλυ, Μιν ἄγων ἐπ' οἴκυ,
Καὶ ὑπερήδυ! —

Καὶ σὲ ὖν πάσχειν ἐποίησε πολλὰ
Θεῦς, ἀνέγκλητόν περ ἀναίτιόν τε·
Ἦν δ' ὑπεὶρ ἡμῶν τὰ σὰ ἄλγε', ἡμῖν
Λυσιτέλησεν.

Σοὶ μετῆν σκληρῶν κάθομα καὶ ἐσθλῶν,
"Ενθα μὲν πένθος, πάλι δ' ἔνθ' ἰηδών,
Τῦτο μὲν τῆς σῆς βιότητος εὖρυν,
Τῦτο δὲ ὐκί.

Ἦν ὅτ' ηὐθύμεις, ἄχος ἦν ὅτ' εἶχες·
Ὦν δὲ πάγχρηστος, τοτὲ μὲν τυχάων
Ἠίσθάνυ χρηστῶν, τοτὲ δ' αὖτ' ἀπήντα
Δυςμορίη τίν.

Τῇ μὲν εὖ πράττων, φρεσὶν ὐκ ἐπήρυ,
Τῇ δ' ἔχων κακῶς, ἐφύλαττες ὀρθὸν
Εἰς Θεὸν πιστόν τε καὶ ἔμπα πραΰ
Συ τὸ φρόνημα. —

Δυςφορῶν κακοῖς ἀγανακτέων τε,
"Αξιος τύτων, τί ἐρῶ, ἐπειδὴ
Καὶ σὺ τῶν δεινῶν ὁ δίκαιος ὐδὲν
"Επλευ ἄμοιρος;

Πῶς δ', ἐμαυτῷ ὢν ἄδικος συνειδώς,
Μέμψομαι μοίρῃ χαλεπῇ μετ' αἰδῦς;
Κακὰ γὰρ κακοῖσι πέφυκε, χρηστὰ
Σύμφορα χρηστοῖς.

'Εσθλὰ μϐνοις τοῖς ἀκάκοις προςήκει,
Καὶ τὸ εὐθηνεῖν πρέπον εὐσεβέσσιν·
'Αφθόροις ἐσιν, καθαροῖς τὰ ἤθη
Χάρμ' ἐπέοικεν.

Τῶν ῥα τοιϐτων σύγ' ἐὼν μάλιστα,
Εἰ καὶ αἴν' ὤψω χαλεπῶν τ' ἐγεύσω,
Οὔποθ' ἱράων ἐδέϐ χαράων
Σὸν κατὰ θυμόν.

Σοὶ σχεδὸν γήθη τὰ πάθη ἔγεντο
Αὐτὰ, ὅσσ' ἔσχες· μετὰ γὰρ Θεοῖο
Κὴν Θεῷ καὶ Τϐγε χάριν προθύμως
Πάντα φέρεσκες. —

Ὦ ἄνερ, καλοῖς δόκιμος πεφηνὼς
Καθλίοις καιροῖς, ἀρετῶν ἁπασῶν
Ἄμμιν ἐν σαὐτῷ ὑποδεῖκτα, κόσμῳ
Φῶς περίλαμπρον!

Ἡ τεὴ πάντως βιότης ἀγαθτή·
Αἱ τεαὶ πρήξεις τε μόγοι τε χρυσοῖ·
Τιμίη ζήλϐ τε μέγ' ἀξίη ἡ
Σεῖο τελευτή!

Ζῶες αἰδοίης μετὰ παρθένοιο
Καὐτὸς αἰδοῖος, συνανεστρέφϐ τε
Τῆγε ὡς ἀνὴρ κατὰ πνεῦμα μϐνον,
Οὐ κατὰ σάρκα.

Ἧς ἀδελφειός, φίλος ἦς φύλαξ τε
Παρθένῳ· ἀνὴρ δὲ ὑπῆρχες αὐτῇ
Μϐνον εὐνοίᾳ ἀγάπῃ τε κεδνῇ
Κηπιμελείᾳ. —

Εὐτυχῆ λίην τὰ σὰ ὄμμαθ', οἷς γε
Δηρὸν Ἰησϐν Μαρίην θ' ἑώρας!
Εὐτυχῆ ἄκρως τὰ σὰ ὦτα, οἷς γε
Ἔκλυες Αὐτοῖν!

Ἡμέρας τόσσας ἔβλεπες σὺ Ἄμφω,
Συλλαλῶν Σφωϊν, ὁσίως συνοικῶν,
Συμπονῶν, συντερπόμενος, τρόποις δὲ
Πάνθ' ἁγίοισιν!

Ὥς νυ σοὶ ὧραι ῥέον ἡμέραι τε
Ἡδέως! ὡς ἑβδομάδας διῆγες
Εὐφρόνως, μῆνάς τε ἔτη τε, Τοίοιν
Ὢν ὀαριστής!

Ὄλβιος μᾶλλον προεχής τε ἀνδρῶν
Ἦσθα τῶν λοιπῶν ἐπὶ γαῖαν ἤδη,
Ἐνθαδί γ' ἤδη κατέχων τὰ ἄλλοις
Κεῖθι ἕτοιμα!

Κείμενον λιτῇ καθορᾷς ἐν εὐνῇ
Τὸ βρέφος τεχθέν, κεχαρημένος τε
Προςβλέπεις καὶ προςκυνέων σεβίζεις,
Γνȣ̃ς Θεὸν εἶναι.

Μητρὸς ἐκ χειρῶν τεκνίον τὸ θεῖον
Λαμβάνων ἤδȣ, στόματι στόμ' ἅπτων,
Προςφέρων στοργῇ γλυκερῇ παρειαῖς
Συχνὰ παρειάς!

Τόνγ' ἐκίκλησκες ποτὲ μὲν Θεόν σȣ —
Ἔμμεναι δ' ᾔδεις — ποτὲ δ' αὖτ' ἄνακτα·
Ἄλλοτ' αὖ κεδνὸν πατέρα, φίλον δὲ
Ἄλλοτε παῖδα!

Τίς ποτ' ἦν ἔσται τε ὅμοιος ἄλλος
Σύγκριτός τ' ἀνὴρ τεΐν, ὦ μάκαρ! τῷ
Τὸν Θεȣ̃ Υἱὸν κτεατιστὸν ἐν γῇ
Ἀγκὰς ἔχοντι;

Θηΐȣ κοίτῃ γλυκὺ χρῆμα τέκνȣ,
Σπάργαν' ἦν Αὐτȣ̃ γλυκύ σοι ὅραμα·
Ἡδύ σοι πάντως, τέκεος τροφῆα
Τȣ̃δε γενέσθαι!

"Εσχατος πλῦτος, τὸ ἔχειν 'Ιησῦν!
Καὶ τὸ οἰκείως Μαρίῃ ὁμιλεῖν,
"Ολβος ἥδιστος μετ' ἐκεῖνον, ἤγυν
"Ολβιον ἦδος!

Κεῖνος, ῦ πρὸς νεῦμα ὅλη ἀπαυστὶ
Δίνεται κτιστὺς, πόλος ῷ κρατεῖται,
Γῆ τε δυλεύει, ἰδὲ πόντος εἴκει,
Σοὶ ὑπετάχθη! —

"Αξι' ἀσπασμῦ μάλα καὶ σεβασμῦ,
"Αξιε στοργῆς ἄγαν, ὦ 'Ιωσήφ!
Κῦδος ἄνδρεσσιν μέγα, ἁγνότητος
"Εξοχον ἄνθος!

Σοὶ διοικητὴς ὁ νέμων ἑκάστοις,
'Ως προαιρεῖται ἐθέλει τε Αὐτός,
Τῦ 'Εῦ ἄφνυς, πόρε κὴνὶ γαίῃ
Οὐράνιόν τι!

Ναὶ, τεῒν λῴστην προφερεστάτην τε
Δῶχ' ὁ ἀρχηγὸς χαρίτων ἁπασῶν·
Σοὶ λάχος πάντων ἔπεσεν φέριστον
Θειότατόν τε!

Τῷ Θεῦ οἴκῳ ἐδόθης σὺ χρηστὸς
Κηδεμών, καλός τε ἐπίτροπος, καὶ
Δεσπότῃ δῦλος τὰ ἀρεστὰ ποιῶν
Κἀγλαόπιστος.

Τῆς ἀλιτροῖσιν ἀγαθὰ φρονύσης
Τῦ Θεῦ βυλῆς χάριτός τε πολλῆς
῏Ησθα συμπράκτωρ σὺ ὑπηρέτης τε
Καὶ προαγωγός.

'Ως δ' ὁ Αἰγύπτοιο, ὁμωνυμήσας
Σοι, μέδων λαοῖς διένειμε σῖτα,
῟Ωδε τῶν θείων ταμίας σὺ δώρων
Οἰκονόμος τε. —

Παρθένος σ' Υἱϋ πατέρ' ὠνόμηνεν·
Ἡ δὲ καὶ Ἀμφοῖν πατρικῶς ἐκήδυ·
Καίτοι ἄλλως ὑ σὺ ἀληθινός γε
Παιδὶ γονεὺς ἦς.

Καὶ δοκῶν εἶναι νενομισμένος τε
Τϋδε τϋ Τέκνοιο πατὴρ κλύων τε,
Σὺ τροφὸς μϋνον τὸ ἀληθὲς ἦσθα
Κὴπιμελητής.

Τῇ φύσει τῷ τ' ὄντι ὑπῆρχεν οἷος
Θεῦς ὁ ὕψιστος γενετὴρ Ἐκείνυ,
Ἡ δὲ νημερτῶς γενέτειρα μϋνη
Ἡ Μαρίη ἦν.

Ἀλλὰ καὶ ὕτως ὄνομ' ἦν δίκαιον
Κεὔλογόν σοι ἠδὲ πρέπον τὸ πατρός·
Ἄξιος πάντως σὺ πατὴρ λέγεσθαι
Ἔπλεο Παιδός.

Σὺ τρόποις, στοργῇ, φρεσὶν εὐμενέσσι,
Χερσὶ κηδείῳ τε πατὴρ προνοίᾳ·
Πλήν γε τϋ φῦσαι σὺ πατὴρ τὰ πάντα
Γνήσιος Αὐτῷ. —

Εὐσεβῶς σὸν πνεῦμα πεποιθότως τε,
Σοι παρεστῶτοιν ἅμα τϋ τε Παιδὸς
Τῆς τε ἀχράντυ γαμετῆς, ἀφῆκας,
Πάμπαν ἀδειής.

Ἡ δὲ σὴ, ἁγνῶν ῥεθέων λυθεῖσα,
Οὖσα καὶ αὐτὴ κατὰ πάντα ἁγνὴ,
Ψυχὴ εἰς τερπνὺς ταχὺ Ἀβραάμυ
Ἄμπεσε κόλπυς.

Ὄλβιε ζηλωτέ τε κὴπὶ πότμῳ,
Οὗ παρῆν ὄντος προτὶ τῷ τελευτᾶν
Ἡ γυνὴ πάρθνος, παρέην ὁ Υἱός,
Θεῦς, σὸς ἀκύων!

Πρός ῥά σευ τȣ̃ εὐτυχέος μόροιο
Ἠδ' ἀριζήλȣ σ' ἱκετηριάζω,
Δρᾶν, ὅπως τȣ̃ ζῆν καὶ ἐμοὶ μακαρτὸν
Πεῖρας ἐφήξει.

Ναὶ, ὅταν μ' ἐγγὺς θάνατος ταράξῃ
Ὦν, ἁμαρτωλὸν κατὰ πόλλ' ἐόντα,
Τȣτάκις σὺν Παιδί τε Μητρί τ' ἔλθοις
Μοι σὺ τρίτον φῶς! —

Ἐλπὶς ὦ δειλȣ̃ καὶ ὄνησι κόσμȣ,
Τῶν δ' ἐν ὕψει ἀγλαΐη, Ἰωσήφ!
Καὶ πρὸ πάντων ἀγλαόφημε ἀνδρῶν,
Ἀγλαότιμε!

Εἴθε μοι, σπλαγχνισμὸν ἔχων ἐπ' οἰκτρῷ,
Προστάτης, πάτρων, πρόδικος γένοιο,
Θεὶς κρίσιν τὴν κυριακὴν λιτῇσι
Σῇσιν ἀνεκτήν!

Εὐνόει μοι, ὦ μεγακυδὲς ἄνερ!
Ὃν μάλ' ᾐδείτην δόκιμον τὰ ἤθη,
Καὶ μάλ' ᾐσθέσθην πατέρ' ᾗ τε Μήτηρ
Χὠ Θεὸς Υἱός!

Πρὸς σὲ δὴ κἠγὼ τρέπομαι ὁ τλήμων,
Σοὶ μάλ' ὡς πατρὶ προτιέρχομ' ἐσθλῷ.
Μή σύ μοι μέμψῃ, ἱκέτην δὲ δέξαι,
Μηδέ μ' ἀπώσῃ!

Μοι πατὴρ ἴσθι, τρόφιμόν με παῖδα
Προςλαβȣ̃, κὴν σῇ μ' ἔχε τημελείᾳ·
Ἐν σκέπῃ τῇ σῇ ἐπικȣρίῃ τε
Οὐκ ἀπολȣ̃μαι. —

Δȣλίην μορφὴν περικείμενος Θεῦς
Σεῦ ἀκȣ̃σαι.σοί θ' ὕποχος γενέσθαι
Ἠξίȣ, καὶ ὡς πατέρι ἐόντι
Πάντα πιθέσθαι!

Οὗτος ὖν, ὃς καὶ πάρος εὐσέβησεν
Εἰς σὲ τῷ ἐνταῦϑ' ὑπὸ σοὶ ταγῆναι,
Πάγχυ τιμήσει καὶ ἐκεῖ σ' ὁμοίως
Τῷ κλυέμεν σὺ.

Τοίγαρ, ὦ Χριστῦ τροφὲ, ὦ πανάγνυ
Παρϑένυ σύζυξ τρίμακαρ! παρασχεῖν
Ἵλεω ἄμφω τό τε Τέκνον ἄμμι
Τήν τε Τεκῦσαν!

Αἰτίοις ἡμῖν μάλα πόλλ' ἐῦσιν,
Ὡς ἔῃ ἧττον Θεὸς ἐκδικητής,
Ἀλλ' Ἑὸν τλητοῖς ἔλεον προτείνῃ,
Πρᾶττε βοηϑός!

Εὐμένει ἡμῖν· μετὰ γὖν Ἰησῦν
Καὶ μετ' ὀλβίστην Μαρίην σὺ πᾶσα
Ἧμιν ἐλπωρὴ ἐπιποιϑίη τε
Καὶ παράκλησις.

Ὅσσ' ἄρ' ἰσχύεις, ὅπασον βροτοῖσι·
Πλεῖστα δ' ἰσχύεις. Ἐνὶ τοῖς μάλιστα
Πᾶσι δὸς καλὸν βίοτον, τελευτὴν
Εὐϑάνατον δός!

Σῶν νυ μιμήσει ἀρετῶν καὶ ἠϑῶν,
Σῇ τε ἐντεύξει μεγαλωστὶ δεινῇ,
Σῶν τ' ἔοι τιμῇ δυνάμει τε σωστὺς
Ἔμμεναι ἔργων!

Εἶα, εἰς ἣν νῦν σὺ μονὴν κατοικεῖς,
Κἄμμες ἤκοιμεν διὰ σῦ, Ἰωσήφ!
Τῦ τεῒν δῦναι, μετὰ σεῖο δ' αἶνον
Τῷ Τριπροςώπῳ! —

Χριστέ, τȣ̃ κόσμȣ φάος ἠδ' ἄκεσμα!
Ὦ Τεῒν στερκτῷ πέρι κῆρι ἤτην
Ἔξοχ' ἐνταυθί ποτε, τώγε καὶ νῦν
Κεῖθι γεραίροις!

Πρός ῥα τῶν τῆς Σῆς πανάγνοιο μητρὸς,
Πρός τε τῶν τȣ̃ Σȣ̃ τροφέως λιτασμῶν
Φεῖσαι, ἠδ' ἡμῖν ἐς ἀεὶ πρόφαινέ
Σȣ τὸ πρόςωπον!

Θεύπατορ! τὸν Σȣ̃ Τοκετȣ̃ κομιστὴν,
Υἱέ! τὸν Σαὐτȣ̃ ἐπὶ γῆς προμηθῆ,
Τῆς Τεῆς ἁγνὸν φυλακῆα νύμφης
Εἴςιδε, Πνεῦμα!

Οὗτος ὀλβήεις γεγονὼς μάλιστα,
Προξενοῖ ἐκ Σȣ̃, Τριςυπόστατ'! ὄλβον,
Χὠ πάλαι ὢν ὀλβιόμοιρος, εἴη
'Ολβιοεργός!

Τοῖος ὢν ταῖς αἷς ἀρετῆσιν ἀνήρ,
Τόσσος ἐν τοῖς Σοῖσιν ὅγ' ὀμμάτεσσι,
Κἄμμι τοῖς πτωχοῖς ὄφελος γένοιτο,
Κἄμμιν ὄνειαρ!

Σοὶ δέ, ὦ σεμνὴ Τριάς! αἶνος ἤτω,
Ἠ, Τεοῖς δȣ́λοις κράτος ἠδὲ κῦδος
Δȣ̃σ', ὅμως Αὐτὴ παράπαν μοναρχεῖς
Καὶ μονοδοξεῖς! —

Ὕμνος πρὸς τὸν ἅγιον Βέρναρδον τὸν ἀρχιμανδρίτην καὶ διδάσκαλον τῆς Ἐκκλησίας.

Ἆισαι τὺς Ἁγίυς, ἔστ' ἐπιτήδεος
Κεῖνος μῦνος ὁ ὢν τοῖσιν ὁμότροπος·
Οὐχ ὡραῖος ὁ αἶνος
Φαύλυ ἐν στόματι βροτῦ!
Ὑμνῶν τὺς ἀγαθὺς, μὴ ἀγαθός τις ὢν
Καὐτός, δυςπρεπέως κὐκ ἀγαθῶς ποιεῖ·
Βλασφημεῖ δὲ καὶ αἰνῶν,
Πράττων τοῖςδέ γ' ἐναντία!
Οὐδεὶς, εὐλογέων τὸν καλὸν ἀνέρα,
Τίει τόνγ' ὁσίως, μὴ καλὸς αὐτὸς ὤν·
Τοῖς μύθοις γὰρ ἐπαινεῖ,
Τοῖς ἔργοις δὲ πάλιν ψέγει! —
Τὺς ῥ' ἐν τοῖς Ἁγίοις δοξάσαι εἰ θέλω,
Ζηλῶσαι μακάρων χρή μ' ἁγιωσύνην,
Χρὴ τύτων με κατ' ἴχνη
Ἀκμήτοις ἰέναι ποσίν.
Οὐ πρήσσει τι λόγος κάλλιμος, ὐ καλῆς
Ἐλθὼν ἐκ κραδίης· δεῖ καλογνώμονα
Τὸν καλῶν θεραπευτὴν
Εἶναι, δεῖ καλοήθεα. —
Εἰδὼς ταῦτα σαφῶς, πῶς ἐπιχειρέω
Ὑμνῆσαι ὁ κακὸς τὸν μέγα βέλτερον;
Ὦ Βέρναρδε! τί τολμῶ
Σ' ᾆσαι, πόλλ' ἀλιτήριος;
Ὧν μὲν θαρσὺς ἐγὼν οἶδα, σὲ τὸν τόσον
Κλείων, ὑμναγόρας· ἀλλὰ σύ, ὦ μάκαρ!
Κὴκ τοιῦδέ περ ἱρὸν
Πρόςδεξαι μέλος ἠδ' ἔπος!

Χρὴ δ' ἐγκώμια γῦν τοῖσιν ἀμείνοσι
Δῦναι τὺς κακίυς κὴπιδεεστέρυς,
Νεῖμαι μηδὲν ἔχοντας
Ἄλλο σφιν προφερέστερον.

Ἀρχὴ τῦ ἁγίυ ἦδε βίοιο, τὸ
Τιμᾶν τὺς Ἁγίυς, κὴπιβοώμενον
Σφᾶς, πειρᾶσθαι ὁμοίη
Ζῆν καὐτοῖσιν ἀναστροφῇ.

Δεῖ τῷ κρείττονι μὲν δῦλον ὑπαρχέμεν
Λατρεύειν τε τὸ ὂν χεῖρον ὁπωστιῦν·
Δεῖ δ' αἰνεῖν γε τὸ ἐσθλόν,
Κὴν τις μὴ μετέχῃ ἔθεν.

Κῆμ' ὖν ἀμφιέπειν χρή, μακαρῖτα! σὲ
Εὔσεμνον γέραϊ· σοὶ δ' ἀνόμοιος ὢν,
Καὶ τοῖός περ ὀφείλω
Εὐφημεῖν ἀρετὰς τεάς.

Οὐχ ὡς ἄξιος ὢν, τὔνεκά σ' ὑμνέω·
Τυτὶ δ' ᾆσμα θέλει τὐμὸν, ἵν' ἄξιος
Σῆς πλεῖόν τι γένωμαι
Εὐχῆς ἠδὲ συνυσίης.

Καὐτὸς δ' ἄμμε θέλεις εἰς σὲ προςίκτορας
Ἐλθεῖν θαῤῥαλέως, χρηστά τέ σ' αἰτέειν·
Μήδη δ' ἐσθλὰ πρόπασι,
Ἀλκτὴρ ἦμιν ἀγώνιος.

Κήδη γ' ἡμετέρων, ὢν ἀδεὴς τὰ σά,
Πάντων, ἠδὲ ποθῶν εἶ μετενεγκέμεν
Τῦ εὔξασθαι ἕσιν τε
Καὶ τὸν καρπὸν ἐς ἡμέας. —

'Εκλάμπων ἀρεταῖς σὺ προοδηγὸς εἶ
Μοι· ὧν δ' εἰν 'Αγίοις, πάγχυ γεράσμιος,
Καὶ ἀθλῦντι ἔνερθεν
'Εξ ὕψυς σὺ ἀλέξιος.

Χρῆσθαι λαμπροτάτῳ σῦ παραδείγματι,
'Ηδ' ἔργῳ σε τίειν, θές μ' ἱκανώτερον·
Κάμυντῆρα δὲ γνοίην
Ἴφθιμόν τέ σε σύμμαχον.

Κτησαίμην δέ σ' ἐγὼ μᾶλλον ἀρηγόνα
Μιμήσει, ὅτεων ἐν τεῒν ἦν, καλῶν·
'Η σὴ δεῖξεν ἅπασα
Χρηστῦς ἡλικίῃ τρόπυς.

Πρωθήβης ἔτ' ἐὼν ἠδὲ νεηνίης,
Πειρασμῶν γεγονὼς νικομάχας κακῶν,
Σ'αὐτὸν σῷ ἱερωστὶ
Πάνδυλον παρέδως Θεῷ.

Κἠνίκησας ὁμῦ, ξὺν τε σοὶ ἥρπασας
Πρὸς τὸν Χριστὸν, ὅσοι ἦσαν ἐναντίοι
Τῇ σῇ κρείττονι γνώμῃ
Χ' ὁρμῇ τῇ 'πὶ τὸ βέλτιον.

'Ιρὸς καὶ ὅσιος χρηματίσας ἅπαξ
Τῦ Χριστοῖο, δοθεὶς εἰς ἴδιον κτέαρ
Αὐτῷ, στεῖχες ἄτρυτον
Τὴν σταυρῦ ἀκάμας τρίβον.

Ἔζη δ' ἔκτοτε σῦ πνεῦμα μόνον, μόνος
Ἔζη Χριστὸς, ἐν ᾧ ἔπλεο σώματι·
Καὶ ἡ σὴ τέτατο φρὴν
'Ες τἄφθαρτα κατ' ὐρανόν.

Τἀποφθέγματ' ἔην ἔργα τε καὶ πάθη
Τȣ̃ Σώσταο τεῒν πᾶσα θεωρίη·
Οἶον Τόνγ' ἐνεθυμȣ̃
Καὶ πνείεσκες ἐπὶ χθονός.

Πνείεσκες δ' ἀγάπην καὶ Μαρίης ἁγνήν,
Πάρθνȣ γειναμένης παῖδα τὸν ἔνθεον,
Θαυμαίνων τὰ ἅ καλὰ,
Κληΐζων τέ νιν ἔξοχον. —

Καὐτὸς δ' ἡγίασαι, ἡγίακας δ' ἅμα
Καὶ ἄλλȣς πολέας, σοῖσι παραινέσας,
Προτρέψας, καταπείσας
Μύθοις ἠδ' ὑποδείγμασιν.

Τȣ̃ σȣ̃ γȣ̃ν στόματος ἦν γλυκίων πολὺ
Αὐδὴ καὶ μέλιτος· ῥήματα χρύσεα
Καὶ ψυχαῖς μέγ' ὀνητὰ
Ἐκ τȣ̃ σȣ̃ καλάμȣ ῥέεν.

Ἡ καλὴ βιοτή σȣ καὶ ἀναστροφὴ
Χραίσμησεν χ' ἑτέροις· σεῖο τὰ εὐαγῆ
Καὶ τηλεκλυτὰ ἤθη
Ζῆλος γείνετο μυρίοις.

Τύνη φῶς ἐγένȣ τοῖς κατὰ σὲ βροτοῖς·
Καὶ νυνὶ δὲ Θεȣ̃ οἰκοδομεῖς λεὼν
Τοῖς σοῖς γράμμασι, μέλλων
Καὶ τȣ̀ς ὕστερον ὠφελεῖν.

Τίς δ' ἂν πάγχυ πύθοιτ' ἔκ τε φράσειε τὸ,
Πόσσȣς ȣ̓ρανίων ἐνναετὴρ δόμων
Ἤδη εἴργασαι ἐσθλά,
Κτιστὴρ' εὐμενίσας σφισίν.

Κἠμοὶ δὴ παρέχοις πρευμενὲ' ὑψόθεν,
Οἷον καὐτὸς ἄγαν εὗρεο, Κύριον·
Τῶν πολλῶν ἐνὶ σοὶ δὸς
Καὐτὸν σχεῖν τί με κρηγύων.

Τιμήεις σὺ Θεῷ καὶ κεχαρισμένος·
Αἰτήσας ἐς ἐμὴν ὠφελίην, τάχα
Λήψῃ, ἠδ' ἀνάνευσις
Οἴῳ σοὶ ἔσεται φίλῳ.

Ὧν δ' ἂν δευόμενος τυγχάνω, ἐν Θεῷ
Γινώσκεις τὺ σαφῶς· τῷ καὶ ὑπεὶρ ἐμȣ̃
Εὔχεσθαι! τὺ παρ' Αὐτȣ̃
Τεύξῃ, τῶν κε δέῃ, ἐμίν. —

Πρῶτον μὲν διὰ σȣ̃ ἥδε γένοιτό μοι
Μὴ λήξȣσα ποθὴ ἠδὲ προαίρεσις,
Τȣ̃ γνῶναί τε Θεοῖο
Καὶ δρᾶν λῆμα τὸ ἀμφ' ἐμέ.

Σοὶ μὲν παιδὶ, κόρῳ, ἀνδρὶ γέροντί τε
Σπȣδαίως ἔμελεν, ταὐτὰ θέλειν Θεῷ·
Τȣ̃θ' ἡγήσαο πάντων
Τῶν ἄλλων προφερέστατον.

Τȣ̃ βȣλήματος ȣ̃ν τȣ̃ θεΐκȣ̃ ποίει
Γνῶσιν κἠμὲ λαβεῖν, καὶ δύναμιν ἅμα
Τȣ̃ ποιήμεναι αὐτὸ
Ψυχῇ πρόφρονι, καρτερῇ.

Δοίην τῷ τε Θεῷ τοῖσί τε πλησίον,
Ὧν Τήνῳ τε πέλω τοῖσδέ τ' ὀφειλέτης·
Ἁγνεύοιμι δὲ Χριστῷ
Ἄμφω σῶμά τε πνεῦμά τε.

Εἴην κῆρι ἁπλȣ̃ς καὶ μάλ' ὑπήκοος
Πᾶσιν, τοὶ ἐπ' ἐμοί εἰσι τεταγμένοι,
Αἰδήμων δ' ἐν ἴσοισιν,
'Ες μείȣς δὲ ταπεινόφρων.

Μηδὲν τῶν ἐπὶ γῆς τȣ̃μὸν ἕλοι κέαρ,
'Ηδοίμην δὲ μόνοις τοῖς κατὰ τὸν Θεόν·
Τὰ Χριστοῖο δίκαια
'Ηδοίμην μελετῶν ἀεί. —

'Εκ σεῦ μοι ἄκεσις τȣ̃ πρότερον βίȣ,
Τὸν λοιπὸν δὲ, πέλοι, πάντα θεοδρομεῖν·
Εἴην καὶ προορισθεὶς
'Ες ζωὴν ὁ κεκλημένος!

Σύ μοι τὴν ἐς ἀεὶ προξένε' ἐκλογὴν
Πρὸς Χριστȣ̃ φιλόφρων Τοῖό τε Μητέρος,
Τοῖν ἠμὲν σὲ φιλȣ́ντοιν
'Ηδ' αὖ σοὶ πεφιλημένοιν.

Πᾶς δ' ȣ̓κλεκτὸς ἐὼν κεῖται ἐπίῤῥοθος,
Τȣ̃ θεῖναι χ' ἑτέρȣς υἱέας ἐκλογῆς,
Καὶ πληθῦναι ἐπ' αἴνῳ
Τȣ̀ς σωθησομένȣς Θεȣ̃.

Εἴθ' ȣ̃ν σῇσι λιταῖς, ἕς γε τέλος βίȣ,
Οὕτω σχεῖν με τύχοι, ὥστε ποτ' αἰνέτην
Εἰς αἰῶνα γενέσθαι
Τȣ̃ μȣ́νȣ ἀγαθȣ̃ Θεȣ̃!

Πᾶσ' εὐδαιμονίη τῇ λογικῇ φύσει,
'Η εἰς ἀΐδιον κεῖθι θεοπτικὴ
Καὶ δώσȣσα μέθεξις
Δόξαν τῷ Τρισυποστάτῳ!

Γηθοῖς τῆς Τριάδος τῇ ἀπολαύσεϊ
Καὶ γεύσει τὺ μάκαρ· ἀλλὰ καὶ ἡμέας
Σῶν ἐντεύξεσιν εὐχῶν
Τῦ σῦ πρᾶττε τυχεῖν λάχυς! —

Ἀρχηγῷ δ' ἀγαθῶν Πατρί, ἀκέστορι
Υἱῷ ἐφθορότων, ἠδ' ἁγιωσύνης
Πάσης Πνεύματι δώτῃ
Ἤτω κῦδος ἀνεκλιπές! —

Ὕμνος εἰς τὸν ἅγιον Φραγκίσκον τὸν Σεραφικόν.

Ὦ Φραγκίσκε! τεῷ θεραπευτῇ, χαῖρ', ἐὼν φιλόφρων·
Ἄκυσον εὔθυμος τεῦ πελάστυ!
Οὐκ ἐν τοῖς ἥκιστα σύ μοι ὑμνητὸς εἶ· σά γ' ἤδη
Καὶ σὸν κλέος γῆν εἰς ὅλην διῆλθε.
Τύνη λάτρις ἔης τῦ Χριστῦ πιστὸς ἠδ' ἀκριβής,
Ὑπήκοός θ' Οἱ εἰνὶ πᾶσιν ἔζης.
Σοίγε τὸ μιμεῖσθαί Νιν νωλεμὲς οἷον ἔπλετ' ἔργον,
Ἕπεσθαι Αὐτῷ ἔμπα κἀκολυθεῖν.
Ἡ Χριστῦ βιότης ὑπογραμμὸς ἀεὶ τεῒν νόμος τε
Μέτρον θ' ὑπῆρχεν τῦ βιῦν καὶ αὐτῷ.
Ὅσσ' ἐποίησ', ἐδίδαξ' ἔπαθέν θ' Ὅγε, ταῦτα ἐννοήσας,
Ταῦτ' αἰὲν ἀσκήσας ἅμ' εὑρέθης σύ.
Ἡ ξύμπασα τεῒν μελέτη ὁ Θέανδρος ἔσκε· Τῦδε
Ἀναστροφῆς τῆς σῆς κακῶν τὸ λῆμα.
Τῷ ἐν σαρκὶ Θεῦ Υἱῷ πόλλ' ἠσχολῦ γενέσθαι,
Τῷ ἄμμιν ἐσταυρωμένῳ, ὅμοιος.

Μῦνα τὰ τῦ σταυρῦ φίλα σοί, Κεῖνόν τε μῦνον ᾔδεις,
Ὃν σταυρὸς ὕψωσεν βροτοῖς μεσίτην.
Τῦγε τὰ πολλὰ παθήματα σοὶ νύκτας τε ἡμέρας τε
Πολλῆς μέτ' ἐνθύμημα συμπαθείας.
Οὗτος, καὶ πάνυ σῷ ἐνὶ κῆρι κατησθάνυ, ὅσ' ἔτλη
Ἡμῶν ὕπερ, σωτηρίην δι' ἀμήν.
Καὶ κατὰ σῶμα δ' ἔπλευ μέτοχος, τῶν Χριστὸς ᾔσθετ' αἰνῶν
Ξύλῳ προσηλωθεὶς, ξύλῳ κρεμασθείς.
Χρὼς σέθεν ἐξ Αὐτῦ ἥλων ἠνέγκατ' ἠδὲ λόγχης
Τύπον τε καΐσθησιν κατ' ἐμφέρειαν.
Ὡς συ ἅι τε βάσεις μάκαρες καὶ χεῖρες ἥ τε πλευρά,
Καταξιωθεῖσαί γε τῦ Ἰησῦ
Τῶν πληγῶν—χάριτι καὶ θαύματι, τοῖς πάροιθε πᾶσιν
Αἰῶσι νηκύστῳ λίην τε καινῷ!
Πάγχυ κατ' εἰκός, ὁμοιῦσθαί γ' ἐσπυδακὼς τὰ ἄλλα,
Ὅμοιος Αὐτῷ κἠνὶ τῷδ' ἐτεύχθης!
Χριστῦ μνῆστιν ἔχων, καὶ τῶν κάμε, λιπαροῖμι κἠγώ·
Μίμησις Αὐτῦ κἠμὶν ἐκγένοιτο! —

Πνεύματος ἔμψυχον νηὸν τῦ θηΐοιο, σῶμα
Τὺ εἶχες ἁγνὸν πάντοτ' ἄφθορόν τε.
Σώματι σῷ ἐνέναιε Θεός, ἅτε μηδαμῶν ποτ' ὄντι
Κατάχρεῳ αἰσχρῶν ἁμαρτιάων.
Ἥγνευές ῥα τὸ σῶμ'· ἔτι ἁγνοτέρη τε καλλίων τε
Ψυχὴ τὸ ἱρόν σευ δέμας κατῴκει.
Ἐν σοί, ὦ Φραγκίσκε μάκαρ! ψυχή τε σῶμά τ' αἰὲς
Ἐπαρθενευέσθην βιῦντι ὧδε.
Ἧδε δὶς ἁγνοπόλος βιοτή σε πρότιμον, ὑψίθωκον
Ἐν δώμασιν τῶν Ἀγγέλων ἔθηκεν.
Εἴθε καὶ ἁμὸν ἔοι ἀβέβηλον πνεῦμα ἠδὲ σῶμα!
Ἐφθαρμένω δ' ἄμφω ὁ Θεῦς ἀκοῖτο! —

Σὴ δ' εὐπειθείη ὑπόδειγμα πέλει ἅπασιν ἡμῖν
Πειθαρχίης, τῆς καὶ ἐν ἄμμι καλῆς.
Καὶ τοῖς ἀνθρώποις ὑπετάσσεο πάμπανυ προθύμως·
Μάλ' ἡδέως καὶ ἀσμένως ὕπεικες
Κρείττοσιν ἦσιν, ἴσοις καὶ χείροσιν· αὐτὰρ ὡς μάλιστα
Τοῖς προστάταισίν σου ἑκὼν ἐπείθου.
Τοῦ Χριστοῖο χάριν, ὑπόχου Πατρὶ, σὸν θέλημ' ἀπηρνοῦ,
Βροτησίαις περ τάξεσιν καὶ ἀρχαῖς,
Ὡς καὐταῖς ἀπὸ Παντάρχοιο τεταγμέναις, ὑπεῖναι
Σπουδὴν ἔχων, ἐν τοῖς ἐπιστάταισι
Τὸν Θεὸν ἐννοέων αὐτὸν κατὰ πάντα καὶ θεωρῶν,
Τιμῶν τε κὴν θνητοῖς κράτος τὸ Κείνου.
Σύ ῥ', ὁ ἐπιστρεφέως μεμαθηκὼς τοῦ Θεοῦ ἀκούειν
Τίειν τε Τοῦτον κάρτα, καὶ βροτοῖσιν
Ἀπροφάσιστος ἔης ὑπακοῦσαι, τοῖς ὁ πάντα τάσσων
Ἡγουμένοις Αὐτοῦ τόπῳ δεδώκει.
Τῷ νῦν σὺν θεοπειθέσιν ἄρχεις πνεύμασιν, λελογχὼς
Τῶν καππεσόντων τοὺς τόπους ἀπειθῶν.
Σοῦ δ' ἄπο πείθεσθαι, Φραγκίσκε! μάθοιμι καὐτὸς
ἀρχοῖς,
Θεῷ τε κἀνθρώποις, ἑκόντι θυμῷ! —

Πλοῦτος ἔην τεῒν ἡ πενίη, ἀφνεῖν τε ὅσσον ἄλλοι,
Τόσσον σύγ' ἔσπευδες πάλιν πένεσθαι.
Ὧν φιλαγέννητος, τῶν τ' οἴχεται, ὧν καταφρονητής,
Τῶν ἐξιτήλων οὔποτ' οὐδὲν ηὔχου.
Σῖτος σοὶ ὁ τυχὼν ὀλίγος τε, πότος δ' ὑπῆρχεν ὕδωρ·
Πολλὴ δὲ νηστείη ἀβρωσίη τε.
Πνευματικὸν σοὶ βρῶμ' ἔμελεν· πρoύτιες ὠφελῆσαν
Ψυχὰς τρόφημ' εὐωχίης γλυκίστης.
Τρηχὺς σοὶ λιτός τε χιτών· ἀποκειμένην γὰρ ᾔδεις
Λευκὴν στολὴν, ὧδ' εὐτελῶς ἔχοντι.

Πᾶν οἴκημα, κακόν περ ἐόν, καλὸν ἔσκε σοὶ φίλον τε·
Ἡ σὴ ὕπαιθρος πολλάκις δίαιτα.
Πείνην καὶ δίψος τεθληότι καρτερῷ τε θυμῷ,
Χειμῶνά τ' ἤνεγκας, νίφος κρύος τε·
Οὐδὲν σοὶ σκληρὸν χαλεπόν θ' ὑπομεῖναι, ὅ τι σοὶ ἦν
Χριστοῦ γ' ἀνασχέσθαι χάριν κοπῶδες.
Οὐ πόλιν, οὐχ ἕδρην ἠπίστασο ἐνθαδὶ μένουσαν,
Μονὴν δὲ τὴν ἐν τῷ πόλῳ μετήρχου.
Οὐκ ἐδόκεις ἐχέμεν, μεγάλ' ἔνθεν ἀγαστὸς, ὥσπερ ἄλλοι,
Χρείας ἐπ' ἐνδείῃσι καὶ ἀνάγκας.
Ὧν ἔτ' ἐπὶ χθονὸς, οὔ τι ἐφαίνου τοῖς χθονοτρεφέσσιν
Ἔχων ὁμοίως, ὦ μακαρτὲ ἄνερ!
Τὸν δὲ πένητα πένης ἐνεδύσω Χριστὸν εἰνὶ σαρκί,
Ἠδ' ἐξεδύσω καὶ σὲ καὶ τὰ σαὐτοῦ.
Ἀκτήμων δὲ καὶ ἀχρήμων ἐπὶ γῆς, τὰ τοῦ Ἰησοῦ
Ἐν τοῖς ἄνω κέρδη λάβες τὰ λίην·
Καὶ ὁ ἔχων ἐνταῦθ' οὐδὲν, τὰ ἅπανθ' ὅμως ἔχεις νῦν,
Κεκτημένος γ' αὐτὸν Θεὸν τριλαμπῆ·
Πνεύματί με πτωχὸν θὲς, καὶ πόρε, ἐν Θεῷ με πλουτεῖν,
Μᾶλλον δ' ἔχειν αὐτὸν Θεόν με πλοῦτον. —

Ἐκ Χριστοῦ ἐδάης, ὅτι τῷ ὑπομεῖναι ἐς τέλος σε
Σωθήσεαι κἠλεύσεαι πρὸς Αὐτόν.
Τοὔνεκα καὶ πολλῇ τῇ καμμονίῃ ἐκαρτέρησας,
Σταυροῖο βαστακτὴς ὄπισθ' Ἰησοῦ,
Δεξάμενος τὰ ἐν ἀνθρώποις κακά, ἥν τε μοῖραν εἶλες,
Ταύτην φέρεσκες, καὶ βαρεῖαν οὖσαν.
Τὴν σὴν καρτερίην οὐ σωματικόν τι θραῦσεν ἄλγος,
Οὐδ' ἠσθένωσε ψυχικὸν πάθημα.
Χριστὸν Ἰησοῦν, Υἷα Θεοῦ, δεδαημένος παθόντα,
Ἔσχηκας εἰς τὸ ξυμπαθεῖν τιν' ὁρμήν.

Λοιδορίας καὶ σκώμματ' ἔπασχες ἰδ' αἰκίας πρὸς ἄλλων,
Λώβας τ' ὀνειδισμὲς τε ὕβριάς τε·
Ἡσύχιος, μενετὸς, μακρόθυμος, ὁποῖα δὴ ὑπῆρχεν
Ὁπόσσα τ', ἠνείχε τὰ πάντα χαίρων·
Οὐδὲν σοὶ λυπηρὸν ἔην, δακέθυμον ἐδέν, ἀλλὰ
Πᾶν ῥᾴδιον, πᾶν οἰστὸν εἰν Ἰησε̃·
Ὁ προπαθὼν Σωτὴρ γλυκέα τὰ πάθη καὶ αὐτὰ θῆκε
Σοί, πικρά περ καὶ σκληρὰ τυγχάνοντα.
Ἐκ Τέτε ἀνοχὴ σοὶ καὶ μακροθυμίη προσῆεν,
Αὐταῖσιν ὥστ' ἐν θλίψεσίν σε γηθεῖν. —

Ἐχθρὲς περ, τεΐν, οἷα φίλες ἀγαπᾶν, ἔθος μένος τε
Ἦν, εὐλογεῖν τ' ἠδ' εὖ ποιεῖν ἅπαντας·
Οὐδέποτ' ἀνταδικεῖν ἀδικηθεὶς ἤθελες· φιλόφρων
Σύγγνοιαν ᾔδεις τοῖς σε ὑβρίσασιν·
Πᾶν δὲ τὸ μνησίκακον σὺ μὲν ἀγνοέων πικρήν τε μῆνιν,
Ἀλλότριος τε̃ ἐκδικῆσαι ἦσθα·
Οἰκτίρμων δὲ σὰ ἡγήσω τῶν πλησίον τὰ λυγρά,
Τὰ τῶν πέλας ᾔδεισθα ὡς σὰ ἐσθλά·
Ἡ σὴ φρὴν ἀγανὴ ἐθέλεσά τε καὶ κακοῖς τὸ ἠΰ,
Ἡ σὴ φιλάνθρωπος πέλεν μενοινή·
Πραΰνοος καὶ πραΰλογος καὶ πραΰμητις ἦσθα,
Πραΰτροπός θ' ἡ σὴ φύσις πρόπασα·
Μηδεμιῇ δ' ἀγανακτήσας ἐπὶ συμφορῇ, ἔωθας
Ἐνέγκαι, ἡ θείη ἃ νεῖμε βελή.
Ἠπιόθυμον ἔμεν καὶ ἠπιόμυθον ἠδ' ἄνοργον
Τὰ τε̃ Ἰησε̃ σ' ἐκδίδαξεν ἤθη.
Σῇ δὲ προηγορίῃ, Χριστε̃ μιμῆτορ ἔξοχ' ἄλλων!
Τεῇ παραιτήσει γένοιτο, ὥστε
Κἠμεὶ πραϋπαθεῖν ἐπὶ πᾶσι, φέρειν τε πάντα ῥᾷον,
Καὶ μηδαμῆς ἡττᾶσθαι αἰνότητος,

Χριστῷ ξυμπαθέειν καὶ τοῖσι πέλας, φιλήμεναί τε,
Εὖ δρῶντα, καὶ ἐξ ὧν τι ἠδίκημαι. —

Σȣ πολλαὶ ἀρεταί, προτερήματα πολλά σȣ ἐφάνθη,
Φραγκίσκε, τῷ Χριστῷ φιλητὲ λάτρι!
Σοίγ' ἁπλῇ κραδίη, καθαρὴ διάνοια σοὶ καὶ ἁγνή,
Εὐθεῖα γνώμη, γνησίη μενοινή,
Πρός τε Θεὸν φιλικῶς φρὴν εὐνοϊκῶς τ' ἔχȣσα πάγχυ,
Πραπὶς τὰ πάντ' εἰς Αὐτὸν ἀμφέρȣσα·
Σὴ ψυχὴ ἀτενὴς ἐπὶ Κύριον ἐκτενής τ' ἀπαυστί,
Σὸς νȣ̃ς θεȣ́δης, ἔνθεον φρόνημα·
Οὐ σκολιός ποτε κȣ̈ τι διάστροφος εἰνὶ σοὶ λογισμός·
Τὸ ἐννοεῖν σȣ καὶ θέλειν μάλ' ὀρθόν·
Ἔν τε Θεῷ πνείεσκες ἀεί, καὶ ῥῆμα πᾶν καὶ ἔργμα
Τȣ́τȣ χάριν καὶ εἰνὶ Τῷγ' ἐποιȣ̃·
Τῷδε μόνῳ δοκιμασθῆναί τ' ἀρέσαι τε καὶ λατρεῦσαι
Ἡ πᾶσα σοὶ σπȣδὴ βιȣ̃ντι ὧδε.
Πὰρ δὲ Θεȣ̃ κῆμοὶ διὰ σȣ̃ κέαρ ἐγγένοιτο ἁπλȣ̃ν,
Ζητȣ̃ν τ' Ἐκεῖνον μȣ̃νον εὐθὲς ἦτορ! —

Ὦ Φραγκίσκε! τόσων τοίων τε καλῶν καταξιωθείς,
Ὅμως ταπεινόφρων μάλιστ' ὑπῆρχες,
Κἀνέφερες τὰ Θεȣ̃ δόματ' εἰς Θεὸν εὐχάριστος, οἵῳ
Νέμων Θεῷ δόξαν, γέρας καὶ αἶνον.
Πᾶν δὲ, τὸ ἧς εἶχές τε καὶ ἴσχυες, ἐκ Θεȣ̃ γενηθεὶς,
Λαβὼν, δυνηθεὶς τȣ̃το καὶ μάλ' ἔγνως.
Οὐδὲν ἀλαζονικόν, ὑπερηφανὲς ȣ̉δὲν ἢ ὕπερφρον,
Μεγαυχὲς ἐν σοὶ ȣ̉δέν, ȣ̉̃τις ὀφρύς·
Τύφῳ γὰρ μεγαλοφροσύνῃ τε καὶ Ἀγγέλοις τετύχθαι
Ἤιδησθα μείωμ' αἰπὺ καὶ πέσημα.
Τῶνδε λάχες μετριοφροσύνῃ σὺ ταπεινότητι θ' ἕδρας
Οἴκȣς τε λαμπρȣ̀ς, ὧν ἀπηξίωθεν.

Κἠμὲ ταπεινοφρονεῖν ὑπόδειγμά τε σεῖο καὶ πρόσευγμα
Διδασκέτω, Φραγκίσκε! καὶ ποιείτω.
Μιμητὴς ἀποβαίην σϐ, ὡς καὶ σὺ τϐ Ἰησϐ,
Τρόποι τε οἱ σοὶ καὶ ἐμοὶ γένοιντο! —

Σοὶ δὲ βέβαιος ἔην, ἀνυπόκριτος ἀτρεκής τε πίστις,
Τὸ σὸν πεπεῖσθαι ὀρθὸν ἀκλινές τε·
Ἡ δὲ τεὴ ἀτάρακτος ὅλως, ἄτρεστος αἰὲν ἐλπίς,
Πεποιθίη τ' ἄτρεπτος ἠδ' ἄσειστος·
Ἀλλὰ μάλιστ' ἀγάπη περιῆσθα βροτῶν σὺ πϐλὺ
ἄλλων,
Φιλῶν γε μᾶλλον τὸν Θεὸν πλέον τε·
Ἥ τε Θεϐ ἐρατὺς ἐν τοῖς Σεραφὶμ τε καὶ Χερϐβὶμ
Οἵην φλόγ' αἰὲς παρκαλϐσ' ἀνάπτει,
Τοίῳ καὶ σὺ πόθῳ ἐφέρϐ, στοργῇ Θεϐ σὺ τοίῃ,
Οἴστρῳ τε τοίῳ καὶ ἔρῳ ἐτήκϐ·
Σευ προτὶ τὸν Θεὸν ἡ φιλίη ὁρμή τε ἡ ἐς Αὐτὸν
Ἰσάγγελος, θνητϐ περ ὄντος, ἦεν.
Αὐτὰρ ἐμοὶ ψυχρὸν κἄθερμον κῆρ ἀνέντροπόν τε,
Θεϐ τ' ἀναισθήτως ἔχον φιλϐντος!
Τϐτό ῥα σαῖς εὐχαῖς, μακαρῖτα! γένοιτό μοι ὄνειαρ,
Τὸ κἠμ' ἐραστὴν τϐ Θεϐ τεθῆναι. —

Οὐδενὸς ἄξιος ὢν τά γε νυνὶ τυγχάνω, κενός τε,
Ὧν ἐν Θεῷ εἶναί με πλήρε' ἐχρῆν!
Ἀλλ' ὁ τὰ πάντα ἔχων, ὁ καὶ αὐτὸ τὸ ϐδὲν ϐσιώσας,
Με βελτιώσει, ἀφνυνεῖ, σαώσει,
Ἠδ' ἐπανορθώσει τὰ πεπραγμένα μοι κακῶς βιόντι,
Καὶ ὅσσα μοι μὴ ἔστι καλὰ, δώσει,
Ἣν σύγε μευ προνοῶν, σὺ προηγορέων γένῃ παρ'
Αὐτῷ,
Πράττων τε μὴ παύσῃ τά μ' ὠφελϐντα,

Μηδὲ κάμῃς ὑπερευχόμενός μευ λιπαρῶν τε, εἵως
Ἐσθλὴν χάριν τῷ ἀθλίῳ πόρησιν.
Πάντα Θεῷ ῥήϊστα πέλει· σῦ δ' εἵνεκ' αἰτέοντος
Καὶ ἐξ ἁμαρτωλῦ δίκαιον ἔρξει. —

Σεῦγ' ὁ βίος καθαρός τ' ἄκακός τε, τὸ σὸν μάλ'
ἁγνὸν ἦθος
Καλόν τ', ἀνέγκλητός τ' ἀναστροφὴ ἦν·
Αὐτὰρ ἐμὶν μετάγνοιά γ' ἄγοι σύγγνοιαν ἐκ Θεοῖο,
Ἐντεύξεσιν ταῖς σαῖς ὑπεὶρ ἐμεῖο·
Καὶ ὁ σὲ τηρήσας ἀπὸ τῶν ψυχῆς νόσων ἰητρὸς
Εὔνυς, ἀπαλλάξαι ἔμ', ὧν πέπονθα!
Σοὶ μὲν ἄρ' ἡ ἰδίῃ ἀρετὴ τὴν ἐλπίδ' ἠσφάλιζεν·
Ἐμοὶ δὲ οἰκτιρμοὶ ἔρεισμα θεῖοι,
Ἐλπὶς ἐμοὶ τὰ Θεῦ ἐλέῃ, ἐλέυ τε τῦ θεείυ
Ἡ σή, μάκαρ φώς! πρόξενος προσευχή·
Σὺ φρεσὶν ἠδὲ λόγοις ἔργοισί τε τὸν Θεὸν κρα-
τίστοις,
Ἔτ' ὤν, ἐδόξαζες, μετὰ βροτοῖσιν·
Ἀλλ' ἐμὶν αὖ ὁ Θεὸς τῷ ἵλαος ἔμμεναι γένοιτο
Δοξαστὸς ὑμνητός τε εἰς τὸ αἰέν! —

Δόξα Θεῷ, ἀνθ' ὧν τεῖν, ὦ Φραγκίσκε! νεῖμε
πρόφρων
Χαρισμάτων πολλῶν τε καὶ μάλ' ἐσθλῶν!
Καὶ ἀνθ' ὧν δ' αὐτὸς διὰ σεῖο λαβεῖν ἐγὼν ἔολπα,
Κλέος Θεῷ τιμή τε καὶ ἔπαινος!
Κυδαίνοιτο Τριὰς τοῖς Οἷς ἐλέεσσι, πρός τε πάντων
Ἔργων Ἑαυτῆς εὐλογοῖτο! Ἀμήν. —

Ὕμνος πρὸς ἅπαντας τὺς Ἁγίυς.

Ὦ, ὓς παμμάκαρας δέξαϑ᾽ ὁ ὐρανὸς
Οἰκητάς, ὄλεϑρον πάντα πεφυγμένους,
Πάντες χαίρετέ μοι, κλῦτε δ᾽ εὔφρονες
Ἐκ γῆς εὐχομένοιό μευ!

Τῇ ϑείῃ χάριτί ἐστε σεσωσμένοι
Ἐκ τῦ ὧδε σκότυς εἰς φάος ἄφϑιτον,
Κἠκ τῶν ὧδ᾽ ἀέϑλων εἰς ἀνάπαυμα τὸ
Γενναίοισιν ἑτοῖμον ὄν.

Ὦ ψυχαὶ ἅγιαι ἠδὲ φίλαι Θεῷ!
Ὦ πάντως καϑαρὰ πνεύματα! ἵλεα
Μή μ᾽ ὤσησϑε λιτὸν κἠπικαλύμενον
Ὑμᾶς λάτριν ἀνάξιον!

Ἐλπίζω γὰρ, ἰδεῖν ὑμέας ἐν Θεῷ
Τὰς ἡμῶν χαλεπὰς ἐνϑάδε χρηΐας·
Πάμπαν δ᾽ ἔλπομ᾽, ἔχειν ὔμμε κεκηδότας
Οἶκτον καὶ λόγον ἡμέων.

Ἢν μὴ ἄμμι γένησϑ᾽ ὔμμες ἀρηγόνες,
Πῶς σωστοὶ ἐσόμεσϑ᾽ ὐδ᾽ ἀπολωλότες;
Ἐλπωρὴ κρέμαται ἡμετέρη λιτῆς
Ἐξ ὑμῆς μετὰ τὸν Θεόν.

Ἡμῶν ῥ᾽ ὔμμι μέλοι τῶν μάλ᾽ ἀναλκίδων,
Εὔνοι δ᾽ οἱ δυνατοὶ ὄντες ὀνήσατε
Ἡμᾶς ἀσϑενέας καὶ πολὺ ὑμέων
Χείρυς καὶ μέγ᾽ ἀπεικότας!

Ὅσσῳ δ᾽ οἶδα κακὸς καὶ ἀνόμοιος ὢν
Ὑμῖν, οἶδα τόσῳ μεῖζον ἔχων χρέος
Καὶ πλεῦν δευόμενος τῦ ϑεραπευέμεν
Ὑμᾶς καὶ πολυωρέειν. —

Τρισσὴ δ' ἡ προτροπὴ τοῖσιν ὑφ' ἥλιον
Ἐς τὴν εὐσεβίην τὴν περὶ ὑμέας·
Ὑμή τ' ἀξιότης, κἄμμι τὸ συμφέρον
Τεῦξ ὑμῶν, προκοπή θ' ἅμα.

Ὑμῖν τιμιότης ἐστὶν ὑπερφυής·
Ὑμεῖς μοι γεραροὶ οἱ γεγενημένοι
Ὑψίστοιο φίλοι, ἠδὲ τεθειμένοι
Τῶν θείων μέτοχοι καλῶν.

Ὑμεῖς οὐρανόθεν πᾶσιν ἀλέξιμοι,
Ὑμεῖς ἄμμι φάος, οἳ τὸ σεληνόφως
Γῆθεν προσβλέπομεν νέρθεροι, ὑψόθι
Οὐσῶν ἱέμενοι μονῶν.

Ὑμῶν αἱ ἀρεταὶ ἠδὲ καλαὶ φρένες
Βελτίστων τ' ἀνύσεις ἀνδραγαθημάτων
Μιμηλοῖσι τρόποις ἄμμι διωκτέαι,
Εἰ σχεῖν τἄμβροτα μέλλομεν.

Ἀλλ' αὐτοὶ δότε μοι, ὔμμε καταξίως
Τίειν, θέντες ἁγνὸν κὔμμιν ὁμήθεα·
Οὗτος καρπὸς ἐμῆς λῷστος ἂν ὑμέων
Ἐκβλάστοι ἐπικλήσεως. —

Ἐν τῷ παντὶ χορῷ τῶν Ἁγίων ὄχα
Πρώτη ἡ Μαρίη χαῖρε καὶ ἵλαθι!
Τῶν ἄλλων μακάρων λάμπεαι ἔξοχος·
Μούνου δευτέρη εἶ Θεοῦ!

Θαυμαίνουσι σὲ καὶ οἱ πάνυ Ἄγγελοι,
Κἄρχοντάς περ ἔχει τῶνγε σέβας τεοῦς,
Τήν τ' ἄνθρωπον ἑαυτῶν μέγ' ἀμείνονα
Ἐξίστανται ὁρώμενοι.

Βȣλῇ ἀϊδίῳ ἠδὲ προκοσμίῳ
Οἵην θυγατέρων, παρθενικῶν μόνην
Πρȣ̈́κρινεν σὲ Πατὴρ, Υἷα Λόγον τεκεῖν,
Σαρκωθέντα ποτ' ἐν τεΐν.

Οἵη μέλλες ἔμεν, Θεῦς προΐδεν πάλαι·
Οἵην χρῆν σ' ἔμεναι, Θεῦς προκατήρτισεν.
Ὦ ζηλωτὴ ἄγαν σῇ τε προαιρέσει
Θείῃ τ' ἐργασίῃ κόρη!

Ψυχὴ σοὶ ἄκακος, σῶμα πάναγνον ἦν·
Κάλλιον τὰ σὰ πάντ' εἶχέ τι μυρίῳ
Καὶ μεῖζόν τι μακρῷ, ἠὲ κατὰ βροτȣ̀ς
Λοιπȣ̀ς, ἠὲ κατ' Ἀγγέλȣς.

Τοιήδ' ȣ̃σ' ἀρεταῖς σῇσι, μακαρτάτη!
Τοιήδ' εὐδοκίῃ ȣ̃σα Θεοῖο σύ,
Ἐκ κόλπων Τοκέως Υἷα κατήγαγες,
Σάρκ' οἴσοντα, ἐπὶ χθόνα.

Ἀῤῥήτως μακαρὶς ἥ σεο κοιλίη,
Ἣ τὸν πανδεχέα δέξατο κύριον!
Σȣ δ' οἱ παρθένιοι μαστοὶ, ἐθήλασαν
Οἱ τὸν παντρόφον, ὄλβιοι!

Οἰκείη σὺ Θεῷ, ȣ̃σα Θεηδόκος·
Ἀγχήρης σὺ Ἑοῖ ἀγχίθρονός τε εἶς.
Ἐξ ὕψȣς σὺ Θεὸν Παῖδα λάβες, πάλιν
Εἰς ὕψος σὲ Θεὸς Παῖς.

Ὀλβίστη γενέτειρ' ἠδ' ἅμα παρθένε!
Εὔνȣς μοι σὺ γενȣ̃, μευ δ' ὑπερέντυχε
Υἷῳ, κὴπ' ἀγαθῷ Νιν παράπειθ' ἐμῷ,
Νιν πράϋνον ὑπαιτίῳ.

Ναὶ, ἡ δȣ̃σα Θεόν μοί ποτ' ἐπὶ χθονὸς
Μήτηρ, εὐμενικὴ δὸς καὶ ἐπ' ȣ̓ρανȣ̃·
Δὸς, ζητȣ̃ντα, Θεὸν εὑρέμεν εὐτυχῶς,
'Ηδ' εὑρόντ', ἐς ἀεί μ' ἔχειν.

Σύ μοι ἐλπὶς ἔφυς τῷ μέγ' ὑπόχρεῳ,
Μῆτερ! καὶ διὰ σȣ̃ ἐλπὶς ἅμ' ἐς Θεόν·
Κτήσασθαι δ' ἕνεκεν σεῖό γ' ἔολπά Μιν·
Μή μ' ἐν, πότνια, καλλίπῃς! —

Τȣ̃ πάντων Κτίτορος πρωτοφυὲς γένος,
Πρῶτοι δ' εὐγενέται, ἠδὲ λελογχότα
Τῆς πρωτοστασίης πνεύματα, χαίρετε,
Τȣ̃ ἵκταο συνέντα μευ!

Πολλῷ τῇ φύσεϊ φέρτεροι ἡμέων,
Παντοίαις τ' ἀρεταῖς λαμπόμενοι νόες,
'Εν ταῖς ȣ̓ρανίαις τάξεσιν ἔξοχοι,
Γνοίην ὔμμε μοι ἱλάȣς!

Κόσμος τῆς συνόλȣ κτιστύος ἔπλετε,
Αὐγὴ λαμπροτάτη αἶψα προήλθετε
'Εκ παμμήτιδος, ἧς μȣ̃νος ἔχει Θεὸς,
Καὶ παμμηχάνȣ ἰσχύος!

'Υμεῖς τῷ ὑπάτῳ καὶ παναπειρίτῳ
῎Ηνωσθε ξυνεχῶς πνεύματι, τῷ Θεῷ,
῎Ηνωσθ' αἷς τε φρεσὶν οἷς τε θελήμασιν,
῎Οψει τ' ἠδ' ἀπολαύσεϊ.

'Ωιδῆς ὔμμες ἄγαν ἄξιοι, ῎Αγγελοι!
Οἳ ἔγγιστα Θεὸν ἀμφιπολεύετε,
Οἵ τ' Αὐτῷ πίσυνοι αἰὲς ἐμείνατε,
'Ηδ' ἔσχεσθε ῎Εθεν μόνȣ.

Οἱ κρείττϐς μερόπων καὶ προφερέστεροι,
Οὐκ ἔσθ' ὑψίνοοι ϐδ' ὑπερήφανοι·
Λειτϐργοὶ δὲ βροτῶν ἠδὲ φυλάκτορες,
Οὐχ ἡγεῖσθε ἀπάξιον.

Χαίροιτ' ϐ̃ν, παναγῆ σεμνά τε πνεύματα,
Φωστῆρες νοεροὶ εὐρὺν ἀν' ϐρανόν!
Χαίροιτ', ὦ δυνάμεις ὑψιπόλοι! βροτοῖς,
Σὺν δ' αἴροισθ' ἐλεήμονες!

Ἡμῶν πᾶν ὀλοὸν, πάντ' ἀπερύξατε
Κίνδυνον κρατεροί, ἠδ' ἀνεπισφαλῆ
Τὴν θνητῶν βιοτὴν εὐνοϊκοὶ θέτε
Ψυχαίων τ' ἐπάνω κακῶν.

Ἐς τὴν ὑμετέρην αἶ̈ συνϐσίην,
Φίλοι κηδεμόνες! κᾄμμε ποτ' ἐκ χθονὸς
Δέξασθ' εὐμενέται, καίπερ ἀναξίϐς
Μηδ' ὔμμιν γ' ἐναλιγκίϐς! —

Ἀρχαίων δὲ ὅσοι ἦτε θεόδρομοι,
Αἰὼν ϐ̓́ςπερ ἁγνϐ̀ς εἶδ' ὁ παλαιός, οἱ
Πρὸ Χριστοῖο χρόνοι ϐ̓̀ς τέκον εὐσεβεῖς
Κήδειξαν θεοπειθέας·

Ἐκλεκτϐ̃ πρόγονοι ἔθνεος, οἵ τε προ-
φῆται, καὶ βασιλεῖς, κἄλλοι ἅμ' εὐλαβεῖς,
Ὅσσϐς εἰς ἀΐδην ἱκόμενος Θεϐ̃
Υἱὸς θῆκεν ἐλευθέρϐς·

Ὅσσοι, πρὶν ἐπὶ γῆν τὸν Λόγον ἐλθέμεν,
Πιστοὶ ἀτρεκίης μάρτυρες ἔπλετε,
Καὶ τῶν τῆς φύσεως τϐ̃ τε Θεϐ̃ νόμων
Ὅσσοι ἦτε φυλάκτορες·

"Οσσυς ἡγίασεν πίστις ἐολπότας
Εἰς μέλλοντα μολεῖν ὑψόθε 'Ρύτορα,
Κἠνεργὴς ἀγάπη ὐρανῦ ἀξίυς
"Ηδη καὶ τὸ πάλαι πόρεν·

Κὔμμες χαίρεθ' ὁμῦ, χ' οἱ γεγενημένοι
'Αρχῆθεν δόκιμοι, τὸν Θεὸν ἵλαον
'Εργάζεσθε, μετὰ Χριστὸν ἐπηλύτην
Οὕτω ζῶντι ἀνειμένως! —

Ὦ βαπτιστὰ τεῦ κύδιμε Δεσπότυ!
Ὦ δεικτήρ τε Σαώταο προφῆτά τε!
Χριστῦ τῷ τε λόγῳ τῷ τε βίῳ μέγας
Μάρτυρ, τῷ τε μόρῳ ἅμα!

'Ολβισθεὶς ἰδίῳ ἔξοχα Κυρίῳ,
Σῦ μείζω, φαμένῳ, μηδένα τῶν βροτῶν,
Δόξαν Τῷγ' ἀναθεὶς, ὔτι μέγ' ἐφρόνεις
Τοῖς σοῖς ἐν προτερήμασιν.

Δὸς, ζῆλόν με Θεῦ κῆρί τε καὶ τρόποις
Μὴ ἔξαρνον ἔχειν, πνεύματί τε ζέειν,
Μηδ' ὑψηλόνοον μηδαμὰ τῶν ἐμῶν
Αἴρεσθαι ἐπὶ μηδενί. —

Ὦ τῆς Παρθενικῆς νυμφίε παρθένε,
"Ος, γήμας νομίμως τὴν Μαρίην, μόνον
'Ανὴρ εὐσεβίῃ, τἄλλα δ' ἀδελφὸς ἦς
'Αγνὸς κἠπιμελέστατος!

Σύ μευ ἀντιλάβυ ἠδ' ὑπερεύχεο,
Εἰν ἄνδρεσσιν ἄνερ πυλὺ μακάρτατε!
Θές συ τὴν γαμετὴν εἰς ἐμὲ πρευμενῆ,
'Ηδ' οἰκτίρμονα τὸν Θεόν. —

Τῦ θείοιο Λόγυ οἱ μεγαλοπρεπεῖς
Κήρυκες κατὰ γῆν, καὶ ἅμα μάρτυρες,
Κόσμυ λαμπρὰ φάη, ἠδὲ διδάσκαλοι
Κυδροί, χαίρετ', Ἀπόστολοι!

Ὑμῶν τῇ διδαχῇ ἔμπεδον ἐμμένειν,
Πρὸς τὴν ὑμετέρην ζῆν δότ' ἀναστροφήν·
Οἱ δ' εὐεργετικοὶ ὧδέ ποτ' ἔμβιοι,
Εὖ κἠξ ὕψεος ἔρδετε. —

Χαίροιθ', οἱ μάκαρες μάρτυρες, ἔξοχον
Χριστῦ τῷ τ' ἰδίῳ μάρτυρες αἵματι,
Ὅιπερ Νιν μονίμως ὡμολογήσατε
Κἠδοξάσσατε τῷ τέλει!

Δεσμῦς καὶ φυλακάς, ὕβριας, αἰκίας,
Πληγάς, πῦρ, βασάνων πηρομελῆ γένη,
Σταυρῦς, καὶ θανάτυ εἴδεα ποικίλα
Ὑμεῖς ἐστὲ πεπονθότες!

Τῶν δ' ὑμῶν ἀέθλων κἄμμες ὀναίμεθα·
Τῶν ὑμῶν ἀρετῶν, τῶν στεφάνων ἅμα
Καὶ δειλοῖς μετέοι· ναί, τὰ πρὸς ὑμέων
Ἠγωνισμένα ὠφελοῖ

Χ' ἡμᾶς τῦς μαλακῦς· παρμονίμυς δὲ ἡ
Ὑμῶν καρτερίη καὶ μακροθυμίη
Θείη τῦς ἀφυᾶς, τῦς μάλ' ἀγεννέας,
Καὶ δοίη καλὰ νίκεα! —

Τῶν χρηστοῖσι τρόποις Χριστὸν ἰδ' ἔργμασι
Καλοῖς εἰνὶ βίῳ ὡμολογηκότων,
Κἠχθρῦ τρισσαδίυ ἐγκεκρατηκότων
Πλῆθος πάμπολυ, χαίρετε!

Οὔ τις δυςσεβέων ὔμμε βίῃ κτάνε,
Κἀναίμακτος ἔην ὑμέτερός γ' ἀγών·
Οὐ μὴν ὔμμι μάχη ἡ κατὰ τῶν παθῶν
Ἥττων ἐδέ τι ῥηΐων.

Ὑμείων δ' ὁ βίος, πολλάκις ἄθλιος
Ἠδ' ἐν θλίψεσιν ὤν, μαρτύριον μακρὸν
Τῆς ἐς Χριστὸν ἔγεντ' ἔμπεδα πίστεως
Ἐλπωρῆς θ' ἅμα κἀγάπης.

Πειρασμὲς πολέας καὶ χαλεπὲς πόνες,
Λύπας ἠδ' ἀνάριθμ' ἄλγε' ἐπάσχετε,
Καὶ τὸν Κυριακὸν σταυρὸν ἀείρατε
Κἠβαστάζετε τλητικοί.

Ἡ νικηφορίη ἐκ ἀκόνιτος ἦν
Ὑμῶν, ἀλλὰ συχνῶν τῶν καμάτων ἔδει,
Πλείστων τῶν δαπανῶν· πολλὰ δ' ἐπράττετε,
Ὡς κτήσησθε, τὰ ἔστ' ἄνω.

Εὐχὴ ὑμετέρη νῦν περιποίεοι
Ἡμῖν καρτερικὸν κἤμπεδον εἰς τέλος,
Τῦ ζητεῖν συνεχῶς ἠδὲ διωκέμεν
Πάτρην καὶ βασιληΐην,

Πάτρην ἀκροτάτων ἔσαν ἐπ' ἀστέρων,
Εὔκηλον διόλε, καὶ βασιληΐην
Τὴν εἰν ἐρανίοις εὐκτιμένην τόποις
Ἀφθάρτῳ ὑπ' ἀνάκτορι. —

Ὦ τοῖς ἀγγελικοῖς πνεύμασιν εἴκελαι
Ψυχαί, παρθενίων ἐκπτάμεναι μελῶν,
Κὴν τῷ πνευματικῷ, πνεύματα, νυμφίῳ
Χριστῷ νύμφαι ἐΰφρονες!

Γηθῶ ὑμετέρυ εἵνεκα κύδεος,
Γηθῶ ἀμφὶ κράτει καὶ γέραϊ, τόπερ
Ἡ ἁγνὴ βιότης ἥ τε κλεόμβροτος
Ὑμῖν παρθενίη πόρεν.

Ὑμᾶς γῦν ὕπατον καὶ καθαρώτατον
Αὐτῦ πνεῦμα, Θεὸς, εὗρε μάλ' ἀξίας·
Ὑμᾶς δ' εἰςορόων ὑμά τε ἤθεα,
Χ' ἡμῶν ἂν πεφίδοιθ' Ὅγε.

Τῇ θείῃ χάριτι ἠδὲ καὶ αὐτέων
Ὑμῶν τῇ ἀρετῇ πρόσθε Θεῦ τόσαι
Τοῖαί τ', ἀντόμεναι ὠφελέοιτέ κεν
Ἡμᾶς τὺς πολὺ χείρονας!

Σεμναὶ καὶ γεραραὶ ἠδὲ φίλαι Θεῷ!
Γνοῖεν μεσσιδίας ὔμμε χ' ἁγνιστικὰς,
Ὅσσοις ἠὲ φρενῶν ὤλετο, ἠὲ καὶ
Αὐτῦ σώματος ἁγνότης!

Ναὶ, ἡ ἀφθορίη ἠδ' ἀκεραιότης
Ὑμῶν προξενέοι ἡμετέραις φθοραῖς
Ἴασιν ἀγαθήν, ταῖς τ' ἀκαθαρσίαις
Ἡμῶν ῥύψιν ἀπαὶ Θεῦ! —

Χῆραι δ' εὐλαβέες, ταὶ ἐνομίσσατε
Καρπὸν τὸν δίγαμον δεύτερον ἀζυγῦς
Τῦ λοιπῦ βιοτῆς, ἠδὲ πάρεργα τὰ
Μὴ ἡγύμενα εἰς Θεόν·

Ἔργων τῶν ἀγαθῶν κεὐσεβέων ἅλις
Ἔρξασαι, βαθέως πλύσιαι ἐν Θεῷ,
Καὐταὶ χαίρετέ μοι, καὶ μετά μοι δότε
Τῆς ὑμῆς περιυσίης! —

Καὶ ὑμεῖς δὲ χάρηθ', ὅςτινας ἥγνισεν,
Παίσαντας πρότερον, ἡ μετάνοιά γε,
Καλαί τ' ἠδ' ἱκαναὶ πρήξιες ὕστερον
Δεῖξαν καρποφόρυς Θεῷ.

Αὐτοὶ δ' αἰσθόμενοι τῦ Πατρὸς ἠπίυ
Καὶ συγγνωμονικῦ ἠδ' ἐλεήμονος,
Εὐχαῖς ὑμετέραις κἄμμι παράσχετέ
Μιν πραῢν τε καὶ ἵλεων·

Ἥ τ' αὐτὴ χάρις, ἣν εὕρετε πὰρ Θεῷ,
Ἐργάζοιτο χάριν καὶ ἑτέροις πάλιν,
Οἰκτιρμῶν τε τυχεῖν οἱ τετυχηκότες
Αὖ καὶ ἄμμε ποιήσατε! —

Πάντες δ' ὔμμες ὁμῶς, οἳ λάθετε βροτὺς
Χρηστοὶ καὶ ἅγιοι ἐκτετελεσμένοι,
Οὓς Θεῦς οἶδε μόνος, κόσμος ὅδ' ἀγνοεῖ,
Καὐτοί μοι μέγα χαίρετε! —

Ψυχαὶ τριςμάκαρες νηπιάχων τεκῶν,
Βαπτισμῦ ἱερῦ ἐνθάδ' ἐφιγμένων,
Τῶν ἐνταῦθα κακῶν ψυχαὶ ἀπείρατοι
Μηδ' εἰδυῖαι ἁμαρτιῶν!

Χαίροιθ' αἱ ἄκακοι πάμπανύ τ' ἄφθοροι,
Καλλίστην μέτοχοι μοῖραν! Ἐπισφαλὴς
Ἡμῶν ἥ τε τύχη καὶ τὸ τέλος ἔτι!
Ἡμᾶς ὖν ἐλεήσατε! —

Ξύμπαντας δὲ σέβω ἠδ' ἐπιβωστρέω
Ὑμᾶς, καὶ συνελὼν λίσσομαι εἰςάπαξ,
Ἄμμ' οἰκτεῖραι, ὅσοι χαίρετε πρὸς Θεῦ
Ἐκλεκτοὶ γεγενημένοι. —

"Ητω τῇ ἀτόμῳ ἠδ' ὁμουσίῳ
Καὶ σεμνῇ Τριάδι αἶνος ἀνεκλιπής,
'Ακμὴς εὐλογίη, κῦδος ἀειναὲς,
Καὶ δόξ' εἰς τὸ διηνεκές!

Καὶ τῷ ἀνδρομέῳ πολλὸν ἔοι κλέος
Τȣ̃ Χριστȣ̃ μέρεϊ, ὡς τεθεωμένῳ,
Κοινωνῷ γε μιᾷ εἰνὶ 'Υποστάσει
Τȣ̃ κυδνοῖο Θεȣ̃ Λόγȣ!

Παγκλείτῳ Μαρίῃ τῇ μακαρίτιδι,
Τῇ ȣ̓́σῃ καθάπαν παρθένῳ ἀφθόρῳ,
Τῇ κἀπειρογάμῳ μητέρι εὐτόκῳ,
Τιμὴ κεὐχάριτον σέβας!

Τῷ συστήματι τῶν ȣ̓ρανιδῶν ὅλῳ,
Τῷ καὶ ἀγγελικῷ καὶ μεροπηΐῳ
Συγγηθȣ̃ντι χορῷ τῶν 'Αγίων πέλοι
'Εκ πάντων γέρας εὐσεβές!

"Ητω δ' ἄμμι, Τριάς! Σεἰό τε εἵνεκα
Καὶ τῶν Σῶν 'Αγίων τῶν κεχαρισμένων,
Συμπασῶν ἄφεσις καὶ λύσις εἰς ὅλȣς
Τȣ̀ς αἰῶνας ἁμαρτιῶν!

Οὓς, πάνσεπτε Πάτερ, λάτριας ἔκτισας
Σοί, ȣ̃ς, Υἱέ, σόȣς, Πνεῦμ', ἁγίȣς ἔθης,
Οὗτοι κῆμ' ὅσιον "Υμμι τε λατρέα
Πιστὸν θεῖεν, ἀεί τε σῶν!

Εὑρίσκων δὲ τὰ νῦν δμωά μ' ἀχρήϊόν,
Μευ πολλῶν γ' ἕνεκεν φείδεο κρεσσόνων·
Τȣ̀ς πολλȣ̀ς ἀγάπα, καὶ τὰ ὑπεὶρ ἐμȣ̃
Τῶν πολλῶν ἱκετεύματα!

Αὔξεσθαί με Τεῶν ἐξ Ὁσίων δίδυ
Αὔξῃ πνευματικῇ, ὦ Θεός! ἐκ δ' ἐμῆς
Ἐν καλοῖς προκοπῆς δόξαν ἔχειν Σέ τε
Κἀκείνυς· τό νυ καὶ τύχοι! —

Προσευχὴ ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων.

Εἶ ἅγιος Σύ, Θεός! ἀπαρέσκῃ παντὶ πονηρῷ,
Φιλεῖς δὲ τὔννομον, τὸ δ' ἔμπαλιν στυγεῖς.
Σεμνὸς ὅλος Σὺ ὁ Ὤν, σπυδαῖα τὰ πὰρ Σέο θεσμά·
Δίκαιος εἶ Σύ, καὶ δίκαι' ἀπαιτέεις.
Τοῖς Σοι πειθομένοις ἀγαθὴ ἀπόκειται ἀμοιβή·
Ἀπειθέας δὲ ἐκ Σέθεν μένει τίσις.
Πολλάκις ὧδ' ἤδη τὰ παλίντιτα γίγνεται ἡμῖν,
Καλοῖς ἐὖσι καλά, καὶ κακοῖς κακά.
Ἀλλὰ μάλιστα κριτὴς μετὰ τήνδ' ἀκριβοδίκαιος
Προσηλύτευσιν εἶ Σὺ, καὶ μάλ' ἔκδικος.
Οὐδὲν, ἄναγνον ἐὸν, ὁ πάναγνός γ' Αὐτὸς ὑπάρχων,
Μιαντὸν ὐδέν, ὦ Θεός! προσίεσαι.
Χρὴ δ' ἔμεναι καθαρὸν σπίλοιο ῥύποιό τε παντὸς
Τὸν ἀξιῦντα φῶς ἰδεῖν τὸ Σῆς ὀπός.
Τίς κ', ἀκάθαρτος ἐών, Σοὶ τῷ καθαρωτάτῳ ὄντι
Ὁμιλέειν κατελπίσειε πνεύματι;
Ἔξω δ' εἰσὶν, ὅσοι γε ἁμαρτάσι κηλιδωτοί·
Πρόπαν γὰρ ἀγνοεῖ μόλυσμ' ὁ ὐρανός. —

Δεινὸς δ' ὢν, καὶ χρηστὸς ἅμ' εἶ, Θεός! ἠδὲ φίλοικτος·
Ἡ Σὴ δικαιότης πάλιν καὶ ἵλεως.

Πᾶσα μὲν αἰνὸν ἔφυ ἄφατόν τέ τι κακὸν ἁμαρτάς,
Ἄτ' ὖσ' ἐναντίῃ ἀπειρίτῳ καλῷ!
Κῆς Σέ, Πάτερ! ἀνιηρότατον, καὶ βαιὸν ἁμαρτεῖν,
Δοκῦν τε μικρὸν εἶναι, ἄσπετον πέλει!
Οὐ μὴν Σὸν κατὰ θυμὸν ἔϊσά γ' ἁμάρτια πάντα,
Κῆν ἦσι τὐλάχιστον ἄπλετον κακόν.
Οὐδ' ἄρα πάντ' ἐπίσης τιμωρῇ, ὐδὲ κολάζεις
Τὸν αὐτὸν ἢ τρόπον πρόπαντας ἢ χρόνον.
Διαφορὰν κακιῶν ἔλεος τὸ Σόν, ὦ Πάτερ! οἶδεν·
Ἴασιν ἀθλίοις ἀνεῦρε Σὴ χάρις·
Καὶ μετὰ τὸν θάνατον σύγγνωσις ἔτ' ἔστ' ἄφεσίς τε
Τινῶν ἁμαρτιῶν — τόσον Σὺ χρηστὸς εἶ! —
Ποινῶν θ', ὧν ἔτ' ὀφείλονται ἀλιτήμασι, κἀκεῖ
Ἐλευθέρωσίς ἐστι, καὶ λύσις πόνων.
Μῦνοι δ' οἱ ἀμετάγνωστον νῦν κακὸν ἔχοντες,
Θανόντες, εἰκότως ὀλώλασ' εἰς ἀεί·
Ἀλλήκτυς γὰρ ἔθης βασάνυς τοῖς πάγχυ πονηροῖς,
Λυτρώσεώς τε τοῖσί γ' ἦμαρ ὐδαμόν.
Οἱ μετανώσαντες δ', ἢ μέτρια μῦνον ἀλιτροί,
Λυτοὶ μὲν αἰσύλων, λυτοὶ δὲ ζημιῶν.
Τοῖς δὲ βίον καθαρῶς τὸν ἐπὶ χθονὶ καὶ θεαρέστως
Βιῦσιν, ἢ, ὅσ' ἐνθάδ' ὄντες ἤλιτον,
Ταῦθ' ἱκανῶς ἐκτίσασι σφετέρης πρὸ τελευτῆς,
Ἐς ὐρανὸν παραυτίχ' ἡ ἀνήλυσις. —

Τρισσατίῃ νυ κατάστασις ἐν τοῖς τηνόθι· ἐλπίς,
Ἄνελπις αἶσα, κἀπέχειν τὰ ἐλπίδος.
Οἱ μὲν νήκεστοι, οἱ δ' ἔμπαλιν, οἱ δέ ῥα ἤδη
Λαβόντες, ὧν κάμον, βραβεύματ' εὐτυχεῖς.
Τῶν μὲν ὕπειρ εὐχὴ, κενεόν, τῶν δ' αὖτε περισσόν·
Ὑπὲρ δὲ τῶν τις εὔξεται ὀνησίμως.

Οἷστισι δὴ μόνον ἔστ' ἐπὶ καιρὸν καὶ θεραπευτὸν
Τὸ πῆμα αὐτῶν, ἄμμε δεῖ βοηθέειν.
Ἔσθ' ὅσιον, τὸ ἀρηγέμεν ἡμᾶς τοῖς πονέυσιν
Ἐπιστρεφῶς, δίκαιόν ἐστι κεὐσεβές.
Τῆς ἀγάπης ὁ λόγος τῆς κοινῆς ἄμμι τε καὐτοῖς
Ἀπαιτέει τὸ, ὡς ἑνὸν, βοηδρομεῖν.
Πάγχυ μένει σχέσις ἄμμι, μένει φιλίης τις ὀφειλὴ
Τῆς χριστιανικῆς καὶ εἰς τεθνηκότας.
Οἱ δὲ, κατοιχόμενοί περ, ζῶσί γε, κὐ γεγόνασιν
Ἀλλότριοί πη ἡμέων τῶν ἐν βίῳ,
Αὐτὰρ ἀναγκαίη ὁσίη τ' ἐπιμιξίη ἔνθεν
Ἐῦσα τυγχάνει, πρὸς ὓς ἔασ' ἐκεῖ.
Εἰσὶ γὰρ ἡμέτεροι μάλ' ἀδελφοί, εἰσὶν ἀδελφαί·
Πρέπει δ' ἀδελφεοῖς γ' ὅλως βοηθέειν.
Οἵγ' ἀβοήθητοί σφισιν αὐτοῖς, ἄμμι δ' ἀκεστοί,
Ἐρυστοὶ ἄμμιν ἐκ σφέων πέρην μόγων.
Ἴσχονται, ἰδίᾳ γ' ἄποροι καὶ φωτὸς ἔρημοι,
Ἠδ' ἀντιλήψεως ταχείης ἐνδεεῖς.
Εὔχονται δ', ἡμᾶς ὑπὲρ αὐτῶν πυλὺ ἀρᾶσθαι,
Τυχεῖν τε τῆς δι' ἡμέων λυτρώσεως.
Ἀλγῦσιν δὲ καθαιρόμενοι δοκιμαζόμενοί τε,
Οἵῳ Σὺ μῦνος οἶσθα ῥυπτικῷ πυρί,
Ὦ Θεός! ᾧ καὶ ἔστι μόνῳ, διαθεῖναι ἑκάστυς,
Ὅπως θέλεις, ἐξυσίη τε καὶ θέμις.
Ἐκτήκονται, ὅση ἐντεῦθεν ἰῦσι βίοιο
Πέπηγεν ἐκ βροτησίοιο, σκωρίαν.
Πάντα τὰ ἐκ τῆς γῆς ἀκάθαρτα ἀφυλίζονται·
Διϋλισιν φέρυσιν ἔνθα ψυχικήν.
Ἐλπίδι μὲν μάκαρες, τὰ δὲ νῦν μέγα τλήμονές εἰσι,
Ἔτι στερύμενοι Σῆς ὄψιος, Θεός!
Εἴργυσι χθόνιαι κηλῖδες, μήπω ἰδέσθαι,
Ὃ δὴ βλέπειν ὅλυ ποθῦσιν ἐκ μένυς.

Μᾶλλον λυπῦνται χήτει τῦ Σοῖο προςώπυ,
Ἢ ἄμμες ὧδ' ὁπωςτιῦν πονύμενοι.
Εἰσὶ ταλαίπωροι διτταῖς ὀδύνῃσι, κακῶν μὲν
Παρυσίῃ, καλῶν δ' ἀπυσίῃ ἔτι. —
Τῶνγέ τοι ἐνδυκέως μεμνῆσθαι κἠπιμελεῖσθαί
Με δεῖ ὁμῦ προςεύγμασίν τε κἤργμασιν.
Σπυδαίως μοι τῦτο μέλοι, τὸ ἅπασι τρόποισι
Λῶφάρ τι εὑρέμεν σφιν ἐκ Σέθεν, Θεός!
Αὐτὰρ κἠμαυτῦ ἐπὶ τύτοις μή τι λαθοίμην·
Εἴην δ' ἐκείνων ἔκ σεσωφρονισμένος.
Μήτ' ἄρ' ἐμεῦ αὐτῦ ποτὲ μήτ' ἀμελοῖμι καμόντων·
Κἀκεῖνο γὰρ καὶ τῦθ' ὁ Κύριος θέλεις.
Χραισμεῖν τοῖσιν ἐκεῖ πειρώμενος, αὐτὸς ἐκεῖθεν
Ἐπωφελήσομαι, ἐάν μοι ἐνθαδὶ,
Ἐκφυγέειν τὰ ὅμοια, μέλῃ, τὰ ἐκεῖθι ἕτοιμα
Τοῖς ἐλλιπεστέροισι δεινὰ ποικίλα.
Κείνων μὲν τὸ παρὸν μειῦν, τὸ δὲ μέλλον ἐμαυτῦ
Πῆμ' εὐλαβύμενόν με χρὴ ἀλυσκέμεν.
Ῥηΐτερον δ', ἐπὶ γῆς, ὅσα ἡμάρτηκ', ἀποτῖσαι·
Τὸ γῦν ἐκεῖθι πυλὺ ῥίγιον κρίμα.
Μικραῖς ἠδ' ὀλίγαις τιμαῖς τὸ χρέως ἀποδῦναι
Ἐπὶ χθονὸς πρόπας ὁ ὢν ὀφειλέτης
Οἷός τ' ἐστὶ Θεῷ· συγγνωμοσύνης τόπος ὧδε·
Μέγαν δὲ τῖμον ἡ πέραν τάσσει δίκη.
Φεύγοιμ' ὖν ἔμπης τὰ ἁμάρτια, καὶ τὰ ἐλάττω,
Σοφός τ' ἐὼν πράττοιμι μηδὲν, ὅ,ττιπερ
Τῆς Σῆς παγκαλλῦς με θανόντα ποτ' ὠπὸς ἀπέργοι·
Ἐλεύθερον μόρος μ' ἀνάγνων εὑρέτω!
Ψεῦδος μήτε φιλῶν ἔτι μήτ' ἔρδων διάγοιμι·
Ὁ γὰρ τοιῦτος ὢν, ἐκεῖ κολάζεται.
Μήτε τι Σοί, Θεός! ὀφλητὴς ἔτι, μήτε τι ἄλλοις,
Ἴδοιμι τυτονὶ πεπαυμένον βίον!

Δὸς δ' ἱκανόν μ' ἐνταῦθα δόμεν Σοί, κἀποκαθᾶραι,
Ὅ,τι βραδεῖαν εἰς Σὲ τὴν ὁδὸν ποιεῖ.
Δός με ἑλέσθαι ἅπαν τὸ ἀνάξον πρὸς Σὲ τάχιον,
Τὰ δρᾶν, ἃ πρακτικώτερ' εἰς Σὲ ἔσσεται·
Σοὶ δ' ἔτι καὶ ὧδὶ μετανοίᾳ καρποφορῆσαι,
Καταξίῳ ὄσῃ, ὅσωνπερ ἤμβροτον,
Ποινάς τ' ἐκτῖσαι τῶν πρόσθεν ἀλιτροσυνάων,
Μηδ' ἐργάσασθαι ὕστερόν τι ποίνιμον.
Χρή γε καλῶν γεμέμεν, φαύλων καθαρευέμεν, εἴ τις
Ἀνεμποδίστῳ λῇ τάχει Σ' ἰδεῖν, Ἄνα! —

Ἀλλὰ θεοπτείας τηνεὶ παραχρῆμα μετασχεῖν,
Παύροις ἔγεντ' ἐοῦσιν εὐσεβεστάτοις.
Τῶν δ' ὀλίγων τήνων, τὸ θεοπτικὸν οἷς ἐχαρίσθη
Θανοῦσιν εὐθύ, πῶς γενέσθαι ἐλπιῶ;
Δὸς δέ μ' ὅμως προδιοικῆσαι τὴν νῦν βιότητα
Ἐς τὴν πέραν ἀειναῆ, — δός, τὸν τότε
Οἷον ἂν εὐξαίμην, τοιοῖσδε προευτρεπίσαι με
Τὸν νῦν ἐόντ' αἰῶνα ἠθέων τρόποις.
Τῆς ἐπέκεινα διαίτης, τῆς μετὰ πότμον ἐούσης
Ἀεὶ ζόης γένοιτό μοι ἐπιστροφή.
Τῶν δὲ πέλας σχοίην ὅσιον λόγον ἶσα καὶ ὤρην,
Τῶν κεῖθ' ἐπ' ἐλπωρῇ ταλαιπωρουμένων·
Αὐτὸς γοῦν ἀγαπᾶν τοὺς πλησίον, ὥσπερ ἑαυτούς,
Σὺ ἡμέας κέλῃ ὁ πάντων Δεσπότης. —

Ἀλλ' ἴληθι, Θεός! καὶ φεῖσαι, μηδέ τι μέμψῃ
Τοίῳ γε μή μοι ὄντι, οἷος ὤφελον
Εἶναι, χ' οἷον ἔδει ἔμπροσθα Τεοῖο γενέσθαι
Ἤδη πάλαι με, — οὐδ' ὅμως ἐγεινόμην, —
Ὥστε μ', ἀδόντα Τεΐν, παρὰ Σοῦ ἑτέροισί τε πρᾶξαι
Ἐμοί τε καὐτῷ πᾶν τὸ ὂν σωτήριον.

Μοι μέχρι δεῦρ' ὀλίγη ἐπιτήδευσις πέλ' ἐκείνων,
Ὧν εἵνεκέν με τῷδ' ἔθηκας ἐν βίῳ·
Τῶν γὰρ ἄνω ἠφροντίστουν, ἤμην δ' ὀλίγωρος,
Ὧν Σοί τε δοῦναι τοῖς τε πλησίον μ' ἐχρῆν.
Τὰ σπουδαῖα φρονεῖν με πρέπον, τά τε καλὰ διώκειν,
Φαύλοις προσεῖχον καὶ παρέργοις ἔργμασιν·
Καὶ ζητεῖν με δέον τὰ ὑπερχθόνι' ἠδ' ἀτέλευτα,
Νέον τ' ἐόντα μνημονεύειν τοῦ Κτίτου,
Τοῖς κενεοῖσιν ἔχαιρον, ἐθήρευον δ' ἐπίγεια,
Ἦν δ' εἰς Σὲ ἄσχολος, ματαίοις ἐκδοθείς·
Πνεῦμα δ' ἐμὸν, μελετᾶν τὰ θέεια πεφυκὸς, ἐποίουν
Ταῖς ἡδοναῖσι προσπαθὲς δουλευέμεν·
Καὶ τὰ ἐνεστῶτ' ἐντεῦθέν ποτ' ἀποιχομένοισι,
Ῥᾳθυμος ἦν, ὡς μὴ βαλέσθαι ἐν φρεσίν.
Σῆς χάριτος καιροῖς κατεχρώμην, ἠδ' ἐλέοιο
Σωτηριωδέων κατεφρόνουν χρόνων·
Ὥραις οἰκτιρμῶν οὐκ ἄξια οἰκτοσυνάων
Ἔπραττον, ἀλλὰ ζημίας εἰργαζόμην!
Δηρὸν ἐπλημμέλεον, Πάτερ! εἰς Σέ, καὶ οὐκ ἀγάπη πω
Αἰδώς τ' ἐποίει μ', ἢ φόβος γε ληγέμεν!
Κύριον ᾔδεα μοί Σ' ἐπικείμενον ἠδὲ δικαστήν·
Οὐ παυσάμην δ' ὅμως Τὶν ἐξαμαρτάνων!
Ἐν πολλοῖσι δέ Σοι πταίειν καὶ νῦν ἔτ' ἔωθα,
Ἀπειθέειν τ', ἐόντι τόσσῳ Δεσπότῃ! —

Τοῖος ἐὼν τί ἐρῶ; τί δὲ δράσω, εἴ Σε δίκαιον,
Εἰ ἔκδικον μέλλω ἔχειν κἀφειδέα;
Ἱλάσθητι, Θεός! ἐλεήσας, μηδέ μ' ἀπώσῃς
Τοῦ Σοῦ προσώπου, ὄντα τοιουτότροπον·
Ἀλλ' ἐπανόρθωσόν μου τὴν φρένα καὶ τὸ θέλημα·
Νίκησον ἶφι εἰν ἐμοὶ τὸ χεῖρον ὄν.

Σοὶ δὲ προσευχόμενον πλέον εὔπρακτόν με ποίησον,
Ὁμιλίης τῆς πρὸς Σὲ ἀξιώτερον,
Μηδὲ μάτην ἔγκεισθαι ἀρώμενον, ἀλλὰ δύνασθαι
Ἐνεργέειν τε τὰς κατευχὰς τὰς ἐμάς.
Καὶ ὑπὲρ ὧν δ' ἔτι πάσχυσιν τὸν ἐκεῖ καθαρισμὸν,
Δεινόν με μᾶλλον ἐντυχεῖν Σοί, Ὦνα! δός·
Νῦν μὲν γὰρ τολμῶν τόδ', ἀνοίκειος δὲ ὑπάρχων,
Τί ἐξανύσσω; τίς ποτ' ἐξ ἐμῦ λύσις;
Πῶς ὖ μοι ἔσεται νεμεσητὸν, ἐὰν ὁ κακίων
Τῶν βελτέρων ὑποστέω προηγορεῖν;
Αὐθάδως δὲ ποιῶ καὶ ἀναισχύντως θρασέως τε,
Μᾶλλόν γ' ὑπαίτιος πλέον θ' ὑπόχρεως
Καὶ ἀδικώτερος ὢν, κείνοισι δικαιοτέροισι,
Χρεωστέυσιν ἧττον, ἧττον αἰτίοις,
Ζηλωτοῖσί τέ μοι διὰ τῦθ', ὅτι εἰσὶν ἀμείνυς,
Ἀπαλλαγὴν αἰτῶν δικῶν τε καὶ χρεῶν!
Ἧδε παραίτησίς τε καὶ ἐξαίτησις ἔμοιγε
Οὐκ ἂν πρέποι· πρέπει γὰρ ἀξιωτέροις.
Αἰσχρόν γ' ἤδ' ἰταμὸν, ἰδίοις βεβαρημένον ἄνδρα
Ὀφλήμασιν, ζητεῖν ἄκος τοῖς τῶν πέλας,
Ἀρνύμενον μᾶλλον ῥύσασθαι ἄλλον ὀφειλῆς,
Ἢ ἐξελευθερῶσαι αὐτὸν ὧν κακῶν.
Λισσομένυ περ ὑπὲρ τῶν μειόν οἱ, ὖχ ὁ δανείσας
Τῦ πλεῦν ὀφειλέταο ἐντραπήσεται.
Χρὴ τὸν βυλόμενον ἕτερον παραπεῖσαι ἐκείνυ,
Ὅτευ προεύχεται, ἔμεν βελτίονα.
Ὧν ὕποχος πλεόνων, πῶς εὔξομ' ἐγὼ ὑπὲρ ἄλλων,
Ἐλαττόνων καταχρέων; Αἰσχύνομαι!
Οὐκ ἀγαθὸν, περιεργάζεσθαι ἐν ἀλλοτρίοισι,
Βοηθέειν τε, αὐτὸν ἐνδεᾶ βοῆς!
Πῇ δὲ καταλλάξαι, ἢν μὴ κεχαρισμένος ἔλθω
Καὶ δεκτὸς ὢν, φίλον φίλῳ δυνήσομαι; —

Ταῦτα δαεὶς σαφέως, πῶς εἶτα Τίν, ὦ Θεός! ἄλλων
Προηγορήσων ἔρχομαι μετ' ἐλπίδος;
Πῶς ἐπιχείρησω ὑπερειπεῖν τȣ λιτανεύων,
Ὧν τȣ̃ τυχεῖν, ὧν εὔχομαι, ἀνάξιος;
Ἀλλὰ πέποιθα μόνῳ ἐπὶ Σοί, καὶ ȣ̉κ ἐπ' ἐμαυτῷ·
Ἐν Σοὶ δ' ἄελπτον ȣ̉δὲν, ȣ̉δ' ἀνήνυτον·
Οὐ ῥῆμ' ȣ̉δέ τι πρῆγμ', ὅ,τι μὴ δυνατὸν παρὰ Σοίγε·
Σοίγ' ἶσα ῥᾳδιον, θέλοντι προφρόνως,
Καί μ' ἱκανῶσαι ἔτι, καὶ μήπω μευ ἱκανοῖο
Ὅμως ἀκȣ̃σαι ἱλέως λιτησίȣ.
Ἐκ Σέθεν, ἀλλ' ȣ̉κ ἐξ αὐτȣ̃, γέγονεν παρὰ Σεῖό
Τις πρακτικὸς καὶ εὐτυχὴς δεημάτων·
Αὐταὶ γȣ̃ν ἀρεταὶ, τῇσίν τίς Σοι πεφίληται,
Σά εἰσι δῶρα, οἷσιν εὐαρεστέαι.
Ἄξιός ἐστι λαβεῖν μόνος, ᾧ κ' ἐθέλησθα Σὺ δȣ̃ναι.
Τὴν εἰς Σὲ ȣ̃ν μὴ συγχέῃς μȣ ἐλπίδα! —

Κλῦθί νύ μευ, τῶν τληπαθέων ὑπερευχομένοιο,
Σεῦ δ' εἵνεκ' αὐτȣ̃ δὸς, τόπερ Σὲ αἰτέω.
Τὰς Χριστοῖο φρένας, πρήξεις, καμάτȣς θάνατόν τε,
Τιμάς θ' ὅρα καὶ ἀξίην, Αὐτόν θ' ὅλον·
Λεῦσσε τὰ τῶν Ἁγίων, ὧν θ' ὧδ' ὧν τ' εἰσὶν
ἐκεῖθι,
Φρονήματ', ἤθε', ἔργματ' ἀξιοπρεπῆ·
Καὶ τῆς Χριστογόνȣ μνήσθητί τε καὶ ἐσάκȣσον,
Εὐχὰς ποιȣμένης ἀεὶ, Ἐκκλησίης!
Ταῦτα, Πάτερ! νώσας, ἀμȣ̃ς ἐλέησον ἀδελφȣ̀ς
Ἀδελφεάς τε, τηνόθ' ὄντας ἐν πόνοις.
Τιμὰς δεξάμενος τὰς ἄλλων, πραῢς ἐκείνȣς
Λώφησον, ὧν ἔχȣσι, δεινῶν θλίψεων.
Τȣ̀ς δὲ ἀναγκαίȣς ἐπιτηδείȣς τε μάλιστα,
Τȣ̀ς μοι προσήκοντας γένει κεὐποιΐαις,

Ἢ ἄλλαις πρὸς ἐμὲ σχέσεσιν, τῶν εἵνεκεν αὐτοῖς
Πλέον τι τυγχάνω ὀφειλέτης ἐών·
Κεἴ τισιν ὧν βασάνων κακὸς αἴτιος ἔνθα κατέστην,
Πρὸς πτῶσιν εἴ τινας προήγαγον πάρος·
Καὶ ὑπὲρ ὧν Σὺ μέν, ὦ Ἄνα! λῇς με, ἐγὼ δ' ἄρ' ὀφείλω,
Μᾶλλον λιτάς τε προςφέρειν καὶ εὖ ποιεῖν·
Τοῖςγε μάλιστ' ὀπάσαις ἄνεσιν εὐκτήν τ' ἀνάπαυσιν,
Καὶ φῶς τὸ τῆς Σῆς ὄψεως δοίης βλέπειν! —

Ὕμμες δ', ὦ ταλααὶ ψυχαί, ἅγιαι δὲ καὶ ὔτως,
Ζήλυ τε τἄλλα ἄξιαι πλὴν τῶν παθῶν,
Καὐταὶς ἐν ποινῇσι, μόγοις μακαρισταὶ ἐν αὐτοῖς,
Τὸν εἰς ἀεὶ ὄλεθρον ἐκπεφεύγατε,
Αἳ τὸν ἄδηλον, ὅπως ἀποβήσεται εἰς τέλος, αἳ τὸν
Ἐπισφαλῆ περήσατ' εὐτυχῶς βίον!
Νῦν δ' ἀδεεῖς, ἅτε δὴ σωθεῖσαι, ἐν ἀσφαλεῖ ἐστέ,
Περαῖαι ὖσαι, ὖσαι ἔξω πταισμάτων.
Τὸν περὶ τῆς ψυχῆς κίνδυνον ἀλύξατε πάντα·
Τὰ τῦ μόροιο σφάλματ' ὐκέτ' οἴδατε·
Χαίρετε δ' ἐλπόμεναι, ἃ δ' ἀνάγκη, πάσχετ' ἄνοργοι,
Τῆς τῦ Θεῦ βυλῆς χάριν καὶ προςδοκίης,
Ὡς ἐναριθμηθησόμεναί ποτε τοῖς Ἁγίοισι,
Θεοπτίᾳ θᾶσσον, βράδιον ὄλβιαι. —

Ὑμετέρην γ' ἀγαπῶν καὶ χαίρων μοῖραν ἑλοίμην,
Βίοιο τῦδ' ἀπαλλαγεὶς ἐπ' ἀσφαλεῖ·
Κρεῖσσον γὰρ τὸ ἅπαξ ὑπέχειν καὶ δεινά, ἐφ' ᾧτε
Μηδὲν παθεῖν ἔτ' εἰςάπαν καὶ εἰς ἀεί,
Ἢ συνεχῶς δίζοντ' ἀπορῦντά τε ἀμφὶ τὸ μέλλον,
Ὁποῖον ἔσται, ὧδε ζῆν ἀμφίρροπον! —

'Αλλ' ὔμμες γ' αὐτῶν τὴν κλῆσιν ἔθεσθε βεβαίην
Ἔτ' ἐνθαδὶ ζῶσαι καλοῖσιν ἔργμασιν,
Ἄμμι τ' ἐδείξαθ', ὅπως ἂν μὴ ἀπολώμεθα καὐτοί,
'Αλλ' ὔμμι γῦν ἴσοι ἐκεῖ γενώμεθα.
'Η δὲ Θεοῖο χάρις δέδοται ἀρκῦσα καὶ ἡμῖν,
'Εν γῇ ὅσον χρόνον προσηλυτεύομεν·
Εὔνυς καὶ χρηστὸς Θεὸς ὐδὲν ἐς ἡμέας ἧττον,
Πόροι τε τῦ σωθῆναι ἄμμι μυρίοι,
Ὥστε καταστάσεϊ ἀδίκως ἂν καὶ μάλ' ἀναιδῶς
Τις μεμψιμοιρήσειε τῇ ἐπὶ χθονός.
Οὐ χρὴ δειλῦσθαι καὶ ἄμμε περ, ὐδ' ἄρ' ἀθυμεῖν,
Πιστῦ δὲ πὰρ Θεῦ τὰ κρείττω προσδοκᾶν,
Θαῤῥῦντας, μὴ ἀμφ' αὐτοῖσι, Θεῷ δ' ἔπι μὐνῳ,
Ἅμ' εὐλαβυμένυς τε καὶ πεποιθότας,
'Ηδὲ συνεργάτιδι σπυδῇ θείαις χαρίτεσσι
Καὶ ταῖς ἐς ἡμῶν ῥῦμ' ἀφορμαῖς χρωμένυς. —

Κἠξ ὑμῶν δέ, ἐποικτίστων περ νῦν γε καὶ αὐτῶν,
Φάος τι ἄμμι γίγνεται σωτηρίης·
Ταῖσι πρὸς ἀλλήλυς ἐλεημοσύναισιν ὄνειαρ,
Ὡς ἄμμες ὔμμι, τὼς καὶ ὔμμες ἄμμιν αὖ.
Εἰ δ' αὐταὶ μηδὲν δι' ἑαυτῶν ἄμμι δύναισθε
Χραισμεῖν, ἐπαρκέσει ὁ Θεῦς ἀνθ' ὑμέων,
Φάς γ', ἐλεηθήσεσθαι, ὅτις χ' ἑτέρυς ἐλεῆσαι·
Ποιεῖ δὲ τῦθ' ὁ ὑμέων μεμνημένος
'Ηδ' ὑπερευχόμενος· οἶμαι δὲ, καὶ ὖμας ἔχειν τι
'Αντωφελῆσαι ἡμέας περαιόθεν. —

Ὦ γεραραὶ ψυχαί, ὑπὲρ ὧν καὶ χειροτέροις Θεῦς
Νόον τε καὶ θάρσος λίτεσθαι ἐμπνέει,
Εἰς ἀλληλόφιλον τρόπον ὀτρύντης, ἐλέοιο
Καὶ ἀθλίοις ἐς ἀθλίυς διδάσκαλος, —

Ναὶ, ἅγιαι ψυχαί! Θεὸς ὔμμιν ἐπὶ φρεσὶ θείη
Τὸ καὶ πάλιν γενέσθαι ἡμῶν μνήμονας,
Ἠδὲ συναίρεσθαι, καθόσον ἔχετ', ἄμμι πέρηθεν,
Ὑπέρ τε ἡμῶν ἱκτορεύειν Κύριον.
Τίς γὰρ ἂν ὀ νομίσαι, καὶ ὑμάς πέρ τι δύνασθαι
Ἐς ἡμέων καλόν τε καὶ σωτήριον;
Ὕμμες ὀφειλέτιδες προςκαίρου μοῦνον ἐοῦσαι
Τιμωρίης, τἄλλ' ἐστὲ τῷ Θεῷ φίλαι·
Καὶ δυναταὶ δ' ἄρα αἵ γε φίλαι· κεχαρισμένος
ὤν τις,
Καὶ ἰσχύει τι πὰρ φίλῳ ὑπὲρ φίλων.
Οὐκ ἀβοήθητοί γε καὶ ὑμῖν, οὐ πελόμεσθα
Ἀνωφέλητοι τοῖς ἐκεῖ οἱ ἐνθάδε.
Εἰς ἰδίην μόνον ὠφελίην ἄποροι, μόνον εἰς τὸ
Αὐτοῖς ἀλαλκεῖν ὕμίν ἐστ' ἀμήχανοι·
Ἄμμι δ' ἀρηγοσύνην κἠξ ὑμῶν ἔστι γενέσθαι,
Λιτῶν τε ὑμέων ἀκούσεται Θεός. —

Εἶα, Θεῷ ἀγαπηταί! ἐν αὐτοῖς ἄλγεσιν ὑμῶν
Ἐντυγχανεῖν δειναὶ ὑπὲρ κατενδεῶν!
Μήτοι καὶ ὑμῶν ἀνοήτους ἄμμε λίπητε,
Γένεσθε δ' αἴτιαι καλῶν ὀφελμάτων!
Ἡμετέραισι λιταῖς Θεὸς ὔμμι γένοιτο ἀλαλκτήρ,
Λυτήρ τε, τῶν ἐκεῖθι δεινῶν πάσχετε!
Χριστοῦ καὶ τῆς Χριστοτόκου Ἁγίων τε προπάντων
Ὄναισθε, καὶ τῶν ὧδ' ἐόντων εὐσεβῶν!
Ἐκ τῶν γ' ὔμμιν ἔοι ἀναπλήρωσις καὶ ἀκεστύς,
Ὧν πρόσθεν ὑστερήσαθ', ὧν πονεῖτε νῦν!
Αἱ Χριστοῦ ποτὲ τλημοσύναι Τοῦτοιό τε δούλων
Ἀπεργάσαιντο παῦλαν ὑμέων πόνοις! —

Ἀμφότεροι δὲ βοηδρόμιοι, καὶ ἀμφοτέρωθεν
Γενοίμεθ' ἀλλήλοισιν ὠφελήσιμοι!

Εἰρήνην μονίμην, ἀνάπαυμα, φάος τὸ ἀείνων,
Πεισθεὶς ὑφ' ἡμέων, πόροι ὑμῖν Θεός!
Αὖ δὲ καὶ ἄμμι φιλοφρόσυνος χαρίσαιτο ὁ Αὐτὸς,
Τὰ εὐχετᾶσθε ὑμέες πρὸ ἡμέων! —

Τῷ δὲ Θεῷ κλέος ἐξ ὑμῶν, κλέος ἐκ μακαριτῶν,
Τῶν ἐν ζόῃ ἤδη ἀγαλλιωμένων
Ἀενάῳ, κλέος ἐξ ἡμῶν, κλέος ἐκ συναπάντων,
Πάντως τε πανταχῦ τε ἠδὲ πάντοτε! —

Ἡ τῦ Θεάνδρυ πάθησις, θεωρυμένη καὶ ἐνστηθιζομένη κατὰ τὰς νομιζομένας εἰκόνας.

Προκέλευθος εὐχή.

Δέσποτα καλέ, θέλων ὃς ἑῶν ὑπερώλεο δύλων
Οἰκτρὸς ἀνὰ σκόλοπι!
Μείζονα ἡμετέρης διανοίας, μείζον' ἀμοιβῆς
Ἄμμι χάριν κατέθυ!
Ἀλλ' εὐεργεσίης μέγεθος τῆς ἄμμι μολύσης
Σῶν δι' ἀεθλοσυνῶν,
Εἰ καὶ ὑπερτείνει χάριτας πολὺ τὰς παρὰ θνητῶν,
Μνημοσύνην γε ὅμως
Αἰὲν ἔχοι τὴν ἡμετέρην, στοργήν τε Τεοῖο
Εὐσεβίην τε τέκοι! —
Δός τοι, ἐπιστρεφέως με θεωρῦντ' ἐνστηθίζειν
Εἴδεα Σῶν παθέων.
Μὴ εὕροις με ἀναίσθητόν τιν' ἐόντα παρ' ἱρὴν
Τήνδε θεημοσύνην! —
Χριστέ! τοδὶ παρ' ἐμῦ θρήσκευμα Τεῒν μὲν ἀρέσκοι,
Λυσιτελοῖ δ' ἄρ' ἐμίν! —

1.

Πικρὸν θανεῖν Χριστῦ καταψηφίζεται.

Ἐκτὸς ἁμαρτάδος ἦσθ', ἀνυπαίτιε Σῶτερ! ἁπάσης,
Οὐδὲ κατακρίσεως εὔλογος ἦν πρόφασις.
Ἀλλὰ κατεγνώσθη καὶ ὣς Σέο μοῖρα βιαίη,
Καὶ, πανάμωμον ἐόντ', ἔπλετ' ἀγὼν, ὀλέσαι!
Σοὶ δὲ κακὸν πολλῶν τ' ἔχθρη ἀνδρός τε δικαστῦ
Αἰσχρὸς ἀπὸ φθαρτῦ Καίσαρος ἦγε φόβος.
Αὐτοθελῦς δὲ Σέθεν κατέκρινεν ὁ ἡγεμονεύων·
Τίς γάρ κε κτεῖναι ἄνδρ' ἀέκοντα Θεόν;
Οὕτω δή, ζωῆς ἀρχηγέ! κρίσιν τε δίκην τε
Δέξαο τὴν ὀλοὴν, καὶ ὑπέμεινας ἑκών.
Ὧν κόσμῦ Σὺ κριτής, θνητῦ πάρα καὶ ἀδίκοιο
Ἡμετέρῳ κρίνεσθ' ἤθελες ἀμφ' ἀγαθῷ! —

Ἀνῃρέθη τὸ πρὶν καθ' ἡμέων κρίμα,
Ἀφ' ῦ ῥ' ὑπέσχε φῶς Θεὸς κατάκρισιν,
Ὑπαιτίῦς τ' ἔλυσεν Εἷς ἀναίτιος! —
Ὦ ζημιωθεὶς τῶν ὑπευθύνων ὕπερ!
Μεμνημένοι Σῆς πραότητος κἀγάπης,
Πράως ἔχοιμεν, καὶ μάλ' ἠδικημένοι. —
Σοὶ δόξα, ὃς βροτῶν κατακρίσιμον γένος
Τῦ ψυχικῦ μόρῦ πρόφρων ἐῤῥύσαο! —

2.

Βάσταγμ' ἀείρας σταυρὸν Αὐτὸς ἑλκύει.

Αὐτὸς ἀναγκάζῃ, Σῶτερ! φονικὸν ποτὶ χῶρον
Τὸ ξύλον, ἀσθμάζων θλιβόμενός τε, φέρειν!

Αὖ πάλιν οὐκ ἐπαναγκάζῃ γε τὸ ποίνιμον ἄχθος
Ἑλκέμεν, ἀλλ' ἐθέλων τοῦτο χαρείς τε ποιεῖς·
Ἄμμι γὰρ ὄφρα βάρος κοῦφον θῇς καὶ ζύγον ἡδύ,
Τόνδε βαρὺν Σὺ πρόφρων φόρτον ἄγεις ὑποδύς.
Τὴν σταυρώσιμον οὖν ὕλην βροτόεντας ἐπ' ὤμους
Αἴρεις, καὶ μογεροῖς βήμασί νιν προάγεις!
Φῶς Θεὸς αὐτοθελεῖ θανάτῳ — οἷον τὸ θέαμα! —
Βαστάζεις προβιβὰς σκεῦος ὀφειλόμενον!
Οὐρανόθεν δέ Σ' ὁρῶν τὸν βαστάζοντα δίκαιον,
Καλὰ Πατὴρ ἡμῖν μήδετο τοῖς ἀδίκοις. —

Φρικτὸν, βδελυκτὸν ἠδ' ἀποστυγούμενον
Τὸ πρὶν ὅραμα καὶ κόλασμ' ὁ σταυρὸς ἦν·
Ἱρὸν δ', ἐραστὸν ἠδ' ἐπευκτὸν γείνετο,
Ὡς πρῶτον αὐτοῦ, Χριστέ, Τύνη ἥψαο,
Ὀνήσιμόν τε ἄμμι τόνγ' ἀπειργάσω,
Ἀμῆς τε προξενητικὸν σωτηρίης. —
Σοὶ μὲν χάρις, Ῥυτήρ! ἑκὼν δὲ κάσμενος
Κἠγὼ φοροῖμι σταυρὸν, ὅν κε δῷς, ἀεί. —

3.

Κεῖται πεσὼν, σταυροῖο ἀσθενὴς βάρει!

Δεινῶς μαστιχθείς, χροτιῆς κατὰ νῶτα ῥαγείσης,
Ἐγκέντρῳ τε νυγεὶς ἀμφὶ κάρη στέφεϊ,
Πρὸς δ' ἔτι καὶ ἄλλως, ταλακάρδιε Χριστέ, κακωθείς,
Ἠσθένεες πολλῇ αἵματος ἐκχύσεϊ! —
Ἄχθει στεινόμενος ξυλίνῳ, ὠθούμενος αἰὲν,
Ἠδ' ὑπὸ δημοσίων συχνὰ πιεζόμενος,
Προσκόψας, ἀμφοῖν βαρύτητί τε φορτίου αὐτοῦ
Σῇ τ' ὀλιγοδρανίῃ εὐθὺς ἔκεισο χάμαι! —

Ἤισθεο δὲ προπεσὼν τὰ Σὰ γυῖα κακῶς ἀδικηθείς,
Προςθήκη τε πάλιν Σαῖσιν ἔγεντ' ὀδύναις!
Οὐδ' ἀμπνυνθῆναί γε ἐῶσί Σε οἱ βασανισταί,
Ἀλλὰ βιάζονται ἐς τὸ πρόσω ἐλάαν! —

Τρηχεῖαν εἶχες τὴν ὁδόν, κοπώδεα,
Εἰδυῖαν ἀλγέων, Ἰησοῦ φίλτατε!
Καὶ μυστικὴ δ' ἔτειρεν ἔνθα Σ' αἰνότης,
Βάρος τε πνεύματος πολὺ ψυχῆς τ' ἄχος,
Τὸ νήριτον πλῆθος λίην θ' ὑπερβαλὸν
Ὄγκωμα τῶν ἐξ ἡμέων ἁμαρτιῶν! —
Ὃς διττὸν ἤνεγκας φόρημα, σαρκί τε
Καὶ πνεύματι σκληρόν, Τὶν εὐχαριστίη! —

4.

Συντυγχάνει τῇ μητρὶ Αὐτοῦ καμμόρῳ!

Συλληφθέντ' ἔμαθες κατακεκριμένον τε τὸν Υἱόν,
Αἰκισθέντα δ' ἄφαρ δεινοτάτοισι τρόποις!
Νῦν δέ Μιν, ὦ Μαρίη! σταυροῦ βεβαρημένον ὁλκῷ
Προστείχοντα πικρὴν ἐς θανάτωσιν ὁρᾷς!
Ἀντομένη δ' Αὐτόν, τετιημένη αἰνὰ φίλον κῆρ,
Ἀσπάζῃ, πύματον „χαῖρε" λέγουσα Ἑοῖ·
Οὐ γὰρ ἔμελλες ἰδεῖν ἔτι γήϊνον εἶδος ἔχοντα,
Ἀλλ' ἑτέρῃ μορφῇ ζῶντα νέῳ τε βίῳ. —
Πᾶν δὲ πάθος τὸ Ἐκείνου γείνετο καὶ τεὸν ἄχθος,
Πᾶν δὲ τὸ μητέριον πῆμα Τέκνοιο πάλιν·
Σοὶ γὰρ ὅση στοργὴ πρὸς Παῖδ', — ἣ δ' ἦν ὑπέρ-
αλλος —
Καὶ ἡ συμπαθίη ἔπλετο πάγχυ τόση. —

Ὦ πότνα Μῆτερ! Υἱὲ ὦ φιλαίτατε!
Σφὼ ἤστον ἐν πονῦσι τληπαθεστάτω!
Ἀάσπετ' ἐν φρεσὶν πάθη ἠνέγκατον,
Ἡ μὲν Τέκυς ἕκηθ', Ὁ δ' αὖτε Μητέρος!
Λύπης δὲ καὶ ἐγὼ κατέστην αἴτιος,
Ἧς ἕνθ' ἐπῄσθεσθον ταλαιπωρυμένω!
Τὰ δ' ἐκ βροτῶν Σφῶϊν πάλαι τευχθέντ' ἄχη,
Ὑπὲρ βροτῶν ὄνειαρ ἔμμεναι δότον. —

5.

Σίμων φέρειν τὸν σταυρὸν ἀγγαρεύεται.

Οὐκ ἐλεήσαντες, δείσαντες δ' οἱ βασανισταί,
Μὴ ξυμβῇ Σε καμόντ' ἐκλιπέειν ἐν ὁδῷ,
Ὡδέ τ' ἀλυπότερον θάνατον καὶ ἀνεκτότερον σχῇς,
Τὸν ξυλληψόμενόν Σοι κατόπισθε δόσαν.
Οὔτις Σοι ξυνέπραττε θέλων τὸν ἄεθλον, Ἰησῦ!
Τὸν δέ κε βυλόμενον Σεῦ ἀπέλασσαν ἁπλῶς.
Τὸν δ' ἀπὸ Κυρήνης ὐδ' αὐτὸν ἑκόντα συνεργὸν
Ἀνέρα τήν γ' ἀρχήν, ἀλλ' ἀπρόθυμον ἔχες.
Εἰ δ' ἤδει Σίμων, ὅσση ἦδ' εὐτυχίη, τὸ
Σταυρὸν ὄπισθε φέρειν Σεῖο, μάλ' ἄσμενος ἂν
Ἤδη καὶ τὰ πρῶτα ταχὺς τὸν φόρτον ὑπέστη,
Λωφήσας Σε βάρυς αὐτίκα γηθόσυνος. —

Εἰ μὲν τότε ζήσας Σε γνὺς ἑώρακον,
Ἥσθεὶς κέ Σοι ξυνηψάμην τῦ φορτίυ.
Ἔξεστι δ' αἰρέμεν με καὶ βασταζέμεν
Τὸν σταυρόν, ὦ Σαῶτα! καὶ τὸ νῦν ἔτι·

"Αραντα γῦν ἐκεῖνον ἐλθεῖν καὶ ἐμὲ
Κέλῃ κατῆμαρ, κἀκολυθέειν Τεῖν·
Λογίζεαι δὲ, τὸν φέροντα Σὴν χάριν
Κάχ', ὥστε συμπονῦντά Σοι ὑπηρέτην. —

6.

Γυνή τις εὐσεβὴς διδοῖ σϐδάριον.

Πρηνηδὸν πτώσεις, κολάφισμα ῥάπισμά τε πολλὸν,
Τρηχαλέος στέφανος, πλήγματα κὰκ κεφαλῆς,
Αἷμ', ἱδρώς, κονίη τὴν Σήν, παγκαλλέα πρόσθεν,
Ὦπα κατήσχυναν καὶ σχεδὸν ἠφάνισαν.
"Ενθα Σ' ἰδῦσα γυνὴ, ἀφόβως τε δραμῦσα δι' ὄχλυ,
Πρός τε πεσῦσ' ὀρέγει Σοί τι χαριζομένη,
Τῷ κ' ἀπομόρξαιο βρότον ἠδ' ἱδρῶτα μετώπυ,
Καὶ ῥύπον ἐκ πάσης ὄψιος οἰκτροτάτης.
Σμικρόν περ θεράπευμα τόδ', ῡ μὴν ἔπλετ' ἄμισθον,
'Αλλ' ἀντημείψω θαυμασίῃ χάριτι·
Οἷος γὰρ τότ' ἔης ἰδέειν τὸ πρόςωπον, τοίην
"Εντυπόν οἱ ἀπέδως εἰκόνα τῇ παροχῇ. —

Ὡραῖος ὤν, ὑπέρ τε πάντας εὐπρεπὴς
Εὐειδέας, μυ Σῶτερ, ὡς διεφθάρης!
Τῦ δ' ἄμμες αἴτιοι! τό γ' αἰσχρὸν ἡμέων
Τὸ ψυχικόν Σε τόσσον, ἆ, λυμήνατο!
Τὰς ἡμέων ψυχὰς ὅπως θῇς καλλίμυς,
Τὸ σῶμ' ἄμορφος ἤθελες τυχθήμεναι. —
Τὸ Σὸν πρόςωπον τῦτο τῷ ἐμῷ νόῳ
Ὁρῷμ' ἀεί, λωβητὸν ὂν, δυςωπέον! —

7.

Πρόσω βιβὰς ὀλισθάνει τὸ δεύτερον.

Σταυροφόρος ξυνεχῶς ἀναβαίνων χωρίον αἰπὺ,
Τὸν δὲ τρίβον πατέων σκληρὸν, ἀνωμαλέα,
'Εμπόδιον βάσεσι πρόςκομμά τε, καίτοι ὄπισθε
Τῦ Κυρηναίυ Σοι ξυνεφαπτομένυ,
Βριθοσύνῃ τῦ ἔμπροσθεν σταυροῖο βαρυνθεὶς,
"Εγκοπος ὢν, πάρετος, πρῦπεσες αὖθις, "Ανα!
Κῆνθα δ' ἔησθ' ἐλεεινὸς, ἄνω τε κάτω τε πιεσθεὶς,
Ὦπα βλαβεὶς, ὤμυς, στήθεα καὶ γόνατα,
Τἆλλά τε κῶλα ὁμῦ, σεισθέντων πάντοθεν ἄρθρων,
Καίν' ἐπὶ τοῖς προτέροις καὶ πάλιν ἄλγε' ἔχεις!
'Ασθμαίνων δ' ἔτι, κῆκλυτος ὢν, ὀλιγηπελέων τε,
'Ωθῇ γ' ἀνστῆναι ἠδὲ προβαινέμεναι! —

Τὸ πτῶμά Συ, Σαῶτά μυ! τὸ δεύτερον
'Ανιστάναι πέφυκε τὺς ἐσφαλμένυς,
Τὺς ἐκ νέης πεπταικότας, τὺς καλὸν ἄψ
'Απεστερημένυς τὸ ἐκ βαπτίσματος!
Βαπτισμὸς, ἐκ Τεῶν παθῶν ἐνεργὸς ὢν,
Ψυχαῖον ἡμέων μόλυσμ' ἀφείλετο·
Τὺς δ' ὐ μιήναντάς μιν, ὡς παύρυς ἔχεις!
Σὺ δ' οἴκτισαι, ὁπωςτιῦν πεπτωκότας! —

8.

Γυναικὰς Αὐτὸν θρηνεῦσας προςβλέπει.

Σεῖο πορευομένυ, Σῶτερ ταλαεργὲ διαμπάξ!
Τῆνον ἅμα σταυρῷ ἀλγινόεντα πάτον,

Θηλύτεραι μετόπιν εἶποντ', αἰσθητικαὶ ὖσαι,
Οἴκτῳ καὶ θρήνῳ κοπτόμεναι μεγάλῳ.
Σοὶ δ' ἧττον τὰ Σὰ ἀθρόα δείν' ἔμελεν τὰ παρόντα,
Ἤπερ αἱ κείναις συμφοραὶ ἐρχόμεναι.
Τῷ καὶ μὴ ἐπὶ Σοὶ κλαίειν, μᾶλλον δ' ἐφ' ἑαυταῖς
Οἷς τε τέκεσσι γόον σφᾶς ἐκέλευσας ἔχειν. —
Σύ, ξύλον ὑγρὸν ἐὼν μάλ', ὅμως δὲ κοπείς, ἐλεαίρεις
Ἡμείων τὸ πυρὶ ξηρὸν ὀφειλόμενον!
Σῆς αἰσθήσιος, ἆ, τὰ πανανθρωφ' ἥπτετο κακά,
Καίπερ τοῖς ἰδίοις εἰς ἅλις ἀχθομένυ! —

Τὰ αὐτεπίσπαστ' αἰνὰ δυςνόμυς φέρειν,
Κακὺς τ' ἐόντας ἄμμε πασχέμεν κακά,
Ὅλως δίκαιον κἠπιεικές· ἀλλὰ Σύ,
Ἀθῷος αὐτὸς ὢν τὰ πάντ', ἀναίτιος,
Μηδὲν πεπραχὼς ἄξιον τιμωρίης,
Ἀλλοτρίων φαύλων ὑπέσχες ζημίας!
Δὸς δάκρυ' ἦμιν ἀμφὶ Σοί θ' αὐτοῖσί τε,
Ὡς τῶν Τεῶν ἐῦσιν αἰτίοις παθῶν! —

9.

Τρίτῳ ἐρείπεται χάμαζε πτώματι!

Ὅσσῳ πλεῦνα πρόσω ἐτίθης σταυροῖο ὑπ' ὄγκῳ
Βήματ' ἀνωφερεῖ τρηχαλέῃ τ' ἐν ὁδῷ,
Τόσσῳ καὶ ὁ κόπος πλείων τὰ Σὰ γυῖα καμόντα
Ἥιρει, κἠποίει καὶ τὸ τρίτον Σε πεσεῖν!
Ἀλλὰ τί ὤφειλές τε καὶ ἤθελες, Ὦνα! πέσημα
Τρὶς παθέειν, χαλεπὸν Σοῖσι μέλεσσι βλάβος;
Οὐκ εἰκῇ, ὐδ' ὡς ἔτυχεν, τῦτ', ὐδὲ παρέργως,
Ἐκ δέ τιν' ἡμετέρην ὧδε δίκην τέτικας·

Πυλὺ γὰρ ἐξ ἡμῶν τὸ παράπτωμ', ἄλλο τ' ἐπ' ἄλλῳ,
Κἠκ προϋπάρξαντος πταίσματος αὖ τι νέον!
Τῇδε παλιγκοτίῃ ἐργασσόμενος Σὺ ἀκεσμόν,
Ἔτλης δεινὰ πεσὼν πτώματα καὶ πλέονα! —

Ἐξ ὗ βεβάπτισμαί γε, πολλῷ πολλάκις
Ψυχὴν κατῃσχύνθην ἁμαρτάδων ῥύπῳ!
Σῦ δ' ἠλεηκότος με, σύν τ' ἐγνωκότος
Τὰ πρόσθε μοι πεπραγμέν', αὖθις ἤλιτον
Ἐγώ, καὶ εὑρέθην ἄπιστος δεσπότῃ
Δῦλος, καὶ ἐκ καινῆς Τεὴν ἀπώλεσα
Κακῶς χάριν! Σὺ δ', Ὦνα! ἱλάσθητί μοι,
Καὶ συχνά περ πεσόντι, εἰς ἃ μὴ θέμις! —

10.

Περιαιρεῦσ' αἰδυμένῳ τὰ εἵματα!

Κρανίυ εἰνὶ τόπῳ φρικτῷ Σε ἀφιγμένον, εἶτα
Ἐκδύνυσι βίῃ πάντα τὰ ἱμάτια,
Ἀμφιπλεκῆ κρατὶ στέφανον περὶ τρηχὺν ἑλόντες,
Ἔνθεν Σεῖο νέας αἰσθομένυ ὀδύνας!
Ἄρτ' ἐπενεχθεῖσαι πληγαί, τῦ ἐκχέαι αἷμα
Παυσάμεναι ὀλίγον, τῷ τε χιτῶνι πύκα
Συμφῦσαι, πάλιν ἔῤῥαγεν, ἱματίῳ τε χροὸς μὲν
Κολλῶντο μορίδες, χρωτὶ δὲ ἱματίυ!
Ἀλλὰ τὸ δεινότατον πάντων, ὃ Σὲ μᾶλλον ἐλύπει,
Ἢ τὰ ἀναξανθένθ' ἕλκεα, ὅττι Σ' ἔδει
Στῆναι ἐς ὀφθαλμὺς τοσσύτων γυμνὸν ὁρώντων,
Αἰδόμενον τίσαντ' αἰσχρὰ τὰ ἡμέτερα! —

Τεοῖο παντὸς ἱματισμῦ ἔκδυσις
Ψυχῆς τε σώματός τε εἶχεν ἄλγεα,
Ὦ Χριστέ! αἰτιατὰ εἰς Σὲ τῇ ἐμῇ
Ἀναιδίῃ τε ποικίλῃ τε ἡδονῇ!
Σαφῶς μάλ' οἶδα, ὧντινων Σὺ εἵνεκεν
Ἐμῶν ἁμαρτιῶν ἔτλης γυμνὸς σταθείς!
Σὴ γυμνότης αἰδώς τ' ἀναισχύντοιό μευ
Καλυψάτω τὰς μὴ ἐρυθριάσιας! —

11.

Σταυρῷ προσηλῦται τανυσθεὶς νηλεῶς.

Γυμνωθέντα Σ' ἐπὶ σταυρὸν βάλλυσι· τοιῦτον
Τὸν θρόνον ὐράνιος Σὺ προβέβυλας ἄναξ!
Ὑπτίυ ἔνθεν ἀνὰ ξύλον ἐκτείνυσι, βιαίως
Στρεβλῦντες, θυμῷ νηλέϊ Συ τὰ μέλη,
Ἐμπήγνυντες ἄφαρ διὰ χειροῖν ἠδὲ ποδοῖϊν
Πικροτάτυς ἥλυς, σαρκὸς ὀρυττομένης·
Τῶν τῆλε κτύπος ἠκύσθη· ἀλγηδόνας ᾖσθυ
Ὀξεῖς· ἐκ πληγῶν πυλὺ τὸ αἷμα ῥέεν!
Ὧδέ Σε τῷ σκόλοπι ξυναφῆ καὶ ξύμφυτον ὄντα,
Εἶτ' ἀναείρυσιν· καὶ μετέωρος ὅτ' ἦς,
Σφοδρῶς ἐς βόθρον σταυρῦ καθεθέντος, ἐσείσθη
Ἀλγεινῶς δεινῇ Σεῖο τὸ σῶμα φορᾷ! —

Οἷον πάλαι Ἡσαΐας προεῖπέ Σε,
Τοῖος καὶ ἦσθα νῦν, Μεσῖτα ἡμέων!
Κάλλυς στερείς, ἄδοξος ἠδ' ἀνείδεος,
Ἄτιμος, ἐν πληγῇσιν, εἰδὼς ἀσθενεῖν,

Καὶ τραυματισθείς, καὶ κακωθεὶς, ὡς ὄϊς
Ἐπὶ σφαγῇ, ἄφωνος, ὠδυνημένος
Ἄλλων ὕπερ, πολλῶν ἁμαρτίας φέρων,
Ἰώμενος μώλωπι τῷ Ἑαυτȣ̃ ἡμέας! —

12.

Ἐν τῷ ξύλῳ, τὸ πᾶν τελέσσας, ἐκπνέει.

Ὕστατα διψήσας, προςενεχθέντος τε ῥοφήσας
Ὄξȣς, καὶ φωνὴν ὀβριμόεσσαν ἀφείς,
Πάντα τε, ὅσσα Σ' ἐχρῆν, καλῶς τελέως τε ἀνύσσας,
Κλίνας τὴν κεφαλήν, πνεῦμα Τεὸν παρέδως. —
Τιμήεσσα λίην, ἄτ' ἐȣ̃σα θεανδρική, ἔνθα
Ζωὴ ἡμετέρῳ ἀμφ' ἀγαθῷ λέλυται!
Χριστέ! Τεῷ πότμῳ τὸ βροτοσσόον ἐκτετέλεσται
Ἔργον τȣ̓πίπονον· Σοῖο γὰρ ἐκ θανάτȣ
Ἡμέτερός γ' ἐδάμη, ἐδάμη πᾶς δήϊος ἡμῶν,
Κἀπεδόθη ζωὴ ἡ κατὰ πνεῦμα πάλιν. —
Γῆς Σὺ πόλȣ τε θανὼν μέσος, ἐκχώσας τὸ μεταξὺ
Ἡμῶν ἠδὲ Θεȣ̃ χάσμα, τίθησθα βατόν. —

Ἐπίμοχθος ἦν ἄγαν ἅπας ὁ Σὸς βίος·
Τὸ τȣ̃ βίȣ ἔτ' ἀθλιώτερον τέλος!
Ὁ Σὸς πρὸς ἦμας οἶκτος, ἡμέων ὕπερ
Οἴκτιστα καὶ ἄλγιστα Σ' ἤνωγεν παθεῖν!
Ἀπ' ἀσπέτων κακῶν σαώσων ἡμέας,
Νήριθμα κἀκ' ἐνέγκαι Αὐτὸς εἵλεο!
Σοίγ' ȣ̓̃ν ἀνακτηθέντες οἱ ὀλωλότες,
Ἴδμεν τε τίνομέν τε μυρίαν χάριν. —

13.

Σταυρῦ ἀφαιρεῖται τὸ σῶμ', ἄψυχον ὄν.

Οἵ τινες εὐμενετῶν, τὺς ἥλυς ἐξελάσαντες
Χειρῶν ἠδὲ ποδῶν, ῥύσιε Χριστέ! Τεὸν,
Ἐκψῦξαν, σῶμ' εὐλαβέως ὀθόνησι καθεῖλον
Δεξάμενοι, μεγάλως καὶ νέκυν ἀζόμενοι·
Μητρὸς δ' εἰν ὁσίοις κόλποις ἐπὶ γύνασι θῆκαν,
Ἥτις καὶ τὸ βάρος τὸ γλυκύπικρον ἑαῖς
Ἀγκαλίδεσσι λαβῦσ', ἀμφοῖν λύπῃ τε χαρῇ τε
Ἤμειβεν τὸ πάθος θυμὸν ἀν' ἐσσύμενον.
Ἄθρεε δὲ πληγὰς τὰς πολλάς, πέντε γε μείζυς,
Πάσας δ' οἰκτίστας, σῶμα κατὰ ξυνάπαν.
Ἡ δ' οἰκτιζομένη πενθῦσά τε ὐκ ἐκορέσθη,
Καί Σε φιλῦσ' ἀγνῷ εὐσεβέως στόματι! —

Ὡς μηδὲν οἱ ὑπαίτιοι αἰώνιον
Πάθωμεν, αἴν' ἔτλητε τὼ ἀναιτίω,
Θλιβέντε ἄμφω χἠ Τεκῦσα χὠ Τόκος,
Τίσανθ' ὑπὲρ βροτῶν, τὰ ὐκ ὠφείλετον,
Τὰ ἡμέων λύσαντε προφρόνως χρέα. —
Σὰ Σῆς τε ἥμιν ἐλλογήσας Μητέρος
Πάθη, τὰ τῆς ψυχῆς, Ἰησῦ! ἡμέων,
Τῶν ἀξίων παθεῖν, ἄπειρξον πήματα! —

14.

Ὁ θεῖος ἐν τάφῳ νεκρὸς κεκλαυσμένος.

Ἐκπταμένης ψυχῆς, κεῖται τὸ Τεὸν δέμας, Ὦναξ!
Ἐν θήκῃ ψυχρόν· Σεῦ δὲ τὸ θεῖον ἔτι

Καὶ νεκρῷ περ ἔνεστ' ἀλύτως, σεπτός τε ὁ νεκρός,
Ὡς ξυνεχιζόμενος ἀθανάτῳ φύσεϊ. —
Κλαίȣσιν δ' ἕταροί τ' ἄνδρες πισταί τε γυναῖκες,
Οἷον ἀπώλεσσαν φῖλον ὅιοισι τρόποις.
Ἐς δὲ χαρὴν αὐτῶν πάλιν ἔσται τȣ̃το τὸ πένθος,
Ὀψομένων αὖθις ζῶντά Σε θειοτέρως. —
Εὐμεγεθὴς δὲ λίθος κατέκλεισε θύρην καπέτοιο,
Πάντοθεν ἐνδυκέως ἠσφαλίσαντο τάφον,
Σφρήγισσαν τὸν λᾶν, φύλακάς τ' ἔστησαν· ἀτὰρ Σὺ
Καὶ ȣ̃τως προμολῇ, πάντα διασκεδάσας. —

Αἰώνιος μόρος βροτοῖς ὠφείλετο,
Δεινῇ τ' ἐνειχόμεσθα πάντες τῇ δίκῃ·
Ἐξ ȣ̃ δὲ καὶ Σύπερ ταφὴν ἐδέξαο,
Κἄμμιν βεβαίη ἐλπὶς, ἐκ μνημηΐων
Προελθέμεν παλιμβίοισι, τȣ̃ τε Σȣ̃
Κοινῇ τυχεῖν κλήροιο ὀλβιωτάτȣ.
Δὶς ἦμας, Ὦνα! ζῆν τὸ Σὸν θανεῖν πόρεν.
Σοὶ εὐχαριστέοι ἀνακτισθεῖσα γῆ! —

Ἀκροτελεύτιος λιτή.

Δέξαι, καὶ βραχύ περ, Χριστὲ βροτοσσόε,
Ἄμμ' ὠνησάμενε μηδενὸς ἀξίȣς
Τόσσȣ, τῷ ἰδίῳ κτησάμεν' αἵματι!
Δέξαι τȣ̃το λάτρευμ' ἐμόν!

Δέξαι, καὶ χάριτας ἠδ' ἀφέσεις με δὸς
Καρπώσασθαι, ὅσαι εἰσὶν ἐφημμέναι
Τῇ σταυροῖο ὁδῷ Ἀρχιερῆος ἔκ,
Χώρης διαδόχȣ Τεῆς.

Καὶ τοῖς δ' ὖσι πέρην, δευομένοις ἔτι
Σῆς ὠπὸς, πισύνοις, ἠδὲ πονυμένοις,
Εἴη Σῶν ὄφελος λυσικάκων παθῶν,
Εἴη σφῶν ἄνεσις μόγων!

Σευ δ' ἡ καμμονίη, ὦ Σαοσίμβροτε!
'Εν τόσσοις χαλεπῶν εἴδεσιν ἀλγέων,
'Ημᾶς καρτερικοῖς καὶ καταθυμίοις
Σοὶ χρῆσθαι παρέχοι τρόποις! —

'Ο Θέανδρος εὐλογητός,
'Ο δι' ἡμέας τετληώς! —

Φοίτησις ἐπὶ τὴν τῦ σταυρῦ λεγομένην ὁδόν, ἤτοι ἐνθύμησις τῶν τῦ Χριστῦ παθημάτων.

1.

'Εξ ἑτάρυ προδότην εὑρίσκει Χριστὸς 'Ιησῦς!
Τιμᾶται παύρων φὼς Θεὸς ἀργυρίων! —

Αὐτὸς ἔδειξε τόσην κατὰ Σῦ ἀχαριστίην μαθητής!
'Εχθρῶν γ' ὑπ' αὐτῶν οἷα, Χριστέ, πείσῃ!
'Ισκαριώτης, θαύματ' ἰδὼν Σεο τόσσα ἠδὲ τοῖα,
"Ομως ἄπιστος Σοι ἔγεντ' 'Ιῦδας!
Σῶν εὐεργεσιῶν χαρίτων θ' ὅγε νηλεγὴς μεγίστων,
Διδάσκαλον κὴπιστάτην πιπράσκει!
Σὺ προεμαντεύσω προδόμεν μέλλοντα, δείν' ἐπειπών·
Φιλαργύρῳ δ' ὐκ ἐντροπὴ καπήλῳ!
Σπεύδει γ', ἀρχιερεῖς τετμεῖν, μηνῦσαι ἔκ τε δῦναι
Σέ, αἰσχροκερδὴς φὼς διάστροφός τε!
Μισθῦ τοι δίδοσαι ὁ ὑπὲρ μισθὸν πρόπαντα, μισθῦ,
"Οσυ Τεοί Σε ἀξιῦσιν ἐχθροί!

'Οσσατίης τιμῆς ὅσος, οἷος δ' ἐμπολητὸς οἵοις!
Τίς, σκεπτέον, καὶ πὰρ τίνος τίσιν Σύ,
'Ηδὲ πόσυ τόσος ἐξεδόθης· ἐκ παγκάκυ κάκιστοι
'Ωνῦνται ὐ πολλῦ Θέανδρον αὐτόν! —
'Ως μεγάλυ, πραθεὶς ὀλίγυ, Σύ, Χριστέ, ἐπρίω με!
Πωλύμενος μικρῦ, πλείστυ μ' ἐλύσω,
Κἄτιμος γεγονὼς, ἐντίμυς ἡμέας τίθησθα·
'Εξυδενωθεὶς καὶ πλέον μ' ὄνησας. —

"Ιληθί μοι, σύγγνωθί μοι,
'Ω Χριστέ! Σῦ προδότης ἐγὼ
Καὶ αὐτὸς ἤμην πολλάκις!
Προδίδωσι γὰρ Σὲ πᾶς ὁ Σῦ
'Οτιῦν προτιμῶν ἄλλο, καὶ
Περὶ πλείονος τὰς ἡδονὰς
Ποιύμενος, μᾶλλόν τε τῦ
Κτίστυ φιλῶν τὰ κτίσματα! —
'Ο μὲν, κακῶς ἀπελπίσας,
Παραδὺς Σε τὴν δίκην ἔχει.
'Εμοὶ δὲ συγχωρησάτω
Σὴ χρηστότης ἐολπότι. —
Μετὰ μὲν μελοίμην τῇ πάρος
'Ολιγωρίῃ κἀπιστίῃ·
Προαιρεοίμην δ' ὕστερον
Σὲ ἀντὶ τῶν ἄλλων μόνον. —
'Η πραότης Συ, τῇ ἔτλης
Τιμήματος δοθεὶς ἄπο
Παύρυ ὁ πάνθ' ὑπερφέρων,
Πεφίδοιτό μευ ὑπαιτίυ! —

'Ω, κτηθεὶς βραχεῖ, Σαῶτα, τιμῷ
Τοῖς ἐχθροῖς! Σὲ δι' αὐτὸ τῦτο μᾶλλον
Τιμῴην φρεσὶν ἠδ' ἅμ' ἐργμάτεσσιν,

Καὶ Σȣ̃ γ' εἵνεκα τȣ̀ς πέλας ὁμοίως·
Μȣ́νȣ δ' εἶτα καταφρονοῖμ' ἐμαυτȣ̃,
Ὡς τῶν εἰς Σὲ συναιτίȣ ἀεικῶν! —

2.

Γίγνεται ἐν λύπῃ, ἐν ἀδημονίῃ, ἐν ἀγῶνι
Χριστός, καὶ ἱδρῶ αἱμάτινον σταλαγεῖ! —

3.

Ἀμνὸς ὁ τοῖο Θεȣ̃ συλληφθεὶς, εἶτα κακȣ̃ται·
Δεσμȣ̃ται ὁ λύων δεσμὰ τὰ ἡμέτερα! —

4.

Ἄννας Καϊάφας τε καθυβρίζȣσιν Ἰησȣ̃ν·
Ἡρώδης τίθεται παῖγμά Νιν ἠδὲ γέλων! —

5.

Χριστός, ἀναίτιος ὤν, αἰκίζεται, ἠδ' ὑπὸ δȣ́λοις
Μαστίγων ἀΐει νῶτα τὰ Κυριακά! —

6.

Τῷ πάντων βασιλεῖ στέφανον τιθέασιν ἀκανθῶν
Κρατὶ ἐπὶ ζαθέῳ, σκῆπτρα δέ Οἱ κάλαμον! —

7.

Τοῖς ἀδίκοισιν ἑκὼν ὁ δίκαιος ὕπεστι δικαστής,
Τῶν πάντων ὁ κριτὴς κρίνεται ἀνδρὶ βροτῷ! —

8.

Αὐτὸς βαστάζει τὸν σταυρὸν ὁ Χριστὸς Ἰησȣ̃ς
Ἀράμενος, τὸ βάρος μοι παρέχων ἀβαρές! —

9.

Οὐκ ἐθέλων ὁ Κυρηναῖος τὸν σταυρὸν ἀείρει,
Τȣ̃ φόρτȣ ἀγνοῶν τὴν ὑπερευτυχίην! —

10.

Εὔλογος ἠδὲ δίκαιος ὁ θηλυτέρων ἐπὶ Χριστῷ
Κλαυθμός, ὁ δ' ἀμφ' αὐταῖς μᾶλλον ἂν οἷς τε τέκνοις! —

11.

Ἐκδύεται τὰ Ἅ ἱμάτια, γυμνός τε πάνοπτος
Παρθενικῆς Υἱὸς παρθένος ἐκτίθεται! —

12.

Ἐκτείνουσι, προσηλοῦσιν, μετεωρίζουσι
Χριστὸν, κακούργοις ἄμμιγα κἀνάμεσον! —

13.

Ἀνδρὶ δίδωσι μαθητῇ τὴν Ἑ τεκοῦσαν Ἰησοῦς,
Ἥ τε Θεοῖο κλύει νῦν Ζεβεδαΐδεω! —

14.

Ἐκλείπει ζωῆς ἀρχηγός, προσδέχεταί τε
Αὐτάγρετος τὸν ἐμοὶ πότμον ὀφειλόμενον! —

15.

Οὐκ τῶν μνημείων καὶ τοὺς τεθνεῶτας ἐγείρων
Παντοβίης, Αὐτὸς θάπτεται ἀποθανών! —

Τελευταία προσευχή.

Προσκυνοῦντες εὐλογοῦμεν,
Ὦ μεσῖτα Χριστέ! Σέ,
Τὸν παθόντα, καὶ πορόντα,
Ἐξ ὅσων διήντλεες,
Πατρὶ τιμὴν ἠδὲ δόξαν,
Ἄμμι δ' αὖ σωτηρίην!

Νηπελοῦντες ἀντιδρᾶσαι,
Εὖ παθόντες, ἶσα Σέ,
Μνήμονες γοῦν εὐχαρίστως,
Ὧν ἔτλης, γενοίμεθα!
Τήνδε μνῆστιν ἀντίδωρον,
Τήνδ' ἀμοιβὴν δέχνυσο!

Μὴ ἀκαρπέοι γ' ἐς ἡμᾶς
Σταυρὸς, ὅνπερ ἄνσχεο,
Μηδ' ὀλώλοι μηδὲν ἡμῖν,
Τῶν ἔπρηξας κἤπαθες!
Πατρὶ τῷ Σῷ εὐαρεστῶν,
Κἄμμιν αὖτ' εὐχρηστέοις!

Σωσάτω ἡ Σὴ πάθησις
Ἧμας εἰς αἰώνιον,
Ὄφρα Σεῖο τὴν τοσαύτην
Χρηστότητα κἀγάπην
Αἰὲν, Ἀγγέλοις συνῳδοὶ,
Ὑμνέειν δυνώμεθα!

Ἀλλὰ καὶ τῷδ' εἰνὶ καιρῷ
Ἄμμι τε ψυχαῖσί τε
Ταῖς ἐκεῖ ὑπαὶ καθάρσει
Συμφέροι τὸ Σὸν παθεῖν,
Τῷ Πατρῴῳ Σῷ τε, Υἱέ,
Πνεύματός τ' ἐπὶ κλέει! —

Εὐχὴ πρὸ τȣ̃ δείπνȣ.

Φαγεῖν πιεῖν τε μέλλων,
Φθάνω, Θεός! Σὲ αἰτῶν,
Ἐδέσματ' εὐλογῆσαι
Ποτόν τε καὶ ἐμαυτόν. —
Καθ' ἕκαστον ἦμαρ εὔνȣς
Ἐμȣ̃ τε καὶ ἁπάντων
Καλὴν ποιῇ πρόνοιαν,
Πάτερ μάλιστα χρηστέ!

Σὰ δῶρα ταῦτα πάντα,
Ὧν γεύσομαι τὸ νυνί. —
Σὺ δ' εὐκόλως ποίησόν
Με ζῆν, καὶ εὐχαρίστως
Χρήσασθαι, ᾧ ἔδωκας
Καὶ σήμερόν μοι ἄρτῳ.
Ζῴην δὲ μὴ ἵν' ἔσθω,
Ἀλλ' ἐσθίοιμ', ἵνα ζῶ,
Καὶ ἐγκρατὴς γενοίμην
Τῆς γαστέρος, πλέον τε
Μοίρης ὑπέρ τε καιρὸν
Φεύγοιμι προςφέρεσθαι.
Τὰ σώματος κομῦντι
Μέλοι τὰ πνεύματός μοι·
Βαρύνεται τὸ πνεῦμα
Ἀμετρίῃ γε σίτυ,
Ὑπερβολῇ ποτοῖο,
Καὶ τῷ ἄγαν ἅπαντι.
Μοι εὐτελὴς ἀρέσκοι
Καὶ μετρίη διδοίη
Πόσις τε καὶ ἐδητὺς
Ὑγίειαν, εὐσθένειαν·
Ἄμφω ὁμῶς ὀναίσθην,
Τὸ σῶμα καὶ τὸ πνεῦμα,
Ἰσχὺν νέην λαβόντε.
Καὶ μὴ ἕλοι με λήθη
Τῶν βρωμάτων ἐκείνων
Τῶν μυστικῶν, ἀΰλων,
Αἰωνίων, ἀφράστων,
Ὧν σωφρόνεσσι δώσεις. —
Προςέρχομαι μὲν ἤδη,
Τροφὴν λαβεῖν, τραπέζῃ·

Σὺ δ', ὦ Πάτερ καὶ Υἱέ
Καὶ Πνεῦμα! εὐλόγησον
Ἐμαυτὸν ἠδὲ πάντα
Πρόθυμος, ὧν ἐδῦμαι,
Ἠδ' εἴ τι καὶ πιῦμαι. —
Σὺ δ', ἡ τὰ πάντα πᾶσι
Μάλ' ἀφθόνως νέμυσα,
Τριάς, ἴσθι εὐλογητή! —

Ὕμνος μετὰ τὸ δεῖπνον.

Πασσάμενός νυ Τεῶν, Πάτερ Υἱέ τε Πνεῦμά τε! δώρων,
Ἀντιδίδωμι χάριν.
Εὐλογέω Σέ, Τριὰς καὶ εἷς Θεός! εἵνεκα τύτων
Τῶν παρὰ Σῦ δομάτων.
Τύνη καὶ αὖθίς με ἐσίτισας, ὦ Προνοητά!
Κοινὲ ἅπασι Τροφεῦ!
Χρηστὸς δ' ὢν Σὺ προμηθεύυ καὶ λοιπὸν ἐμεῖο,
Κύριε παντόκρατορ!
Αὐτὰρ ἐγὼ τίοιμι Σέ, εὔνοον εἰς ἔμ' ἐόντα
Κἀγαθοποιὸν ἀεί. —
Κείνοις δ', οἳ μετὰ Σὲ βρῶμ' ἢ πόμα, ἤ τι καὶ ἄλλο
Μοι δόσαν ἐσθλὸν ἐόν,
Εὐμενέτης ζωήν ποτ' ἀείναον ἀνταποδοίης,
Νῦν δ' ἐπὶ γῆς ἀγαθά·
Ναί, Πάτερ! ἐσθλὰ πόροις πάντεσσι μάλ', ἐσθλὰ παρασχεῖν
Οὓς ἐδίδαξας ἐμοί.
Καίτοι γ' ὤνθρωποι τῶν ἐσθλῶν ὄργανα μᾶλλον,
Ἐσθλοδότης Σὺ μόνος. —

Δὸς δ', ἃ εὐφρονέων μοι ὤπασας ἡδέα γευθμῷ,
Ἔμμεν ἅμ' ὠφέλιμα·
Ἡ ληφθεῖσα τροφὴ, Σέθεν εὐλογέοντος, ἐμαυτȣ
Λυσιτελοῖ φύσεϊ!
Σεῖο δὲ μεμνῴμην τȣ δόντος, καὶ παρέχοντος
Ξυμφερέμεν τὸ δοθέν.
Σοίγ' ἤτω σέβας εὐχάριτον, Μονὰς ὦ Τριπρόσωπε!
Καὶ γέρας ἠδὲ κλέος! —

Ἄλλη πρὸ τȣ δειπνοποιεῖσθαι εὐχή.

Κτίστορ κὴπιμελητὰ κεδνὲ ἡμῶν,
Καὶ ὧν λαμβάνομεν, δοτὴρ ἐάων,
Οὐ τῶν πνευματικῶν γε μȣνον, ἀλλὰ
Καὶ τῶν σωματικῶν, Θεὸς τριλαμπές!
Τὴν πολλὴν ἄγαμαι, φρεσὶν ἀναγνȣ̀ς,
Τὴν ἐκ Σȣ̃ χάριν ἠδὲ χρηστότητα
Εἰς ἡμᾶς καταβᾶσαν, ὡς ἀφειδῶς! —
Σȣ χαίρων δέχομαι, Πάτερ! τὰ δῶρα,
Ἐκ πάσης κραδίης Τὶν εὐχαριστῶν,
Ἀνθ' ὧν μοι Σὺ πρόφρων δίδως καὶ αὖθις.
Σὺν τῇ εὐλογίῃ καὶ εὐμενείᾳ
Τῇ Σῇ, ὦ Θεός! ἐσθίοιμι· πρὸς Σȣ̃
Μοι ἀρκοῖ ὀλίγον περ· ὠφελοῖ με
Χρῆσις νηφαλίη τροφῆς πρεπȣ́σης·
Λῷστον δ' ἡ μετρίη ἀεὶ δίαιτα. —
Πεινῴην δὲ Σέθεν μάλιστα πάντων,
Διψῴην Σέθεν, ὦ Θεός! πρὸ ἄλλων·
Προσθήσεις τότε μοι Σὺ καὶ τὰ λοιπά.
Εἴη μοι τόδε Σȣ̃, Πάτερ! δι' Υἱȣ̃
Τȣ̃ ζῶντος μετὰ Σεῖο Πνεύματός τε
Ἠδ' ἄρχοντος ὁμῷ κράτει ἐς αἰέν. —

Ἄλλος μετὰ τὸ δειπνοποιήσασθαι ὕμνος.

Τῶν πρὸς Σῦ κεχαρισμένων,
Ὦ παμβῶτι Τριάς! νῦν ἀπέλαυσα μέν·
Ποιῦμαι δ' ὁσίην χάριν,
Ἀνθ' ὧν μοι ἀγαθῶν καὶ πάλιν ὤπασας.
Ὦ πανδῶτα Θεός! μένε,
Οἵῳ ἀμφ' ἔμ' ἀεὶ χρηστὸς ἔῃς τρόπῳ
Πρόσθεν, καὶ ἔτι ὕστερον,
Μὴ ποιῶν κατ' ἐμάς μοί ποθ' ἁμαρτίας.
Μιμνήσκων δὲ Σὺ νῦν ἐμὸν
Χρείυς, εὐχαρίτως λαμβανέμεν δίδυ
Πᾶν ἐσθλόν με τὸ πὰρ Σέο,
Γεύεσθαί τε καλῶς, μή ποτ' ἀμνήμονα
Σεῦ τῦ δόντος ἐκεῖνά μοι,
Καὶ σώζοντος ἐμὸν σῶμά τε πνεῦμά τε. —
Αἶνος Σοί, ἀγενὲς Γονεῦ!
Αἶνος Μυνογόνῳ Κήκπεπορευμένῳ!
Αἶνος τῷ Ἑνὶ ἐν Τρισίν,
Τρισσὸς τῇ Μονάδι, τῇ Τριάδι ἔεις! —

Ὕμνος ἑσπέριος.

Τοῖς ὖσιν ὐσίη, Θεός! ζόη δὲ τοῖς
Ζῶσι, λόγος τε πάλιν
Τοῖς ἐλλόγοις, ὅλοις δ' ὅλον
Καὶ πᾶσι πᾶν, ἀρχηγέ, ὧν ἐκτήμεθα,
Αἴτιε τῶν ἀγαθῶν
Τοῖς τ' εἰδόσιν Σὲ τοῖς τε μή!

Σὲ γλῶσσα δοξάζει ἐμή, Σοὶ φρὴν τελεῖ
Ἄψοφον εὐλογίην,
Σοὶ οἶδα κηρόθεν χάριν,
Ὅς προςτέθεικας αὖθις ἴλεως ἴον
Ἤμασιν ἦμαρ ἐμοῖς,
Εὐεργέτης καὶ σήμερον.
Ἐπαινετὸς Σύ, ὦ Πάτερ! δι' ὅσσα δὴ
Εὖ ὑπὸ Σῦ ἔπαθον
Καὶ τήνδε γ' αὖ παρ' ἡμέρην. —
Σύγγνωθι δ', ὁππόσ' ἐν λογισμοῖς ἤμβροτον
Λήμασί τ' ἐνδοτέροις,
Ἔπεσσι καὐτοῖς ἔργμασιν·
Ἄφες τὰ σήμερον πάλιν μοι πταίσματα,
Μικρά τε καὶ μεγάλα
Συγγνὺς ἄφες μοι πτώματα.
Ἀνάξιος μὲν εὐμενείας εἰμὶ Σῆς,
Κύριε παντοδαές!
Ἀπειστέων Σοὶ τοσσάκις.
Καὶ ὣς δέ μοι πραῢς γενῦ καὶ ἤπιος,
Ἠδ' ἐλεητικός, ὗ
Σὲ λίσσεται ὀφειλέτυ. —
Σοὶ δ', Ὦνα! βύλομαι ἀπαὶ τῦ νῦν ἐγὼ
Πιστοτέρῃ προςοχῇ,
Ἢ δεῦρ' ἀεί, δυλευέμεν.
Δὸς δ' ἰσχύειν, ὃ λῇς ποιεῖν με, πρὸς δέ μοι
Τάξον, ὅσ' εὐδόκιμα
Ἐνώπιον Σῦ καὶ φίλα.
Ἰσχυρέ! ἀσθενεῖ Σύ μοι ἐπάρκεε·
Σεῖο γὰρ ὐδὲν ἄτερ
Ὁ ἀδρανὴς δυνήσομαι.
Ἀφεὶς τά μυ ἔμπροσθεν ἀμπλακήματα,
Λοιπὸν ἀπ' ἀμπλακιῶν

Κακῶν τε πάντων σῶζέ με.
Ἐν Σοὶ δ' ἐγρηγοροῖμι, ἐν δὲ Σοὶ πάλιν
Καὶ καθυπνοῖμι, Θεός!
Ἐν Σοί με ζῆν δὸς καὶ θανεῖν. —
Τάδ' εὔχομαι Σὲ νῦν· ἀτὰρ Σὺ κέκλυθι
Εὐχομένοιο, Πάτερ
Ἠδ' Υἱὲ κοινῇ Πνεῦμά τε! —

Ἄλλος ὕμνος ἑσπερινός.

Ἥλιος μὲν ἀπῆλθ', ἐπὶ δὲ κνέφας ἤλυθε νυκτός·
Προῆλθον αὖθις ἀστέρες.
Πάντα τὰ ἐν κόσμῳ καταδύμεναι ἠελίοιο
Δίκην πέφυκε, καὶ σκότος
Πάντα ποτ' ἄνθρωπον, καὶ ἐμεὶ δέ ῥα, ὄσσε καλύψει,
Χὠ τῦ τάφυ μ' ἕξει ζόφος.
Ἡλίυ δὲ δέμας ἀναδυσόμεθ' αὖθις ἅπαντες,
Θανύμενοι μὲν ὐκέτι,
Ἀλλ' ὐ ξύμπαντες βίοτόν τε τόπον τε τὸν αὐτὸν
Μετ' ἄνστασιν νεμύμενοι·
Κακὴ μὲν γὰρ ἐκεῖ τοῖς ἔνθα κακοῖσι τέτυκται
Μονή τε καὶ κατάστασις·
Οἱ δ' ἐνταῦθα καλῶς βεβιωκότες ἠδὲ δικαίως,
Οἱ εὖ θανόντες ἐνθάδε,
Λαμπροφαεῖς ἥξυσι πρὸς ἀστέρας, ἠδ' ὄψονται
Θεῦ πρόσωπον πάντοτε. —
Εἴθε μὲν ὖν καλῶς εἴη βεβιωμένον ἦμαρ
Καὶ τῦτό μοι καὶ ἄλλο πᾶν!
Ἀλλ' ὁ ἐμὸς φαῦλος βίος εἰσέτι, ὐδὲ τοιῦτος,
Οἷος δύνασθαι Σοὶ ἁδεῖν,

Δέσποτα παντοκρατὴρ! τόσον αἰὲς ἀτάσθαλος ἤμην,
Τόσον τε εἰς Σὲ ἤλιτον!
Κακὸς ἐς ἐσθλὸν ἔον Σέ, περὶ στέργοντ' ἄστοργος,
Σοὶ Πατρὶ υἱὸς δύςτροπος!
Μὴ τιμωρήσῃ δ' υἱὸν καὶ νῦν ἔτ' ἀπειθῆ,
Καὶ τήμερον σκληραύχενα·
'Αλλά, τόσος περ ἐών, Πάτερ ὦ, μοι συγκατάβηθι
Εὐίλατος τῷ πλημμελεῖ·
Καὶ ὁ πλάσας μ' ἐλέησον, ἐπεί, κἐι κακὸν ὁρᾷς νῦν,
Σὸν χρηματίζω πλάσμ' ὅμως!
Πρᾴως δὴ Σὺ μὲν εἰς ἔμ' ἔχοις συγγνωμονικῶς τε,
'Εγὼ δ' ἄρ' εἰς Σὲ εὐσεβῶς
Τȣ̃ λοιπȣ̃ γȣ̃ν· αὐτὰρ ἐμεῦς ἀκέσαιτο τὸ φαῦλον
Τὸ πρόσθεν ἡ Σὴ χρηστότης!
Τάμ' ἐπανορθῶσαι δὸς σφάλματα, δὸς μεταγνῶναι
Πταίσαντα πολλὰ ποικίλως!
Δὸς δι' 'Εαυτὸν 'Εὴν τάλανι χάριν ἐξιλεωθείς,
῾Ης αὐτὸς ȣ̓κ εἴμ' ἄξιος!
Μὴ παύσῃ μ' εὖ δρῶν, δράσαντά περ ἄστοχα συχνά·
Φεῖσαι δὲ καὶ κακεργέτȣ!
'Ηΰτε δ' ἠέλιον κοινῇ, ἔλεον Τεὸν ἡμῶν
Πρόφαιν' ἑκάστῳ κἀδίκῳ. —
Σῆς δὸς ἐπ' εὐνοίας μ' αὖθις καὶ Σῆς ἐπ' ἀμύνης
Καὶ τήνδε νύκτα εὕδεμεν.
'Εν πραπίδεσσι δ' ἐμαῖς καὶ νύκτωρ, ὦ Θεός! εἴης,
Εἴης ἐμῇ ἐν καρδίῃ.
Σωματικῶν καὶ πνευματικῶν με σκέπαζ' ἀπὸ δεινῶν,
῞Υπνȣ τε δῶρον εὐλόγει.
Καὶ ἐναμαρτήτȣ πέρ μευ προφρόνως ἐπάκȣσον,
Τύχοιμί θ', ὧν Σε λίσσομαι.
Τὸν νοερὸν θάνατον καὶ τὴν ἐπέκεινα γενοίμην
'Αχλὺν πεφευγὼς τὴν ἀεί! —

Αὐτοκράτειρα Τριάς, Γενέτορ, Γέννημα, Πρόβλημα!
Εὐεργετημάτων ὕπερ
Τῶν παρὰ Σοῦ καὶ πρὶν καὶ νῦν καὶ ὕστερον αὖθις,
Χάρις Τὶν ἠδ' εὐδοξία! —

Ὕμνος, εἴ ποτε νυκτὸς ἐξυπνίζοιο, βραχύς.

Ἡ Μονὰς ἡ ἁγίη τε μάκαιρά τε δοξολογείσθω,
Μέγ' εὐλογείσθω πάντοτε
Ἡ Τριὰς ἡ ἄτομος!
Τὴν μὲν ἐπαινείτω ὑπνοῦντος ἐμεῖο ἑκάστη
Καὶ εἰσπνοὴ κἀναπνοή,
Σφυγμός, ὄνειρος ἅπας!
Τὴν δὲ διυπνισθεὶς πρώτην νοέοιμι, λαλοῖμι
Καὶ προσκυνοῖμι, πᾶς δ' ἅμα
Γρηγορέων μετ' ἐμοῦ!
Ἡ γεραρὴ με Τριάς, θανάτῳ ποτὲ κοιμηθέντα,
Ἐγειράτω, ἀειναεῖ
Φωτὶ χαρησόμενον! —
Δόξα δ' ἀειχρόνιος Πατέρι τῷ ὑψιμέδοντι,
Ἴση δὲ Υἷι δόξα καὶ
Πνεύματι τῷ ἁγίῳ! —

Ἄλλος τοιοῦτος ὕμνος βράχιστος.

Ὦ Θεός! αἰνετὸς αἰὲν ἔοις,
Κτιστικέ, τακτικέ, προστατικὲ
Καὶ προνοητικὲ τῶν συνόλων!
Ταῖς λογικαῖσι τέλος φύσεσιν,
Ἠδ' ἀγαθὸν τὸ ἀπειρέσιον! —
Αἰνετός, ὦ Θεός, αἰὲν ἔοις! —

Ὕμνος μεσονύκτιος, θεοσεβοῦσιν εὔχρηστος τοῖς καθεύδειν μὴ δυναμένοις, ἢ μὴ βουλομένοις.

Εὕδουσιν, γλυκερῷ, οἱ πλεῖστοι, χρώμενοι ὕπνῳ,
Νύκτα δι' ἡσύχιμον·
Παυσάμενοι φθόγγων, καμάτων λήξαντες, ἐν εὐνῇ
Ζῶά τε καὶ μέροπες·
Κωφὰ τὰ τῶν πτηνῶν, φιλαοιδά περ ὄντα, καθεύδει
Ἔθνεα ὑμνολόγα·
Ἀνθρώπων δ' ὀλίγοι κατὰ νύκτα φρενήρεές εἰμεν,
Μνησίθεοι ὀλίγοι.
Ἀξιοθαύμαστος δὲ Σὺ κἀξιεπαίνετός ἐσσι
Καὶ ἐνὶ νυκτί, Θεός!
Νυκτὸς Σὺ πλαστὴρ καὶ ἤματος ἔπλευ ὁμοίως,
Ἀμφοτέροιν Σὺ μέδων·
Ἡμείων δὲ Σὺ ἠμὲν ἐπ' ἤματος ἠδ' ἐπὶ νυκτὸς
Ἶσα πάνυ προνοεῖς·
Σὺ ξυνοχεὺς, σωτὴρ, κεὐεργετικὸς μελεδωνεὺς
Νύκτιος, ἠμάτιος.
Ἄξιος οὖν τιμῆς καὶ νύκτωρ, ὦ Θεός! εἶ Σύ,
Ἄξιος εἶς ἀγάπης.
Παντί ῥα ἐν καιρῷ Σὺ μὲν αἰνετός, ὢν ἀγαθός τε
Κἀγαθοποιὸς ἀεί. —
Κοιμηθέντος δὲ θνητῶν ἀριθμοῖο τοσοῦτου,
Προσκυνέω Σὲ ἐγών·
Ἐγρήσσων δ' ἀκμὴν Σοι τυγχάνω, ὦ περίσεπτε
Κἄσπετα καλὲ Θεός,
Ἀξιέραστε λίην, χ' ὑπὲρ ὃν τρόπον ἔστι μ' ἐρᾶν Σεῦ,
Ἀξιότιμε λίην!
Ἀντί νυν αἰνέσεως Σοὶ εἴη τῆς παρὰ πολλῶν
Τοῦ ἑνὸς εὐλογίη.

Δέξαι ἁμαρτωλῶν ἀπὸ χειλῶν, δέξαι ἀνάγνȣ
Αἶνον ἀπὸ κραδίης.
Αἶνος Σοὶ ἤτω τῷ ἡμῖν δόντι τὸ εἶναι
Ζῶσί τε καὶ νοεροῖς!
Αἶνος Σοὶ ἤτω, ἡμῶν προνοητὰ φέριστε,
Ἠδὲ κράτιστε Πάτερ!
Αἶνος Σοὶ ἤτω, ὃς καὶ ἀπολωλόσιν ἄμμι
Ῥῦσιν ἀνεῦρες ἔτι!
Αἶνος Σοὶ, δι' ὅσας καὶ ἑκάστῳ καὶ ἅμα πᾶσιν
Ἄμμι πόρες χάριτας!
Αἶνος ἀείνως Σοὶ, ὁτιὴ Σύγε καὶ καθ' Ἑαυτὸν
Πάγχυ ἐπαινετὸς εἶς! —
Ἀλλ' ȣ̓κ ἰσχύω Σέγε, ὡς καὶ ἄξιός ἐσσι,
Ὦ Θεός! εὐλογέειν.
Αἶνος ὁ ἐξ ἐμέθεν, βληθεὶς ἐς ἀπείρονα μικρὸς
Ὠκεανὸν σταγετός!
Οὔπως καὶ πολλοὶ ἱκανῶς γε Σὲ ἕξομεν αἰνεῖν,
Οὐδὲ πρόπαντες ὁμȣ̃.
Αἰνȣ̃μέν ῥά Σε τῷ γνῶναι, ὡς ȣ̓δαμὸς εἰς Σὲ
Ἄρκιος αἶνος ὅλως.
Τῶν δὲ περιγράπτων πρὸς τὸν Παναπείριτον ȣ̓δὲν
Σύμμετρον, ȣ̓δὲ λόγος. —
Ἀλλ' ὅσσῳ ἡμεῖς γ' ἐς ἔπαινον ἐλάττονές εἰμεν
Τὸν Σόν, ἄπειρε Θεός!
Τόσσῳ καὶ μᾶλλον Σὺ μὲν ἀξιοτίμητός τε
Κἀξιέπαινος ἀεί!
Ἀνθρώπων νυ τόπῳ, ἔθ' ὕπνῳ ἀναπαυομένων, Σὲ,
Ἔν τε μέρει καὶ ἐμῷ,
Πᾶν τὸ μάκαρ σύστημα σέβοι τῶν ȣ̓ρανιώνων,
Ἠδέ Σε εὐλογέοι!
Τοὶ γȣ̃ν ȣ̓δεμιῇ ὕπνȣ δάμνανται ἀνάγκῃ·
Αἵ δ' ἐγρηγορότες

Θαυμάζυσι τὸ Σὸν κάλλος, φιλέυσι τὸ χρηστόν,
Καὶ Σὲ φρονῦσι μόνον.
Ἔνθα μὲν ἀγγελικαὶ δυνάμεις φύσιές τε ἄνυλοι,
Οὐσίαι ἁγνόταται,
Πολλὸν ἀγάλλονται ἐπὶ Σοί, ξυνεῦσαι ἀπείρῳ
Πνεύματι πνευματικῶς·
Ἔνθα δὲ καὶ ψυχῶν καθαρῶν, ἐπὶ καιρὸν ἀσώμων,
Μυριάδες μάκαρες
Εὔκηλον διάγυσ' αἰῶνα, σεσωσμέναι, ἐξ ὧν
Ὧδε πέλυσι πόνων,
Σοὶ ξυνεχιζόμεναι, εὐφραινόμεναί τε συνεστοὶ
Καὶ φιλότητι Τεῇ.
Ταίγε τοι ἔγνωσαν Σὲ, καθὼς ἐγνωσμέναι εἰσίν,
Ἠδ' ἀγαπῶσι πλέον
Ἡμῶν τῶν τόδε τὸ χθόνιον σκότος ἐνναιόντων
Καὶ τόδε σῶμα βαρύ.
Τάων ὖν ἱερῇ Σοὶ αἴνεσις ἀντὶ ἐμῆς γε
Εὐλογίης ἀρέσαι·
Τάων δοξολόγυς στέργων, Ἄνα! δέχνυσο ὕμνυς,
Νωλεμὲς ᾀδομένυς·
Τάων πληρῶσαι ἀρετῇ πᾶν τὐλλιπὲς ἡμῶν
Τῶν ἔτι γῆς ναετῶν.
Ναίχι, Σὲ ἀγγελικοί τ' ἀνθρώπειοί τε σέβοιντο
Οἱ καθύπερθε νόες·
Οὐράνιαι πρὸ ἐμῦ πρό τε πάντων Σοὶ καταθνητῶν
Αἶνον ὑποστάσιες
Εὐσεβέσιν, καθαροῖς, νοεροῖς στομάτεσσι διδοῖεν,
Αἶνον ἀειλιβέα! —
Ὦ Θεός, ἀπροσίτῳ ξὺν τοῖς παρὰ Σοὶ Μακάρεσσι
Χρώμενε ὕψι φάει,
Καὶ νυκτὸς μὲν ἄγευστε ὅλως, ἔμπειρε δὲ μύνυ
Ἤματος ἀϊδίυ!

Ἐξ ὄρφνης ποτὲ τῦδε βίυ με ἀνέλκυσον εἰς Σὲ,
Ἀχλὺς ὅθ᾽ ὐδεμία,
Ὡς κἠγὼ ἅμα Σοῖς Ἁγίοισιν ἄϋπνος ἄπαυστον
Σοὶ μέλος ἀποδιδῶ. —
Πάντα Σὲ κυδαίνοι τά τ᾽ ἐν ὐρανῷ ὄντα τά θ᾽ ὧδε
Καὶ τὰ καταχθόνια·
Τιμὴν καὶ δόξαν Σοί, Κύριε! πάντοτε πάντη
Κτίσματα πάντα φέροι! —

Εὐχὴ ὑπερ τῦ κατὰ Χριστὸν εὐθανατεῖν.

Τῦ εὖ τελευτᾶν κεῖνο πόρος σχεδὸν
Μῦνος, τὸ ὀρθῶς καὶ κατὰ τὸν Θεὸν
Καλῶς διάξαι πάντα τὸν ἐνθάδε
Αἰῶνος ὁλκόν· τοῖον ἐκεῖ λάχος,
Ἐνταῦθα οἷος τῦ βιότυ τρόπος.
Ἥκιστα καλὴν εἶδε καταστροφὴν
Φαύλη ἐῦσα πρόσθεν ἀναστροφή.
Ἡ μοῖρα καρπῶν τῶν ἐνὶ τῷ βίῳ,
Ἐσθλῶν μὲν ἐσθλός, τῶν δ᾽ ἄρ᾽ ἐναντίων
Κακὸς θερισμὸς τοῖς πεφυτευκόσιν. —

Ταῦτ᾽ ὖν κατειδὼς, πῶς καλὸν ἐλπιῶ
Ἦμαρ γενέσθαι τὐσχάτιον ἐμίν;
Οὐκ εὖ βιώσας τὰ μέχρι δεῦρ᾽ ἔτη,
Τῦ εὖ θανεῖν πῶς ἀντιάσω ποτέ;
Τοῖς εὐβίοισι πλειστάκι τῶν βροτῶν
Μῦνοις ἀπήντησ᾽ εὐθάνατος τύχη·
Οἱ δ᾽ ἐν βροτείῳ φαυλόβιοι ὁδῷ,
Καλῆς τελευτῆς ὡς σπάνιοι τύχον! —

Οὐ μὴν ἀθύμως ȣ̓δ' ἀπόρως ἔχω
Πάντως, καὶ ἁγνȣ̃ δευόμενος βίȣ,
Ἀλθῆος ὄντος, δυναμένοιό με
Καὶ νῦν ἔθ' ἁγνὸν σῶν τε καθιστάναι·
Μᾶλλον γὰρ ἔκ Σȣ τῆς χάριτος, Θεός!
Τῆς μ' ὠφελȣ́σης, ἥεπερ ἐξ ἐμȣ̃
Αὐτȣ̃ ἐολπὼς, τἆλλά τε προςδοκῶ
Κεὔποτμον ὥρης τῆς πυμάτης ῥοπήν·
Οὔτοι θέλων τις σώζεται, ȣ̓ τρέχων
Αὐτὸς δι' αὐτȣ̃, ἀλλ' ἐλεȣ́μενος,
Καὶ τυγχάνων Σῆς, Δέσποτα! ἐκλογῆς.
Ἐν Σοῖσι κεῖται πάνθ' ἅμα γȣ́νασιν·
Ἐκ Σεῖο παντὸς πᾶν κρέμαται τέλος
Καιρȣ̃ ἰδ' ἔργȣ, κἀπόβασις καλὴ
Πρὸς Σεῖο τέλλει τῶν μεροπηΐων.
Ἡ πᾶσα ἐν Σῇ ἔστ' ἀγαθωσύνῃ
Θνητοῖσιν ἐλπὶς, τȣ̃ Ἐλεήμονος·
Οὐδὲν δ' ἄελπτον κȣ̓δὲν ἀνήνυτον
Εἰν ὄντι χρηστῷ πανσθενέϊ Θεῷ. —

Τῇ Σῇ ἄμειψαι οἰκτοσύνῃ, Πάτερ!
Μȣ τὴν βεβαίην εἰς Σὲ πεποιθίην.
Ὡς ἡ ἀλιτρὸς, γνώριμος ἐν πόλει,
Ὡς αὖ δεηθεὶς Σȣ̃ ἐλέȣ λάχεν
Ληστὴς κακȣ̃ργος, χ' ὑστάτῳ ἐν χρόνῳ,
Οὔτω φιλόφρων, ἐγγὺς ὅταν μόρος,
Μνήσθητι κἠμȣ̃ εἰς ἀγαθὸν κακȣ̃! —

Ἄσκευον αἴφνως κἀνεπιτήδεον
Ἔνθεν, λιταίνω, μή μέ ποθ' ἁρπάσῃς·
Κἀδ' δ' ἀλλαγῆναί Σοι μεταγνόντα με,
Πρὶν ἢ ἐπελθεῖν μοι τὸ χρεὼν, πόρε.

Ἰρὴν μενοινὴν ἠδ᾽ ὁσιώτερον
Ἔνθες φρόνημά μοι, τά τε ἄλλ᾽ ὅλα
Εἴην τὸ λοιπόν μοι Σέο δεύτερα.
Εὔκαρπον εὕροις μ᾽ ὀψέ γε, κἀγαθὰς
Φύσαντα ἐν Σοῖς πρήξιας ὄμμασιν! —

Δέξαι, Πάτερ, Σοὶ τοῦ ἱκανοῦ δότας,
Χριστόν τε καὶ τοὺς πάντας, ὑπεὶρ ἐμοῦ,
Τούτου ἑταίρους, οἷς περιώσια
Κεῖται τὰ κέρδη τῶν καλοκἀγαθῶν
Ἐνταῦθα ἔργων· τοίγε τὰ κεινά τε
Καὶ φαῦλ᾽ ἐνηεῖς ἐξακέσαιντό μου! —

Τοίας προπάσας τεῦχε περιστάσεις
Τὰς ἀμφ᾽ ἐμεὶ, ὥς μ᾽ εὐθανατεῖν ποτέ.
Ἧττον μὲν ἦν Σοὶ εὐβίοτος, Πάτερ!
Αὐτὴν δὲ δός μοι τήνδε δι᾽ αἰτίην,
Εὐχῇ ἱλασθεὶς, εὐθάνατον τέλος,
Ὅπως Σὲ τίσω τηνόθι γ᾽ αἰνέσας,
Ἐνταῦθ᾽ ὀκνήσας ἤθεσι δοξάσαι. —

Ζωῆς τὸ μέλλον γοῦν Σὸν ἔοι ἐμῆς·
Σὸς, Σὸς γενοίμην, ζῶν τε θανών τε Σός!
Πάντ᾽ εὐτυχές μοι τέρμα βίου πέλοι,
Μᾶλλον δὲ ἀρχὴ ἀϊδίου ζόης
Αἴνου τ᾽ ἀλήκτου, Σοί, Μονούσιε!
Μέλλοντος ἔκ μου τῆς φάρυγος ῥέειν. —

Ἐκ παντὸς ἔστω καὶ ἐπὶ πᾶσι Σοὶ
Κῦδος σεβασμός τ᾽, ὦ Τρισυπόστατε! —

Ἐπίλογος εὐκτικός.

Βλάστοι, καὶ γὰρ ὀφείλεται,
Ἐκ βυσσȣ̃ κραδίης μευ χάρις Ἀμβρότῳ,
Ῥωστὴρ μοι ὃς ἔην εὐμενικὸς ταῦτα πονȣμένῳ.

Ναὶ, δόξ' Ἀθανάτῳ πέλοι,
Ἀνθ' ὧν μοι συνέπρατт' ἠδὲ συνήρετο,
Ῥέξαι ἱεμένῳ καὶ ἀνύσαι δυςμαρὲς ἔργον ὄν.

Δέλτος νῦν μὲν ἔχει πέρας·
Οὐ μὴν, εἴ τι καλῶς τευχθὲν, ἐμὸν τόδε·
Σμικρῶν γ' ἴσα Θεὸς τῶν ἀγαθῶς καὶ μεγάλων
δοτήρ.

Νηκερδῆ δέ γ' ὀΐομαι,
Ἰθεῖαν μετόχῳ τὴν φρένα, μηδενὶ
Δεῖξαι, τοῖα καμών, μηδέ τῳ, εὖ χρησαμένῳ,
κακά.

Εὕροι ȣ̃ν ἐπιεικέας
Ῥήσει φθεγγομένη βίβλος ἀχαϊκῇ,
Μὴ πᾶν δερκομένȣς ὀξὺ ἄγαν, μὴ χαλεπȣ̀ς κριτάς.

Ὕμμιν γ', οἷςτισιν ἥδιον,
Λιτάς περ, μαθέειν ἑλλαδικῇ λιτὰς
Βωστρȣ̃σας λαλίῃ, τȣ̃το χρέει τεῦχος ἐπ' εὐσεβεῖ.

Ἴδρις δ' εἰ τάδε γ' ἧττον ἦν
Χρηστῷ πάντα τρόπῳ ξυνθέμεναι, καλῶν
Λειφθεὶς, ὧν ἔθελον, τȣ̃τ' ἐλέȣ ἄξιον, ȣ̓ ψόγȣ.

Εὖ δ' ὔμμ' ἔστι καὶ ὦς, φίλοι,
῾Ρέζειν εὐχομένυς, ἔστιν ἐμὰς λιτὰς
Ταύτας, ἐλλιπέας περ, φρενόθεν πλήρεας ἐκχέαι.

Ἴστ' ὖσαν δοκίμων μίαν
῾Ρίζαν, τὴν κραδίην· ἴεμεναι καλῆς,
Ὦται, ἐκ κραδίης ὔμμι λιταὶ χ' αἰ ἐμαὶ ὐ κακαί.

Λῷον μὲν πολὺ κεῖνό μοι
Ἦν καὶ χρυσότερον, τωὔτον ἀρώμενον
Συχνῶς, μὴ προλέγειν τοῖς ἑτέροις τἀμὰ προσεύγματα.

Ἰθὺς δ' εἶχέ με καὶ μένος,
Ὀξῦναι τὰ νοηρ' ὅπλα τὰ τῶν πέλας,
Συλλέξαι τε ταδὶ ἀλλοτρίῳ ἤϊα πνεύματι.

Φεισάσθω Θεὸς ἄφρονος
῾Ραθύμοιό τέ μευ, ὅς, κενὸς αὐτὸς ὤν,
Ἄλλυς σπεῦδον ὅμως πλυσιάσαι, ὥστε τις ὄλβιος!

Γνὺς ψυχῆς πενίην ὁ Ὢν
Καὶ τἄχρηστον ἐμῆς, εὐνοϊκῶς ἔχων
Ἶφι ξυμφερέμεν μοι διδότω ὑμά γε εὔγματα.

Σύμπαν παρτίθεμαι Θεῷ
Κὔμμιν τὖργμα, φίλοι μυ ἀναγνωστικοί!
Ἀσκήσαιτε λιτοὶ εὐσεβίην, μηδὲ λάθοισθ' ἐμεῦ.

Νήλευστος Θεὸς ὔμμι μὲν
Ὄλβον πνευματικὸν πάντ' ἀπονειμάτω,
Συγγνώμην δὲ ἐμοί, ὑμετέρων καρπὸν ἐπευχέων.—

Ἔκθεσις καὶ διερμήνευσις ἀσαφεστέρων τινῶν καὶ δυσνοήτων ῥημάτων θεολογικῶν, ἀναγκαίως προστεθεῖσα, μή πȣ παρεκδέξασθαι συμβῇ τι τȣ̀ς ἀμαθεστέρȣς τῶν τοιȣ́των. —

Ἔνθα δ' ἅμα πολλὰ καὶ ἄλλα διασεσάφηνται, ἥτις διασάφησις ἀπαιδευτέροις τισὶ τάχ' ȣ̓͂σι τῶν ἐντυγχανόντων δύναται εὐχρηστῆσαι, ἄλλως ἂν ἢ ἀγνοȣ͂σιν ἐκεῖνα, ἢ καταδεέστερον γινώσκȣσιν. —

NB.

Est hujus loci, ne alienis meritis ingratus videar, profiteri, editum a Doctore Valent. Christ. Frideric. *Rost* praeclarum Lexicon graeco-germanicum et germanico-graecum unâ cum praemissâ eidem D. Franc. *Spitzner* institutione prosodicâ mihi egregio usui exstitisse. Quod Lexicon qui possidet, facile carere poterit plerisque, quae infrâ sequuntur, vocum dialectorumque expositionibus, exceptis, quae theologici sunt generis, aut quae in illô Lexicô, maximê Scholis accommodatô, minus inveniuntur. Ceterum, ut praefatus sum, totum hunc indicem nonnisi illorum adtexui commodis, qui aut in Dialectis Formisque poëticis minus versati sunt, destitutique aptis, quos in hunc finem consulant, Libris, aut theologicarum vim notionemque denominationum atque expressionum minus perspectam certamque habent. Quare instructiores quique atque intelligentiores earum rerum Lectores me excusatum habebunt, nec vitio mihi vertent, quod vel illiteratiori vel imparatiori cuidam Lectorum generi aliquantum temporis ac laboris compendifacere volui. —

A.

ἄβυθος = fundo carens, immensum profundus.

ἀγάπη = dilectio, charitas; *Πνεῦμα Ἀγάπη*, Spiritus Amor, quia voluntatis dilectionisque principium Spiritui Sancto tribuitur.

Ἀγγελιώτης = *Ἄγγελος*, Angelus.

ἁγιάζω, ἁγιασμός, ἁγιαστής, ἁγιαστικός = sanctifico etc.

'αέ dor. = ἀεί, semper.

ἀειθερής = semper calefaciens, perpetuô aestu afficiens.

ἀειφλεγής = semper ardens.

'αΐ aeol. = ἀεί, semper.

αἰτιατός = a causâ profectum aliquâ, geurſacht.

ἀκυτίζω = audire facio; ἀκυτίζομαι, audio; constr. cum genit. et accus. LXX.

ἄλλαβε = ἀνάλαβε, suscipe, sursum rape.

ἀμ = ἀνά; ἄμ με ἐλπίζω κτήσασθαι, i. e., ἀνακτήσ..; et ejusmodi plura, praepositione a verbis sejunctâ, unô alterôve aut pluribus etiam vocibus interjectis. Item bis terque positâ praepositione a verbô separatâ, particulis conjunctivis et ordinativis intersertis, e. gr. ἐκ μὲν τῷ Θεῷ χρή, ἐκ δὲ καὶ τῷ ἱερεῖ τὰς ἰδίας ἁμαρτίας ὁμολογεῖσθαι, i. e., ἐξομολογ...

ἁμαρτέν dor. = ἁμαρτεῖν.

ἄμμες, ἄμμι, ἄμμε aeol. = ἡμεῖς, ἡμῖν, ἡμᾶς.

'Αμραμίδης = υἱὸς τῦ 'Αμράμ, i. e., Moyses.

ἀμφιτέμνω = περιτέμνω, circumcido, *sensu biblicô*.

ἀναίτιος = qui nullâ praecedente causâ effectus sit, qui efficientem sui causam minimê norit, qui per se exsistat sine primordiô, qui initiô careat; quod de solô Deô veraciter praedicatur, praesertim de Deô Patre, qui Sui, nedum causam, sed nec principium habeat ullum, licet Ipse, non creandô quidem, sed generandô atque emittendô sit principium Filii et Spiritus Sancti, ast principium absque initiô, ita ut Filius Spiritusque nunquam

inceperint esse, sed semper ex Patre atque in Patre exstiterint, aeternô Sui Principiô (Ihrem ewigen Urgrunde).

ἀνεγέρμων = ἀνεγερθείς, qui evigilavit, suscitatus est, resurrexit.

... ᾱο et .. ᾱων aeol. = ου et ῶν, v. c. ἀΐδᾱο, αὐτάων.

ἀνστ... = ἀναστ..., v. c. ἄνστασις, resurrectio.

ἄπειπαι imper. aor. I. med. abdica, recusa, respue, repudia; μηδ' ἄπειπαι ἡμᾶς, pro conj. ἀπείπῃ, secundum illud Homeri „μὴ χόλον ἔνθεο θυμῷ."

ἀπείριτον ὅσον = infinitum quantum, immensum quantopere, atque huic similia plura.

ἀποτέλεσμα = effectus; item perfectio, consummatio: τὸ ἅγιον Πνεῦμα πλῆρες καὶ παντελὲς τῆς Θεότητος ἀποτέλεσμα, Spiritus Sanctus consummator Deitatis, ut sit completa, atque, si ita dicere fas est, numeris omnibus absoluta.

ἀρχή = principium. Sic Deus Pater respectu Filii et Spiritus Sancti principium dicitur, non quasi His prior sive anterior, sed quia cogitandi natura et ordo prius Patrem, quam Filium et Spiritum Sanctum ponit, et quia ex Patre Hic natus, Ille emissus est, licet omnes Tres sint aeque aeterni aequalesque per omnia. Porro Spiritus Sanctus omnino a Patre Filiôque procedit, verum „*unâ Spiratione*," sive, ut Catechismus Romanus docet, sic ab Utrôque, „*tanquam ab unô Principiô*," quia divinus ille atque aeternus actus, quô cognoscentes Se diligentesque Pater et Filius Spiritum Sanctum prodire faciunt, ceu simplex dumtaxat et unus habetur actus.

αὐϑ . . . et *αὐτ* . . . in compos. Subst. et Adject. v. c. *αὐτόφως*, Urlicht; *αὐτάγαϑος* = per se bonus, selbstgut; *αὐϑάγιος* = per se suâque vi ac naturâ Sanctus (de Spiritu Sanctô), ad distinctionem angelicae atque humanae sanctitudinis, quae ex Ipsô participatur, et quam nullus per se atque ex se habet.

αὐτοϋπόστατος = *αὐϑυπόστατος*, per se subsistens, ut *κακοϋπονόητος* pro *καχυπ* . . . .

ἀφῖει imper. dimitte, remitte; idem et indic. pro *ἀφίησι*.

ἄφετος = dimissus, remissus, absolutus; *δίκη ἡ ἐξ ἀφέτων ἀστοχιῶν*, poena, quae post remissa licet errata, remanet, sensu catholicô; *ἄφετος ἁμαρτία*, peccatela, a quâ jam sis absolutus: item *ἄφετος* = remissibilis, erläßlich.

Γ.

γείνετο et *ἐγείνετο* poët. = *ἐγένετο*.

γεινόμενος = *γενόμενος*, natus, factus, — non confundendum cum *τῷ γεινάμενος*, qui genuit.

γέντο, *ἔγεντο* = *ἐγένετο*.

γεννητός = generatus, genitus, natus; *γεννητῶς*, generativô modô.

γέννημα = genimen, sive quod genitum, natum est. Id nominis Greg. Nazianz. Dei Filio tribuit respectu Patris, qui quidem Pater *τὸ μὲν ἀγένητον εἶναι* commune cum Filiô, *τὸ δὲ ἀγέννητον* proprium habet, increatus atque ingenitus generator nec facti nec creati Unigeniti.

Δ.

δέχνυσο = δέχυ, ab illô δέχνυμαι, i. e., δέχομαι.

δῆλα adverbialiter pro δήλως, sive mavis, pro δηλαδή = manifeste, aperte, — nempe, nimirum, videlicet.

δημιυργός = factor, creator, conditor.

δικαιοσύνη = justitia; nonnullis in locis pro *districtâ justitiâ* sive *severitate* valet, cui opponitur χρηστότης καὶ ἐλεημοσύνη, benignitas et misericordia: pari modô et τῷ δίκαιος aliquoties usus sum.

δίφυιος = duas habens naturas, de Christo.

E.

Ἔθην, ἔθης, ἔθη, h. e., indicativum secundi hujus, in reliquis suis modis ac numeris per omnia usitati Aoristi, metri causâ, i. e., ob breviorem suam et quibusdam versuum generibus accommodatiorem formam, hîc illîc etiam *singulariter* adhibui, licet nullius, quem ego legerim, graeci Scriptoris auctoritatem pro me citare possim, qui ejusdem mecum usûs exemplum reliquerit.

εἶμεν opt. = εἴημεν, simus.

εἰν, εἰνί, ἐνί epic. = ἐν, etiam in verbis, e. gr. ἐνισωματίζω, incorporo.

ἔϊσος, ἐΐσως = ἴσος, ἴσως, aequalis, aequaliter.

ἐκπέλει = ἔξεστι, licet.

ἐκπορευτός = qui prodiit sive egressus est: ὁ Ἐκπορευτός = Spiritus Sanctus, quando sacrosanctae tres Deitatis Personae ex distinctô Cujusque atque diversô subsistendi modô denominan-

tur. Ἐκπορευτῶς = emissivô, prolativô, processivô modô, quô Spiritus differt a Filiô, qui generativô modô subsistit (gezeugter Weise).

ἐλαχιστότερος = minor, inferior (rarior quidem, sed usitatus tamen Comparat. a Superlat. formatus.

ἔλλαβον, ἔλλαχον κ. τ. λ. = ἔλαβον etc.

ἐμεί dor. = ἐμέ.

ἐμεῦς aeol. = ἐμȣ̃.

ἔμμορα pro μέμορα, a μείρομαι = nactus, sortitus sum.

ἐν μακάρων = in Sedibus Beatorum.

... εν aeol. = ... ησαν v. c. ἐνέταφεν pro ἐνετάφησαν.

ἐναλήθως = in veritate, vero conformiter; ἡ ἐναλ. πίστις = vera sive veritati consentanea fides.

ἑνικός = unus, unicus, simplex, singularis; ἑνικὴ Τριάς = Trinitas, quae rursum sit unitas.

ἑνικῶς = uniter, singulariter: ἡ Θεότης ἐν τοῖς Τρισὶν εὑρίσκεται ἑνικῶς, Nazianzenus, i. e., Deitas in tribus Personis una esse invenitur, per Essentiae unitatem.

ἑνότης = unitas. Hôc ego vocabulô, non sine auctoritate, arbitror, atque exemplô SS. Patrum, de Deô usus sum συνωνύμως ἰσοδυνάμως τε τῷ Μονὰς, ὅπερ ἐπὶ τῆς θείας κατηγορεῖται φύσεως, ὅταν τὸν Θεὸν ὡς μίαν ὑπάρχοντα νοῶμεν καὶ κηρύττωμεν ȣ̓σίαν, καίπερ αὖ πάλιν ἐν τρισὶν ὑφιστάμενον Προσώποις. Εἴρηκα τοίνυν τὸ ἑνότης ἐπὶ τȣ̃ Θεȣ̃, ȣ̓χ ὡς ἑνὸς μόνȣ ἐν τῷ Θείῳ ὄντος προσώπȣ, ἀλλ' ὡς μιᾶς ȣ̓́σης τῆς τȣ̃ Θεȣ̃ φύσεως, καὶ ἐν τρισί περ γνωριζομένȣ καὶ δοξαζομένȣ Ὑποστάσεσιν. Τὸ μὲν ȣ̃ν

Τριὰς ἐπὶ τὰ Πρόςωπα τȣ̃ Θεȣ̃, τὸ δὲ ἑνότης ταὐτοδυνάμως τῷ μονὰς ἐπὶ τὴν ϑείαν ȣ̓σίαν ἤτοι φύσιν ἀνοιστέον. — Praedicatur item de Deô τὸ ἑνότης, ὅτι τὰ ἐν τῷ Θεῷ ἰσότης καὶ ταὐτότης καὶ ἑνότης πάντα, καί τοι ἐν Τριάδι ὑφισταμένῳ, ἰδιαζȣ́σης Ἑκάστης τῶν τρισσῶν Ὑποστάσεων κατὰ τὸν τῆς ὑπάρξεως τρόπον: salvâ Personarum trinitate, in Deô omnia unum.

ἔνσαρκος = in carne; ἡ ἔνσαρκος τȣ̃ Λόγȣ ἐπιφάνεια, aeterni Verbi in carne adventus.

ἐνυπόστατος = ἐν ὑποστάσει, i. e., in personâ sive qua persona existens atque subsistens, e. gr. ἐνυπ . . . σοφία, ἀγάπη = sapientia, charitas, quae non sit accidens atque inhaerens solummodo qualitas et affectio, sed quae propriâ naturâ vigeat polleatque, propriâ personalitate gaudeat et subsistat. Talis substantialis sapientia Dei Filius, talis substantivus amor Spiritus Sanctus est.

ἐνȣ́σιος = in essentiâ vigens, ut substantia propriam habens naturam, non ut fortuita habitudo in Subjectô exsistens: ἐνȣ́σιος ἀγάπη = essentialis amor, qualis de Spiritu Sanctô vel potius ipse Spiritus Sanctus praedicatur.

ἔον, ἔσκον jon. = ἦν, eram.

ἑός, ἑά, ἑόν = suus, a, um, quod idem nonnunquam et pro illô „meus ac tuus“ ponitur; non raro pro omnibus utriusque numeri personis tanquam universale Possessivum, sicut τὸ „ἴδιος“ Graecorum aut τὸ „proprius“ Latinorum, adhibitum invenitur acceptumque pro illis „noster, vester, illorum, illarum,“ ubi sermonis contextus ambiguitatem obscuritatemque excludit. Vid.

Apoll. Rhod. Argon. ap. Conrad. Gesner et Joann. Hartung in Lexicô sive Dictionariô graeco-latinô Basileae 1562. Confer et τὸ ὅς, ἥ, ὅν et quae ibi notantur.

ἐστώ, ὓς dor = ὐσία, essentia, substantia.

ἐΰς, ἐΰ et ἠΰς, ἠΰ = bonus, bonum; τὸ ἐΰ τῶν ἑάων = bonum bonorum, i. e. summum bonum.

ἐΰϊλατος = bene propitius, LXX.

εὐχέτα epic. = ευχέτης, precator, ut ἠχέτα pro ἠχέτης, sonax.

. . . εω gen. jon. = . . . ϋ, v. c. Ζεβεδαΐδεω, filii Zebedaei, i. e., Joannis.

ἔφθορα = corrupi, perdidi; item corruptus, perditus sum.

. . . έων gen. pl. jon. = . . . ῶν, v. c. ψυχέων, animarum, pro ψυχῶν.

Z.

ζόη jon. = ζωή, vita.

ζοΐα aeol. = ζωή, Leben.

ζώϊον poët. = ζῶον, animal.

H.

ἦα ep., ἔα jon. = ἦν, eram.

ἦεν, ἤην poët. = ἦ sive ἦν, erat.

ἡμή = ἡ ἐμή.

ἡ ’νθρωπότης pro ἡ ἀνθρ . . .

ἦσι et ἔησι = ἦ, sit; idem poët. usus in 3. pers. sing. conj. etiam alior. verbor., e. gr. ἔχησι pro ἔχῃ.

Θ.

Θέανδρος, Θεάνθρωπος = Deus-Homo, i. e., Christus, qui, incomprehensibiliter quidem atque inexplicabiliter, sed verê tamen ac prorsus certê, *in duabus*, quae in Ipsô distinguuntur, *naturis*, *Una* dumtaxat *Persona* est, sive mavis, *in unâ Personâ duae naturae*. Atque per hanc divinae et humanae naturae in Christô unionem, per hanc Personae in Illô unitatem, Humanitas quoque Ejusdem deificata noscitur, noscitur adoranda, tanquam inseparabilis a Divinitate, de quâ, utpote sibi unitâ atque unam secum eandemque Personam constituente, dignitatem participat, et ipsa divinae consors facta naturae, et ipsa in divinae conditionis sublimitatem eveeta. — Ceterum ὁ Θεὸς Λόγος factus est Θέανδρος, non Divinitate in carnem conversâ, sed assumtâ humanitate in Deum.

Θεανδρικός, ή, όν = deivirus, a, um, si ita dicere licet, a Deô-Homine profectum, ad Eum pertinens, Ei proprium, Eô dignum: vox SS. Patribus familiaris, *ad designandam qualitatem actionum Christi* earumque *pretium* metiendum, ut *infiniti* esse *valoris* non dubites, quidquid a Personâ, quae in se Deum hominemque concludit, gestum exantlatumque audieris.

Θέλημα = voluntas; Πνεῦμα Θέλημα, Voluntas Spiritus, de Sanctô Spiritu, quia Patris ac Filii reciproca Sui ab aeternô cognitio per tertiam Deitatis Personam in affectum atque amorem, voluntatis actum, abit; non quod Patri Filio ve τὸ θέλειν desit, cum *omium Trium idem* sit *esse*,

idem nosse, *idem velle*, *idem posse*, sed quod per Spiritum Sanctum omnis Deitatis perfectio plenitudoque absolvitur et consummatur.

Θευ . . . dor. = *Θεο* . . ., v. c. *Θευπάτωρ*, *θευμάχος* pro *Θεοπάτωρ*, Deus Pater, etc. Itemque extra compos. *Θεῦς* dor. pro *Θεός*.

θυτήριον = sacrum, sacrificium.

I.

Ἰεσσαΐδης = *παῖς τοῦ Ἰεσσαΐ*, i. e., David.

ἴκτης, *ἴκτωρ*, *προσίκτωρ* = *ἱκέτης*, supplex.

ἴος, *α*, *ον* epic. = *εἷς*, *μία*, *ἕν*.

ἱράομαι jon. = *ἱεράομαι*, sacerdos sum, sacerdotiô fungor.

ἱροργίη = *ἱερουργία*, sacrum opus, res divina, sacrificium.

ἱρεύς = *ἱερεύς*; *ἱρέα* pro *ἱερέα*, quamquam jonicum *ἱρεὺς* in accus. *ἱρῆα* postulet: sed quia vice versâ communis forma *ἱερέα* saepe apud Jones *ἱερῆα* scribitur, ausum a me contrarium excusabis. Lectoris veniâ item et illud eget, quod ad analogiam nom. propr. in *εὺς* desinentium *ἱρέος* atque *ἱρέες* metrô coactus scripsi.

ἱρόω = *ἱερόω*, sacro, consecro, sacrifico.

K.

κἀ . . . = *καὶ ἀ* . . ., e. c. *κἀνήρ* pro *καὶ ἀνήρ*; item *κἀ* . . . pro *καὶ ἐ* . . ., v. c. *κἀκεῖθεν* pro *καὶ ἐκ* . . .

καθαριστικός = purgativus; *κατάστασις ἡ καθαριστική*, status purgativus, conditio purifica, purgatorium, Reinigungszustand.

καλλαμβάνω = *καταλαμβάνω*, comprehendo, capio.

κάμ, ante *μ* pro *κάτ*, *κατά*, e. gr.: *κὰμ μὲν τὺς δυνατὺς εἶλεν ἀπὸ θρόνων*, i. e., *καθεῖλεν* etc.

καννυ... = *καταν...*, v. c. *κάννευσον* pro *κατάνευσ.*, annue.

καπφυγών = *καταφυγών*, qui confugit.

κή... dor. = *καὶ ἐ...*, e. c. *κήπί*, *κήπαθε* pro *καὶ ἐπί* etc.

κτίσασθαι, *κτισσάμενος* pro *κτίσαι*, *κτίσας*: quâ ego mediali formâ, apud Septuaginta obviâ, et ipse usus sum unô et alterô locô, sed haud ita perperam, cum et apud LXX et hîc suis in locis reflexionem agentis ad se, licet remotiorem, indicet et admittat, quod proprium esse Medii solet.

κτιστικός = creativus, creatorius, qui par et aptus creando est, qui valet et solet creare; et hujuscemodi Adjectiva in ... *ικός*, a Verbis formata et Genitivum regentia, plura in hôc opere occurrunt, sed nonnisi perpauca a me recenter efficta, et haec ipsa exact. ad analog. regul., ac forsitan non tam recens cusa, quam Lexicis non inscripta.

Λ.

λόγος = ratio, Vernunft; *ὁ λόγος τὺ γνῶναι ψυχικὸν ὄργανον, ἀλλ' ὐ πηγή*, i. e., humana ratio cognoscendi non fons, sed quoddam animae veluti instrumentum, id ferme animo praestans et conferens, quod oculus corpori; nam sicut corporalis cernendi sive videndi facultas lucis admittit radios et objecta distinguit, ita animae visus et oculus, ratio, aeternae Veritatis subtilius

lumen irradians percipit intus, atque in lumine istô, si non sit voluntariê lippa aut aegra, vera et falsa, recta et prava discernit, expetendasque res fugiendasque dignoscit. — Item λόγος = verbum. Verbum propriê acceptum cogitatus est, ἐς τὰ ἔξω prolatus sive perceptibili modô expressus, — distinctus ab internô illô ac tacitô et insensibili cogitatu, sed tamen et ipse cogitatus, verum externê manifestatus, internum illum cogitatum referens eique respondens per signa externa. Acceptâ hinc similitudine, respectu Patris Filius dicitur Verbum Ejusdem, ὁ προφορικὸς λόγος, ὁ ἐς ἀέρα λυόμενος προενεχθείς, αλλ' ἐνούσιος καὶ ἐνυπόστατος καὶ ἀπαράλλακτος, naturâ idem Patri, personalitate non idem. Ineffabili ratione Pater, qui ab aeternô Se cogitat et cognoscit, ab aeternô Se item et dicit, Seque dicendô Verbum, i. e., Filium gignit. — Porro λόγος graecê, latinê, quod suprâ habes, ratio quoque dicitur, quod itidem nomen Filio Dei verissimê tribuitur Eique aptissimê congruit tanquam primigeniae atque supremae Rationi ac Sapientiae substantivae: Er ist die Urvernunft, das Urlicht, das jedem Menschen, d. i., jeder von Ihm erschaffenen, und daher von Ihm bedingten, von Ihm abhängigen Vernunft leuchtet.

λειτουργία = publicum opus sive ministerium, publicum munus atque officium; Novae Legis unicum ac prorsus divinum Sacrificium sive Missa. — Λειτουργικός = quod ad hoc sacrum ministerium spectat, quod ad illud fit.

λαμπέτα epic. = λαμπέτης, lucens, luminans.

M.

μενί attic. = *μέν*.

μετά = cum; poët. constr. et cum Dativô.

μεταστοιχείωσις = transelementatio, de re in rem conversio, e. gr. panis et vini in christi corpus et sanguinem.

μέτοχος = consors, particeps; plerumque cum Genitivo, raro cum Accus. construitur: *καλὴν μοῖραν μέτοχος*, bonae sortis particeps, compos, bonam partem sortitus.

μετυσίοω = transsubstantio, in aliam substantiam verto;

μετυσίωσις = transsubstantiatio, in aliam substantiam transmutatio, de eucharisticô pane et vinô; *vocabulum dogmaticum* recentioris Graecitatis et Latinitatis, ab Ecclesiâ introductum, ad firmandum et signantius enuntiandum Dogma antiquitus traditum. Pessimô errore tenentur, qui ex novâ objecti denominatione, ex clariore ac meliore rei definitione, ipsum objectum, ipsam rem arbitrantur novam. Neque enim Ecclesia novum exinde Dogma statuit, sed *vetus Dogma novo* eodemque distinctius ac plenius designante *Terminô* comprehendit.

Μητρόθεος = Mater Dei, de Mariâ.

Μονάς = Unitas, Einheit, eig. solitas, Alleinheit, Alleinigkeit, Einzigkeit. *Ἰστέον δ', ὡς τὸ Μονὰς ἐπὶ τῆς φύσεως τῦ Θεῦ νοεῖται καὶ λέγεται, τὸ δὲ Τριὰς ἐπὶ τῶν ἐν τῷ Θεῷ Προσώπων ἤγυν Ὑποστάσεων ὀρθοδόξως πιστεύεται καὶ κηρύττεται.*

μυστηρὶς τελετή = mysterium, mysterii celebratio; *μυστηρὶς χρῆσις* = Sacramenti (sive Sacramentalis) usus.

μυστοδόκος = Mysteria continens, Sacramenta complectens; *ἑπτὰς ἡ μυστοδόκος* = septem Sacramenta.

N.

Νηλεγής = qui non curat, incuriosus, negligens alicujus; ex *νη* particulâ negativâ et *ἀλέγω*, pensi habeo, habeo rationem.

Ξ.

ξυνός, *ξυνόω* = *κοινός*, *κοινόω*, communis, communico.

ξυνάμφω = ambo pariter, unâ uterque.

O.

οὐκ = *ὁ ἐκ*, qui ex; *ἐκ Θεοῦ*, qui ex Deô est.

οὐσιόω = Substantiam efficio, Substantiam esse do, exsistere facio.

ὅς, *ἥ*, *ὅν* = suus, a, um, plerumque de tertiâ, verumtamen et de primâ atque secundâ personâ dicitur numeri singularis; quin etiam, rarioribus quidem exemplis, quasi generale Possessivum accipitur ac de pluralis quoque numeri usurpatur personis, quemadmodum et *τὸ σφέτερος* pro omnibus tam singularis quam pluralis numeri personis positum reperitur. Vid. Apoll. Rhod. ap. Gesner et Hartong; confer et *τὸ ἑός* ac ea, quae ibi notantur.

ὄχα = *ἔξοχα*, egregiê, excellenter, eximie, eminenter; in Superlativ. *ἀντὶ τοῦ μακρῷ*, *πολλῷ*,

longê, multô. Apud Homer. *μόνῳ τῷ ἄριστος* praepositum invenitur.

Π.

Παμπάτωρ = Omnipater, omnium parens; vox, quod ego sciam, haud occurrens in Lexicis, sed a me composita, *ἀναλόγως τῷ παμμήτωρ*.

πανήγυρις = congregatio, concio, coetus; *ὀφθαλμῶν πανήγ...*, quod omnium oculos suaviter afficit, ad se trahit (Strabo, ubi Tempe dilaudat); *ἐλπίδων πανήγυρις*, de Maria, quae christianorum communis spes est, ad quam se omnes convertant.

παργενέσθαι et *παρδεδόσθαι* = *παραγ...* et *παραδ...* advenisse, adesse, interesse, — traditum esse; item *παρκαλέω* pro *παρακ...*, exhortor, excito; itemque et alibi *πάρ* pro *παρά* tam ut praepos. quam in compos.

παρίσχω = *παρέχω*, praebeo, praesto, exhibeo, facio, reddo.

πελάστης, πελάτης, προςπελάτης (*πελάζω, πελάω*) = qui alicui appropinquat, aliquem adit commendationis consequendae atque opis impetrandae causâ, cliens, rogator, petitor.

περίτμησις = circumcisio vel potius actus circumcidendi.

περιχωρέω = circumeo, circumferor: *vox theologica*, quâ trium sacrosanctarum in Deitate Personarum alîus in aliâ sine commixtione et confusione exsistentia atque inhabitatio denotatur, ut in essentiae unitate noscatur atque credatur Personarum inter Se distincta proprietas. Pro illô *πε-*

ριχωρεῖν usus theologicus habet etiam ἐμπεριπατεῖν, i. e., in se circumambulare sive inambulare: quae item dictio intimam quidem connexionem, discretionem tamen rursus inter Se atque a Se invicem differentiam divinarum Personarum indigitat, ut in unâ naturâ non una sciatur persona. *Τὸ* ἐμπεριπάτησις ἤτοι περιχώρησις Latinis *incircumsessio* redditur, quae rursus expressio quietissimae in Se atque incommutabili Trinitati admodum convenit.

Πετρόπολις = Petrusstadt, Felsenstadt, d. i., Rom. Male quis hîc Petroburgum sive Petri Castellum, recentiorem Russiae Metropolin, suspicetur. —

'πί = ἐπί; τῇ 'πὶ τὸ βέλτιον ὁρμῇ, quô in meliora nitimur, studiô.

πνεῦσις = spiratio. Hîc intelligitur sempiterna illa et divina spirandi actio, quâ Deus Pater et Filius Sanctum Spiritum incomprehensibiliter atque inenarrabiliter spirant: quae quidem spiratio, ex doctrinâ Ecclesiae Romano-Catholicae, una est ac velut ab unô facta principiô, quamvis sint Duo, qui spirent, Genitor Genitusque. Graeci, qui, dudum damnatô errore, negant, Spiritum a Filiô quoque procedere, si vellent, facile componi possent cum Romano-Catholicis, ambos quidem, Patremque et Natum, in spirandâ tertiâ Deitatis Personâ concurrere asserentibus, astruentibus autem non nisi simplicem atque unam, etsi a Duobus editam, ipsam spirandi actionem.

ποιόω = qualitate afficio, qualitatem impertior, qualifico, facio, ut tale et tale sit aliquid.

ποσόω = quantitatem tribuo, quantitate dono, facio, ut aliquid sit tantum et tantum.

πυλύς, *πυλύ* = *πολύς*, *ύ*; idem in composit.; item *πολλός*, *πολλόν* pro *πολύς* etc.; itemque *πυλέων* pro *πολέων*, i. e., *πολλῶν*.

προβάλλω = emitto, provenire sive procedere facio: *hîc terminus theologicus*, mirandum illum adorandumque actum significans, quô Pater et Filius ab aeternô ex Sese prodire faciunt Spiritum Sanctum, *ὐ γεννητῶς*, *ἀλλ' ἐκπορευτῶς*, ut S. Greg. Nazianz. docet. Videtur hoc verbum a re corporali sive materiali ad signandam rem quam maximê spiritalem translatum, acceptumque vel a plantis germen proferentibus, vel ab igne aut sole, qui lucem caloremque ex semet emittit.

Πρόβλημα = quod emissum, quod egressum sive progressum est. Hôc nomine S. Spiritus a Greg. Nazianz. insignitur, utpote a Patre Filiôque profectus (ab illô *προβάλλω*, prodire facio).

προβολεύς = qui procedere facit, emissor, prolator, productor, sed *non creandô* productor. Hôc nomine Deus Pater respectu Spiritus Sancti vocatur; quod idem nomen et Filio apte veraciterque tribuitur, quippe qui socium Patri principium noscitur in emittendô eôdem Spiritu.

προβολή = emissio sive actus emittendi, qui actus quoad Spiritum Sanctum etsi simplus et unus, tamen Patri Filioque communis est, siquidem Pater, qui unus et solus generat Filium, non solus, *ἀλλὰ κοινῇ μετὰ τῦ Ὑιῦ*, emittit Spiritum Sanctum.

προέλευσις = proventus, processio; *μιᾷ καὶ ἁπλῇ προελεύσει*, de Spiritu Sancto, qui a Patre Filiôque quasi *unô* principiô, id est, unô ac simplici spirationis actu procedit.

προσηγορικῶς = appellativê, allocutivê.

πρόστροπος, *προστρόπιος*, *προστρόπαιος* = *ὁ προστετραμμένος τινί*, *ὁ ἱκετεύων*, qui se ad aliquem convertit praesidii et auxilii causâ, qui fidei se alicujus committit, supplex.

P.

ρ' = *ῥα*, i. e., *ἄρα*, igitur, ergo.

Σ.

Σοφία = Sapientia. *Τὸ Σοφία* equidem et de Patre et de Spiritu rectê ac veraciter praedicatur; sed per excellentiam tum sacrae paginae tum SS. Patres id nominis Filio tribuunt, ceu sapientiae substantivae seu in Personâ subsistenti vigentique. Quippe contemplando Se Pater in infinitate Suâ aeternâ Filium ab aeternô gignit per omnia sibi aequalem; atque in Filiô tanquam in plenâ Sui atque perfectâ imagine Se cognoscit: quae Patris cognitio sive sapientia secundum est aliquid, ab Ipsô distinctum, non essentialiter, sed personaliter. Jam haec substantialis cognitio sive sapientia Patris est Filius. Recognoscitur autem a Filiô Pater, atque hâc mutuâ Sui cognitione mutuum item ab aeternô spirant affectum sive amorem, rursus personaliter ab Utrôque discretum; isque Amor Sanctus est Spiritus.

σῆμα, *σημεῖον* = signum; *σήματα φαίνειν*, signa ostendere, speciem exhibere sive objicere, de speciebus eucharisticis, quae aliud objiciunt sensibus, aliud mentibus rectâ fide imbutis insinuant. *Τῷ σημείῳ*, signo sive speciei, opponitur *τὸ πρᾶγμα*, res.

σημαίνω = signo, significo; *τὸ σημαῖνον* = signum, species; *τὸ σημαινόμενον* = res ipsa, quae signô indicatur et sub specie continetur; de Eucharistiâ.

σκεψομένη ἔπι = *ἐπισκ....*, praepositione, quâ verbum compositum, verbo postpositâ; quâ ego constructione poëticâ saepius usus sum, v. c. in Hymn. Jos. *λάβοις* .. *πάρα* pro *παραλάβοις* etc.

συνάναρχος = aequê et unâ principiô carens; *Πνεῦμα συνάναρχον*, non quod principium Sui non agnoscat Patrem et Filium, sed quod perinde ac Illi ab aeternô exstiterit, nesciens ullum temporale Sui primordium sive initium.

συνεστώ, *ὓς* = *συνουσία*, consortium, contubernium.

συνθύτης = qui unâ simulque sacrificat, consacerdos; *σύνθυτος* = unâ sacrificatus, unâ litatus, simul immolatus.

T.

τελετή = caerimonia, solemnitas, initiatio, consecratio, sacrum, sacramentum.

τεῦς, *τεῦς* aeol. = *σοῦ*, tui.

Τοκεύς, *γονεύς* = parens, genitor. *Τοῖν γονεὺς καὶ τοκεὺς* de Deô Patre etiam quoad nos, sed impropriê, usus sum, e. gr. *ἡμετέρειε Τοκεῦ!* non tanquam per naturam Ejus filii simus, sed quod

Illi υἱώϑημεν per gratiam, quâ nos adoptavit, nosque, mysticâ quidem generatione vel potius regeneratione, ast verâ nihilominus ratione, filios Suos constituit.

τὖν = τὸ ἐν; et omnino τὖ... pro τὸ ἐ..., v. c. τὖσϑλόν, τὸ ἐσϑλόν.

Τριάς = Trinitas, Dreyfaltigkeit, besser: Dreyeinigkeit. In Deô et unum et trinum dignoscitur: „Est Tria Summa Deus, trinum specimen, vigor unus," ut Prudentius ait. Neque contradictionis aliquid habet, quod in Deô et unitas et trinitas praedicatur: etenim contradictio locum habere nequit, nisi ubi idem de eôdem, eôdem prorsus respectu, simul et affirmatur et negatur. Trinitas autem et unitas in Deô haudquâquam eôdem praedicantur respectu. Equidem idem Deus et unus esse et trinus dicitur; sed aliâ relatione trinus, aliâ unus: φυσικῶς quidem, i. e., quoad naturam, unus; ὑποστατικῶς autem, i. e., quoad Personas, trinus. Diversâ ergo ratione de Deô trinitas perhibetur et unitas: neque enim natura Dei et trina simul et una dicitur, sed una tantummodo; neque τὸ ὑποστατικὸν ἤτοι προσωπικὸν τοῦ Θεοῦ, i. e., Personalitas Ejus, singulariter juxta ac pluraliter enuntiatur, sed nonnisi pluraliter, h. e., numerô ternariô. Itaque Trinitatis Mysterium, sublatâ omni contradictione, non contra rationem est, sed supra rationem, cum in Deô trinitas unitasque diversô penitus praedicentur respectu; unitas quidem ratione essentiae, quam Pater, Filius Spiritusque communem, hoc est, unam atque eandem habent; trinitas autem respectu earum, quae in

Deô suis quaeque proprietatibus distinguuntur, Personarum, quae omnes quidem ex unâ atque in unâ subsistunt naturâ, at non omnes unô atque eôdem subsistendi modô, sed quaelibet propriô, τȣ̃ μὲν Πατρὸς τῷ τῆς ἀγεννησίας, τȣ̃ δὲ Υἱȣ̃ τῷ τῆς γεννήσεως, τȣ̃ δὲ ἁγίȣ Πνεύματος τῷ τῆς ἐκπορεύσεως ὑφισταμένȣ τρόπῳ. —

Τριπρόςωπος = tres habens personas, tribus constans personis; in tribus subsistens Personis, de Deô unô trinôque.

Τριςυπόστατος = ὁ τρισσῷ τῷ τρόπῳ ὑφιστάμενος, qui trinâ ratione subsistit; qui ex tribus atque in tribus Hypostasibus sive Personis consistit, de trinô simul et unô Deô.

τὠ... jon. = τὸ ἀ..., v. c. τὠτρεκές = τὸ ἀτρεκές.

τωὐτό, τωὐτόν jon. = τὸ αὐτό, τὸ αὐτόν: τωὐτὸν ἀρᾶσθαι, ipsum precari, das selbst Bethen.

Υ.

ὔμμες, ὔμμι, ὔμμε aeol. = ὑμεῖς, ὑμῖν, ὑμᾶς.

ὑπόστασις = *substantia*; item *persona*. Quando personam eamque divinam valet (significat), ad distinctionem a substantiâ prima litera scribitur uncialis.

ὑφίσταμαι = exsisto, subsisto; item (in me) suscipio.

Φ.

φαίνω = ostendo; τὸ φαινόμενον, apparentia, species.

φυσικῶς = naturaliter. Deus hominum pater non solum πνευματικῶς per adoptionem, sed et φύσικῶς per creationem et conservationem verâ ratione ac meritô dicitur: Ipse est enim, „Cujus,“ secundum S. Augustinum, „bonitas non desistit, hominum, quamvis de propagine vitiatâ damnatâque nascentium, formare semina et animare, ordinare membra per temporum aetates, et per locorum spatia vegetare sensus, et alimenta donare.“

X.

χαρή = gaudium; Πνεῦμα Χαρή, quod per tertiam demum Deitatis Personam plenum gaudimonium et perfecta in Deô beatitas intelligitur.

χαριτόω = gratum acceptumque reddo seu praesto; gratiâ alicujus, favore amicitiâque potiri *facio*: verbum Nov. Foed., declarans, credentes Deo Patri placitos et amicos filiosque fieri adoptivos per Christi merita et vicariam satisfactionem, quae Fidelibus appropriantur imputanturque rectô Sacramentorum usu, ac *fide, quae per charitatem*, et *charitate, quae in fide operatur.* — Illud „ἡ κεχαριτωμένη“ in Mariâ excellentius intelligendum, ut tota gratiâ plena, tota gratiae bonis penetrata, tota quasi transmutata in gratiae naturam, tota, si verbo audacia detur, veluti *gratiata* esse credatur.

χρειόω = utor, in usum converto.

χὤσσον = καὶ ὅσσον, i. e., ὅσον.

Ψ.

ψυχαῖος et ψυχικός = quod animae est; quod ab animâ proficiscitur; quod spectat ad animam; quod illam tangit et afficit.

Ω.

ὠ ... = ὁ ἀ ..., e. c., ὠγαπητός, der Geliebte, pro ὁ ἀγ ... etc.

ὢν = qui est; ὁ ὢν Deus per excellentiam dicitur, eôque nomine Ipse Se apud Moysen insignit, inquiens: „'Εγώ εἰμι ὁ Ὤν;" quâ appellatione incomparabilem Suam naturam declarat, temporis mutationisque expertem, Seque signatê atque disertê a ceteris cunctis distinguit, quae propriê *non esse, sed* perpetuo *fieri* dicenda sunt, cum ipsa rerum conservatio nihil sit aliud, nisi continuata earundem creatio.

ὦνα = ὦ ἄνα, vocat. ab illô ἄναξ; item ὦνερ pro ὦ ἄνερ.

ὦρτο = ὤρετο, ortus est, ab ὄρνυμι (ὄρω).

NB. Cum hunc quorundam verborum dialectorumque explanatorium indicem nonnihil properatô et confecerim et transscripserim, factum est, ut in ordine tam logicô quam alphabeticô errores commiserim aliquos, a Typographô, si opus edi contingat, corrigendos. Ceterum ut peritiores Lectores hîc superflua invenient

plura, sic, qui parum in Graecis versati sunt, plura desiderabunt. Sed utraque Pars mihi veniam dabunt, scientes, omnibus aequê satisfacere quemquam, perdifficile esse, imo impossibile.

Ω

῎ΕΛΕΓΧΟΣ

τῶν

τῇδε τῇ βίβλῳ ἐμπεριεχομένων.

Pag.

Προςφώνησις τῆς βίβλȣ διττή . . . . . . ᾽Α. Β.

Πρόλογος ἀπολογητικός . . . . Ι.

Προςευχῆς ἐγκώμιον 1

Τὸ ἀποστολικὸν σύμβολον 8

Τὸ αὐτὸ, ἐλεγείοις παραφραζόμενον 8

Τὸ αὐτὸ, ἑξάμετρον περιφραστικῶς, ἐκ τῶν ἄλλων καθολικῶν συμβόλων ἐπαυξηθὲν, τιθέμενον προςηγορικῶς 9

Ἡ κυριακὴ προσευχή 16

Ἡ αὐτὴ, ἀμειβομένοις ἑξαμέτροις καὶ πενταμέτροις ἐκφραζομένη 17

Ἡ αὐτὴ, τȣ̃ αὐτȣ̃ μέτρȣ στίχοις ἐπιπλέον περιφραζομένη 25

Ὁ ἀγγελικὸς χαιρετισμός 26

Ὁ αὐτὸς, μέτρῳ δακτυλικῷ 26

Ὁ αὐτὸς, διὰ μακροτέρων κατ᾽ αὔξησιν, εἰς στιχάρια μεταφραζόμενος 27

Ὕμνος ἑωθινός 36

Ἄλλος ὕμνος ἑωθινός 42

	Pag.
Ὠιδάριον ἑωθινόν	44
Ὠιδὴ ὀρθρία πρὸς Μαρίαν τὴν Θεομήτορα .	45
Ἀισμάτιον ὄρθριον πρὸς τὴν αὐτήν	50
Ὕμνος πρὸς τὸν Ἄγγελον τὸν φυλάκτην . .	54
Ὕμνος πρὸς τὸν αὐτὸν βραχύτερος	58
Ὕμνος πρὸς τὸν Ἅγιον τὸν ὁμώνυμον καὶ πάτρωνα	62
Ἄλλος πρὸς τὸν αὐτὸν ὕμνος	64
Λιτὴ πρὸ παντὸς ἔργου	66
Ἄλλη τοιαύτη λιτή	67
Δέησις, χρησίμη τοῖς μεῖζόν τι πρᾶγμα διαπράξεσθαι μέλλουσι, δύςπρακτον ὄν .	68
Ἄλλη τοιαύτη δέησις	70
Ὕμνος λειτουργικός	71
Ἄλλος λειτουργικὸς ὕμνος, τετραμερής . . .	82
Ἄλλος ἐπὶ τῆς Λειτουργίας ὕμνος, πενταμερής	90
Ἔλεγος πρὸ τοῦ ἐξομολογεῖσθαι	106
Ὕμνος μετὰ τὸ ἐξομολογήσασθαι	111
Θρηνῴδημα πρὸ τῆς ἐξομολογήσεως . . .	115
Εὐχαριστήριος ψαλμὸς μετὰ τὴν ἐξομολόγησιν	117
Ὕμνος πρὸ τοῦ κυριακοῦ δείπνου	120
Ὕμνος μετὰ τὸ αὐτό	123
Ἄλλος ὕμνος πρὸ τοῦ δείπνου τοῦ κυριακοῦ . .	127
Εὐχαριστήριον ᾆσμα μετὰ τὸ αὐτό	133
Εὐχὴ ὁρμητικὴ πρὸς τὸν Ἰησοῦν, ἄλλως τε χρησίμη καὶ μεταλαβοῦσι τοῦ κυριακοῦ δείπνου	140

Pag.

Εὐχὴ, τῆς πρὸς τὸν Χριστὸν φιλίας ἐφιεμένη, ἥ τις χρήσαιτ' ἂν καὶ ἄλλοτε καὶ μάλιστα μετὰ τὴν τȣ͂ κυριακȣ͂ σώματος καὶ αἵματος ἀπόλαυσιν 143
Λιτανεία ἄφεσιν μετιȣ͂σα, ἤγȣν δέησις τὰς τῶν ἁμαρτιῶν ποινὰς παραιτȣμένη 147
Δέησις ὁδοιπορική 154
Ἄλλη δέησις ὁδοίπορική 156
Μικρὸς ὕμνος, φθεγγομένȣ τȣ͂ ὡρολογίȣ . . 156
Ὕμνος ἐφ' ὡρολογίȣ φθόγγῳ ἐλάσσων . . 156
Ἔτι συντομώτερος ἄλλος τοιȣ͂τος ὕμνος . . 156
Ἐλεγεῖον ὡρολογικόν 156
Ὕμνος, ὅταν τȣ͂ κώδωνος ἀκȣ́ωμεν τȣ͂ τὸν δι' Ἀγγέλȣ πρὸς Μαρίαν σωτήριον ἡμῖν χαιρετισμὸν σημαίνοντος 156
Προσευχὴ μνημονευτικὴ τῆς κυριακῆς ἀγωνίας, τῇ πέμπτῃ τῆς ἑβδομάδος 159
Προσευχὴ μνημονευτικὴ τȣ͂ κυριακȣ͂ θανάτȣ, τῇ ἕκτῃ τῆς ἑβδομάδος 161
Ὕμνος ἐπὶ τȣ͂ Θεȣ͂ 163
Ὕμνος πρὸς τὸν Θεὸν Πατέρα 170
Ὕμνος πρὸς τὸν Θεὸν Υἱόν 175
Ὕμνος πρὸς τὸν Θεὸν Πνεῦμα 184
Ὕμνος εἰς τὴν τριςαγίαν Τριάδα 203
Ὕμνος περὶ τῆς θείας Προνοίας 215
Ὑμνῳδία ἐπι τῆς ἁγιωτάτης Εὐχαριστίας . 223
Ὕμνος εἰς τὴν ἁγίαν Παρθένον τὴν Θεοτόκον 236

Pag.

Ὕμνος πρὸς τὸν ἅγιον Ἰώσηφον 245

Ὕμνος πρὸς τὸν ἅγιον Βέρναρδον τὸν ἀρχιμανδρίτην καὶ διδάσκαλον τῆς Ἐκκλησίας 256

Ὕμνος εἰς τὸν ἅγιον Φραγκίσκον τὸν σεραφικόν 262

Ὕμνος πρὸς ἅπαντας τὰς Ἁγίας 270

Προσευχὴ ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων 281

Ἡ τοῦ Θεάνδρου πάθησις, θεωρουμένη καὶ ἐνστηθιζομένη κατὰ τὰς νομιζομένας εἰκόνας 292

Φοίτησις ἐπὶ τὴν τοῦ σταυροῦ λεγομένην ὁδόν, ἤτοι ἐνθύμησις τῶν τοῦ Χριστοῦ παθημάτων (ἀτέλεστον τὸ πολὺ ἔργον) . . . 305

Εὐχὴ πρὸ τοῦ δείπνου 309

Ὕμνος μετὰ τὸ δεῖπνον 311

Ἄλλη πρὸ τοῦ δειπνοποιεῖσθαι εὐχή . . . 312

Ἄλλος μετὰ τὸ δειπνοποιήσασθαι ὕμνος . . 313

Ὕμνος ἑσπέριος 313

Ἄλλος ὕμνος ἑσπερινός 315

Ὕμνος, εἴ ποτε νυκτὸς ἐξυπνίζοιο, βραχύς 317

Ἄλλος τοιοῦτος ὕμνος βράχιστος 317

Ὕμνος μεσονύκτιος, θεοσεβοῦσιν εὔχρηστος τοῖς καθεύδειν μὴ δυναμένοις, ἢ μὴ βουλομένοις 318

Pag.

Εὐχὴ ὑπὲρ εὐθανασίας κατὰ Χριστόν . . . 321

Ἐπίλογος εὐκτικός 324

Ἔκθεσις καὶ διερμήνευσις ἀσαφεστέρων τινῶν καὶ δυσνοήτων ῥημάτων θεολογικῶν, πολλῶν τε καὶ ἄλλων διασάφησις 326

[illegible] . . . . . . [illegible]
Ὕμνος πρὸς [illegible] τῆς Ἁγίας . . . . [illegible]
Προσευχὴ ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων . . . . . . [illegible]
Ἡ [illegible], [illegible] καὶ [illegible] νόμοι . . . . . . [illegible]
Φοινικὸς [illegible] λεγομένης ὁδοῦ, [illegible] Χριστῷ καθημένων (ἐπιλέγεται τὸ καλὸν ἔργον) . . [illegible]
Εὐχὴ πρὸ [illegible] . . . . . . [illegible]
Ὕμνος μετὰ [illegible] 311
Ἄλλη πρὸ [illegible] εὐχὴ . . . 312
Ἄλλοι μετὰ [illegible] ὕμνοι . . 313
Ὕμνος [illegible] 313
Ἄλλος ὕμνος [illegible] 315
Ὕμνος, [illegible], βραχὺς . 317
Ἄλλος [illegible] 317
Ὕμνος [illegible] . . . . [illegible] 318

BSB Bayerische StaatsBibliothek
MDZ Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Niedermühlbichler, Bernh.

[Nichtlateinische Schriftzeichen] Gebetbuch in Versen, meister Hymnen umfassend (ein latin. Uebersetzung erschein in demselben Jahr: Libor ?? etc.)

(Innsbruck) 1847

Asc. 3432 f
urn:nbn:de:bvb:12-bsb10265582-1